UNIVERSITY OF TORONTO
3 1761 01307674 0

UNIVERSITY
OF
TORONTO
LIBRARY

# ANECDOTA GRAECA

Excudebat G. A. Bertinelli - Superiorum venia.

# ANECDOTA GRAECA

E MSS. BIBLIOTHECIS

## VATICANA, ANGELICA, BARBERINIANA VALLICELLIANA, MEDICEA, VINDOBONENSI

DEPROMPTA

EDIDIT ET INDICES ADDIDIT

**P. MATRANGA**

BIBLIOTHECAE VATICANAE SCRIPTOR GRAECVS SVBSTITVTVS.

### INSVNT VOLVMINI

IOHANNES TZETZES
HERACLIDES
SCHOLIA VETERA IN HOM.
CHRISTOPHORVS CONTOLEON
NICEPHORVS GREGORAS
LEO ALLATIVS
REGVLAE GRAMM. IN HOM.
THEODORVS PRODROMVS
CONSTANTINVS SICVLVS
LEO PHILOSOPHVS
LEO MAGISTER
ACOLVTHVS GRAMMATICVS
GEORGIVS GRAMMATICVS
CONSTANTINVS RHODIVS
THEODORVS PAPHLAGON
IOHANNES GAZAEVS
HELIAS SYNCELLVS
IGNATIVS GRAMMATICVS
CHRISTOPH. I. A SECRETIS
ARSENIVS ARCHIEPISCOPVS
MANVEL PALAEOLOGVS
IOHANNES CATRARES.

### PARS PRIMA

TZETZAE ET HERACLIDIS ALLEGORIAS HOMERICAS COMPREHENDENS.

31138
5/12/93.

ROMAE,
Typis C. A. Bertinelli.
M.DCCC.L.

# SIBYLLAE MERTENS-SCHAAFFHAVSEN

## COLONIENSI

### PETRVS MATRANGA

GRAECO-SICVLVS

S. P. D.

Tzetzae allegorias homericas, iussu et impensis Irenes Comnenae Imperatricis, ex inlustri Germanorum gente, VII. ferme saeculis ante compositas, te auspice, e Germanorum pariter gente, in lucem prodiisse, est rerum humanarum casus ita fortuitus, ut perraro quid simile evenerit. Tibi itaque dedicantur, quae duplici iure tua sunt; tu namque me generosa liberalitate ad hoc volumen edendum impulisti, et ad mea studia fovenda non ver-

bis adhortata es, sed opere. Neque heic tui animi virtutem, ingenii acumen, in bonis artibus praestantiam, summam in catholica religione observantiam commemoro, quippe haec norunt etiam quotquot te Romae esse desiderant. Hoc unum tuis consolandis ob res domesticas curis dum aptum est, me quotidie magis obstrictum tuae benivolentiae retinent. Vale.

Romae mense Iulio M. DCCC. L.

# EDITORIS PRAEFATIO.

Anecdotorum volumini, quod graece in lucem emittitur, brevem praefigere notitiam, nec non aliqua dicere de subsidiis in editione adhibitis, utile visum est consilium. Ne autem emunctae naris homines in crimen mihi vertant voluminis titulum, opportune disseram de quibusdam alias editis, caussasque addam cur heic denuo imprimenda curaverim.

Iohannes Tzetzes. XII. saeculi grammaticus byzantinus, anecdotorum agmen ducit. Auctor asserit se vixisse annis C. post Michaëlem Psellum (1); de eius decessu non satis compertum est. Ex iambis vero in mortem Manuelis Comneni, quos heic primum edidi (2), constat inter vivos extitisse anno M. C. LXXX.

(1) Chil. XI. hist. 185. v. 719. De eius vita confer Fabricium ed. n. V. XI. p. 229., et Harlesii introd. in hist. litt. graec. T. II. part. I. p. 510. sqq., suppl. part. II. p. 56. et 355.

(2) Part. II. pag. 619. sqq. Hi iambi vocantur κλιμακωτοί, cuius vocabuli significationem metricam non retulerunt recentiores lexicographi, quamvis definitio τȣ͂ κλιμακωτȣ͂ in Dracone Stratonicensi (ed. G. Hermanni Lipsiae 1812. p. 140. 16.) habeatur. Differt tamen Draconis canon a nomine iambis suis a Tzetza in-

Multa eius scripta eruditorum studio prodierunt, in quibus si vanitatem, et quamdam arrogantiam excipias, virum agnosces immensae eruditionis, et suae aetatis in re litteraria facile principem. Inter ea, quae adhuc in bibliothecis delitescunt, allegorias in primis et metaphrases in Homerum, versibus politicis elucubratas, praelo digna existimavi. Siquidem non minimam sensi utilitatem philologis, et summi vatis cultoribus inde futuram, si quae pauca et speciminis ergo hucusque eruditi excerpserint, ea tandem aliquando omnia ad fidem codicum Vaticanorum typis traderentur.

Fragmenta porro ex Tzetzae allegoriis protulit L. Kusterus in Suidae editione; R. Bentleius in epistola ad Iohannem Millium p. 65. VII. versus tantum, a Fabricio dein in bibl. Graeca (1) recusos, edidit: Thomas Burgesius (2), qui integras allegorias e codicibus Bodleianis se editurum promisit, partes abundantiores vulgavit. Volumen a Burgesio Oxonii 1788. editum, et secundis curis Londini 1820. denuo cusum, Harlesii diligentiam in additamentis ad Fabricium omnino effugit. Emmanuel Millerus tandem, in catalogo codicum graecorum Escor. p. 33. sq. Parisiis 1848. impresso, prooemii allegoriarum principium iuris publici fecit.

dito; nam heic non *simplex versus* qui *a principio usque ad finem auget syllabas,* sed ob aliquod praecedentis iambi verbum, quo initium fit iambo sequenti, κλιμακωτός vocatur. Confer etiam de alia significatione scholia in alleg. huius vol. Part. II. p. 608. 16. sq.

(1) Ed. Harlesii V. I. p. 375.

(2) *Initia Homerica,* sive *excerpta* etc. Oxonii 1788.

Quum nulla fere sit mss. bibliotheca, in qua Tzetzae allegoriarum partes asserventur, Vaticanae quamplurimi codices, ut integrum opus evadat, commodam mihi praestitere utilitatem. Neque operae est pretium omnes recensere, qui variantes solum continent: quare de praestantioribus aliquid dicam.

Inter hos vetustior est bombycinus miscelli generis 904. Quamvis careat principio prooemii, et pauca habeat Odysseae, et non semel hiscat, ex illo tamen carmina quamplurima, librariorum fortasse incuria in aliis codicibus oblita, et quaedam scholia in margine minutis characteribus rubris pene evanitis exarata, deprompsi.

Mentione etiam dignus est cod. bomb. 1369., omnia ferme Tzetzae opera complectens, ex quo exscripsi C.VII. epistolas (1), quae Chiliadum sunt fundamentum, ut ipse fatetur Chil. V. post v. 201., et quarum ope castigatiorem earumdem Chiliadum editionem eruditorum manus tractabunt, non omissa operis integri impressione, qua Lacisii, Lectii, Kiesslingii etc. errores

(1) Quattuor ex his impressit Lacisius in calce Chiliadum p. 267. sq. Basil. 1546., quintam, quae est XXI., Kusterus in notis ad Suidam. Cf. Fabr. ed. n. V. III. p. 753. Nescio tamen quomodo Lacisius hallucinatus sit vitiose interpretans plurima; hoc sufficiat exemplum - *Sanctissimo metropolitarum patrum* - ita vertit titulum primae epistolae a se editae, quae et XV., τῷ ἱερωτάτῳ Μητροπόλεως (μητροπολιτῶν in marg.) πατρῶν: at hoc vocabulum civitatis est nomen, et *Patrarum* indicat metropoliten. In Chil. IV. post v. 466. argumentum epistolae, quae prosa oratione praeit historiae, veluti versus impressit, etc.

quamplurimi corriguntur (1). Nec heic silentio praetereunda est, quandoquidem occasio sese obfert, peculiaris benivolentia, qua erga me praestat egregius vir Emmanuel Millerus. Is enim mihi in Tzetzeanis studiis intento, epistolarum apographum a me confectum summa humanitate cum codicibus Parisiensibus collatum sponte obtulit, ut eiusmodi variantes meam editionem ornarent. Codex nihilominus mutilus est in fine, quamobrem pars postremae Iliadis rhapsodiae deest: at eius beneficio versus Anchilochi ineditus (2), gemmula pretiosior, in lucem venit (3).

Cod. Vat. Pal. 316. chartaceus, quamvis mendosus, allegorias in XIII. priores Odysseae libros, praeter Iliadis lib. XX. versus 84., unicus continet, cetera omnino desunt. Negligentia enim bibliopegae quaternio-

(1) Non vacat notulam huiusmodi observationibus constipare, et variantes recensere: attamen iuvat unum et alterum exemplum producere. Cod. Vat. hoc modo implet lacunam Chil. IX. v. 664. 5-6. ed. Lac. pag. 175.

> Ὦ Τζέτζη ἀῤῥητόρευτε καματηρῷ ἐπάρχῳ,
> καὶ πάντων χωρικώτερε τῶν ἐν τῇ Κωνςαντίνȣ,
> παπάδων ἀμαθέςερε, κλεπτῶν, ἱεροσύλων.

Rursum Chil. VIII. v. 836. sq. ed Lac. pag. 157.

> Ἐρωτηθεὶς δε πρός τινων ποτὲ ὁ Σιμωνίδης·
> τί πρὸς θεȣ̀ς σὺ γράφεις μὲν, πρὸς παῖδας δ' αἴνȣς γρά-
> (φεις, etc.

(2) Deest in lyr. Graec. ed. a Theod. Bergk, Lipsiae 1843.

(3) Cf. huius vol. p. 216. v. 130.

nes dispersos puto, qui imperitissime Odysseae fragmenta Iliadi praemisit, neglecta notarum registri et paginarum antiqua serie, et quod incongruens est, Arsenii Monembasiae Archiep. epistolam ad Paullum III. P. M., qua eidem scholia vetera in VII. Euripidis tragoedias obtulit, principio codicis adglutinavit.

Hisce subsidiis allegoriis impressis (1), quum eiusmodi sint ut commode legi absque adnotationibus posse videantur, rem non inutilem duxi indices varios adiicere, quo facilius quique studiosus loca opportune invenire queat. Hac mente itaque VI. indices, non absque labore, et patientia, confeci.

Ut, quoad criticen, opus haberetur absolutum, addendus esset index Graecitatis; at ea est non solum in Tzetza, sed in reliquis etiam voluminis auctoribus novorum vocabulorum copia, ut ad huiusmodi studium lexicographos exhortari satis putaverim.

Porro allegoriae Irenae imperatrici, ex *Alamanorum* nobilissimo genere, intitulantur. Antequam a Manuele Comneno anno 1143. in uxorem (2) duceretur, Bertha erat appellata. Eius nuptias Theodorus Prodromus (3)

(1) Criticam editionem secundis curis, quum otium erit, in lucem emittam, adhibito textu cod. 1369., ac diligenter scholia et quae alii codices suppeditant in notis referam, addita latina versione, si fortuna et diligentior typographus me iuverint.

(2) Vide huius vol. Part. II. p. 609. 21. sqq. de hisce nuptiis auctoris praesagium.

(3) Mirum quod ex iisdem nuptiis tumide et truculenter confirmari contendit Prodromus, idest primatum Byzantii supra Romam. Iniuria id sustinent schismatici ob sedem imperii ibi con-

cecinit, et carmen e C. V. Ott. 234. exscriptum heic protuli, cuius notitiam vir Eminentissimus dederat, in litteraria re publica iure merito celeberrimus (1). Fuit eximiae virtutis, et pulchritudinis femina, soror uxoris Conradi imperatoris, filia vero Berengarii comitis Sulzbachensis in Bavaria (2). Eius itaque iussu et hortatu, addita mercede, ut auctor testatur (3), Iliadem allegoriis fuisse adumbratam vulgaris est eruditorum opinio (4).

Re autem vera sub Irenes auspiciis XV. allegoriarum libri prodierunt: namque χρηματοδοτέντων morositate opus ad finem ducere nequivisset, nisi Constantinus Cotertzes (5) poetae cupiditati satisfecisset. De mercede ab imperatricis generositate recepta, haec ipse nos docet: pro singulis allegoriarum quaternionibus, XII. aureos initio accepisse testatur (6); at quaternione prae-

stitutam, at Prodromus hoc ineptum inserit argumentum ad opinionem consolidandam: vir est caput mulieris, atqui sponsa Bertha veteris Romae (idest ritus occidentalis) subdita fit marito novae Romae, patet ergo CP. dominari Romam. Ridiculum! Carmen verumtamen editum fuit quum fama pertulit nuptias constitutas esse inter Iohannem et Conradum imperatores: tum enim Manuel in Isauria morabatur.

(1) T. V. Spic. Rom. p. 396., idem carmen extat in aliis mss. bibliothecis. Cf. huius vol. Part. II. p. 552. sqq.

(2) Cf. Cinn. l. II. n. 4., Nic. l. I. n. 2., Oth. Frisig. l. VII. c. 28., Cang. fam. Aug. Byz. p. 186.

(3) Chil. V. v. 7. 776., IX. 282., XIII. 625.

(4) Fabr. ed. n. V. XI. p. 229. sqq.

(5) Huius vol. p. 125. sq.

(6) Chil. IX. v. 282. sqq.

grandi adhibito, et triplici scriptione cum exarasset quot carmina X. quaterniones caperent, quaestor aulae imperialis, decuplum pro simplici computans, quod etiam meminit in epist. ined. LVII., mercedem primum imminuit, et dein omnino denegavit.

Constantinus Cotertzes ipse fortasse est qui a Cinnamo (1) in magnatum albo recensitur, quique strenue se gessit in bello Persico a Manuele Comneno feliciter confecto. Epistolae LXVIII. et C.II. ad ipsum sunt missae, XII. et quae sequitur ad eius fratrem Theodoritum. Cotertzae igitur impensis, cuius etiam fit mentio in fine indicis Chiliadum (2), IX. postremos Iliadis li-

(1) Hist. l. II. c. V. n. 22. ed. Ven. 1729.

(2) Cotertzae hortatu auctorem emendasse Chiliadum exemplar a librario vitiatum, ex hisce iambis ineditis in calce historiarum scriptis cod. Vat. arguitur.

*Σοὶ τῷ Κοτέρτζῃ καὶ φιλοῦντι δεσπότῃ,*
*νῦν μέχρι τοῦδε τὰς δυσόδμους βορβόρους*
*τοῦ χοιριοῦντος τοῦδε καὶ κοπρογράφου,*
*οὕτω χρεὼν καλεῖν γὰρ ἢ καλλιγράφον,*
*Τζέτζης καθαίρει τεχνικῶν λόγων πτύσις·*
*ἐπεὶ δὲ μέλλεις ποῖ δραμεῖν τῶν ἐνθάδε,*
*παλινδρομεῖν τε σὺν Θεῷ πλὴν ἐν τάχει,*
*εἴ μοι τὸ τέρμα μὴ περανθῇ τοῦ βίου,*
*τὰ λοιπὰ λοιπὸν ἐξαποξέσω τότε.*

Hinc vulgares obiurgationes, quibus Tzetzes acriter urget librarii inscitiam, de quo haec etiam refert in scholio adposito I. epistolae. *Αὕτη ἡμετέρα γραφὴ κατὰ τὸ πρωτότυπον ἐγράφη, ὅπερ τυχαίως καὶ αὐτοσχεδίως γράφων ἐγὼ οὕτως τὴν τάσιν* (al. *τάξιν*)

bros allegoriis et metaphrasi Tzetzam ornasse nunc primum deprehenditur; tum etiam longe post mortem Irenes, ut instantiis amicorum cederet, allegorias in

ἀτάκτως καὶ πεφυρμένως ἐποιησάμην· τοῖς δὲ λοιποῖς μεταγράφουσιν εἶπον καὶ συνέθεντο (al. λέγω καὶ συνθέσθαι) καθεξῆς ἀδιασπάστως τὰς πάσας ἐπιστολὰς, καὶ ἑξῆς πάλιν συνηνωμένως τὸν τῇδε κείμενον τῶν βραχειῶν ἱστοριῶν βραχύτατον πίνακα, καὶ τὸν τῶν λοιπῶν ἱστοριῶν μέγιστον πίνακα· χοιροδίου δὲ υἱῷ ἐμπιστεύσας τὴν παροῦσαν μεταγραφὴν, καὶ δοὺς καὶ μισθὸν τούτῳ καλλιγράφου λόγου ἀξίου, καὶ εἰπὼν οὕτω μεταγράψαι καὶ αὐτὸν, ὡς χοῖρον ὄντως οὐχ εὗρον καταπειθῆ, ἀλλὰ πολλαχῶς κοπρώσαντα τὸ βιβλίον.

Πρόσχες τὸ λοιπὸν πᾶς θέλων μεταγράφειν,
κἂν τῷδε γράψῃς, οὐ κακῶς γράψεις πάλιν.

In eadem epistola I. sunt sequentes versus e quadam tragoedia Dionysii Syracusarum tyranni deprompti, quorum primus allegatur in Chil. V. hist. 23.

Αὐτοῖς γὰρ ἐμπαίζουσιν οἱ μωροὶ βροτῶν·
ἀνέξομαι γὰρ εὖ ἴσθι, οὐδαμῶς τοιαῦτα ἀκούειν *).
οὐ γὰρ ἐμὸς πέφυκε ταρβήσων νόος,
οὐδ᾽ ἀχαριτόγλωττος εἰμὶ πρὸς λόγους,
ἀλλ᾽ οἶδα νωμᾶν εὐφυῶς τὴν ἀσπίδα,
οἶδα κραδαίνειν δεξιῶς ἄγαν δόρυ·
ἑλῶ τὸν ἵππον, οὐ πέφρικα τὸν κτύπον,
τὴν σταδίην γέγηθα τῶν ἄλλων πλέον,
καὶ τόξα τείνων, οὐ πτοοῦμαι τὰς μάχας.

Insunt praeterea codici Vat. in Chil. nova scholia, longiuscula, vel emendatiora editis a cl. Cramero in T. III. Anecd. Oxon.

*) Sic ec., at metri gratia fortasse corrigendum - ἀνέξομ᾽ εὖ ἴσθ᾽ οὐδαμῶς ταῦτ᾽ ἀκούειν.

Odysseam composuisse ipse asserit, at pecunia aliunde collata (1). Quum vero Irenes anno 1158. decessisset, hinc aetatem, qua Tzetzes opus utrumque confecit, opinari licet.

Summaria allegoriarum heic aliquis desiderasset, ut curiositatem compendiarie expleret; at ego nil magis cupio, quam Tzetzam, qui graecis litteris callent, perlegant; nam non levem et vanitosum grammaticum appellare dehinc audebunt, sed hominem omni genere do-

1836. a pag. 350. ad 375. Sic ex. g. cod. Vat. habet principium postremi versus epigrammatis Hadriani imper. (schol. in Chil. II. hist. 34.), Φαρσαλίῃ κεῖται χερσίν, pro edito Φαρσά(λυς): et nota diversam lectionem in Anth. l. IX. 387. Scholion in Chil. IV. hist. 122. v. 94., quod Cramerus refert p. 357., in principio haec continet quae ibidem desunt. Θήλεια λέων, γένειον οὐκ ἔχει· ὡς οὐδὲ θήλεια ἔλαφος καὶ ὄϊς, καὶ χοῖρος· ἔλαφος μὲν καὶ ὄϊς κέρατα, εἰ μή που τέρας ἐστὶν, ὡς ἡ τῆς Ταϋγέτης χρυσόκερως ἔλαφος· θήλειαι δὲ πάλιν χοῖροι καὶ ἐλέφαντες ὀδόντας χαυλοδόντας οὐκ ἔχουσιν. Allegatur dein Amyntiani auctoritas, et sequentia Cramero consonant. Integrum scholion sicuti prostat in Tzetza, olim legi etiam in cod. Vat. 1144. Saepe versus quasi prosa oratione ibidem sunt impressa, cf. p. 371., 374. etc., ubi deest versus initium - Κούρβας υἱέ: p. 373. desunt etiam haec - Κούρβας υἱὲ, τράγου υἱὲ, ὅλος αὐτοβόρβορος ὢν, καὶ κοπρία, καὶ. Ibidem: Ἴδετε τοῦ κερατὰ τὸν υἱὸν πῶς κατέλειψε τὸ πῶς etc. Contumeliosum effatum ὦ κῶλε χοίρου, mendose legitur ib. p. 375. ὦ καὶ λεχοίρου. Quin etiam, ne singula repetam, plurima vulgaria dicteria sunt corrupta.

(1) Huius vol. p. 224. sq. Ibid. v. 16. sq. inperatricem miro adfectu laudat, quam mortuam iam esse ex iisdem versibus patet.

ctrinarum cluentem agnoscent (1). Plurima enim insunt optimae frugis argumenta, quae apta sunt ad mythos explicandos, quaeque ad physicen, cosmogoniam, astrologiam, geographiam, historiam (2), bibliographiam (3), et bellicam artem (4) inlustrandam pertinent. Adde quod saepe in Homeri textu et scholiastis corrigendis immoratur (5).

Nihilominus si quis est, qui me reprehendat oleum et operam perdidisse *in nugis Tzetzeanis edendis*, is ante omnia perpendat cl. Presselium nuper e codicibus Parisiensibus allegorias exscripsisse typis tradendas; dein legat Tzetzae opera, in primis scholia edita et inedita; noscat tandem doctos Germaniae viros, qui Tzetzae suas curas impendere minime dedignati sunt. Sat erit recentiores cl. Imm. Bekkerum nominare, qui Antehomerica etc. Berolini 1816. recusit, et God. Hermannum, qui *exegesin in Homeri Iliadem* primum Lipsiae edidit 1812. Verumtamen improprie huiusmodi titulus libello indicitur, quum exegesis re ipsa non sit in Iliadem, sed ad 102. versum I. rhapsodiae

(1) Iambis chronicon composuisse e v. 657 sq. alleg. Il. l. XVIII. huius vol. p. 166. constat.

(2) Cf. huius vol. pag. 8. Prooem. v. 216-224., ubi anachronismus demonstratur de iudicio Paridis in nuptiis Pelei, quod Barnesius notavit in Hom. ed. Cantabr. 1711.

(3) Cf. IV. Odyss. p. 248., et X. p. 281., ubi multa ad Harpocrationis partes adhuc ineditas cuiusdam cod. Vat. referuntur, immo ad verbum transcribuntur.

(4) Cf. p. 66. v. 15-8., ubi XIV. mechanographos nominat.

(5) Huius vol. p. 95. v. 19. sq. etc., et Part. II. p. 708. etc.

tantum pertingat. Si vacat, legatur, quaeso, cl. Hermanni praefatio, praesertim pagina VI.

Nescio quo casu in scholiis ad allegorias praetermiserim notulam marginalem cod. Palatini ad XIII. Iliadis, pag. 108. v. 15. huius voluminis. Scytharum ibidem auctor laudat mores, et ipsorum maximam fidem in iure iurando, subditque:

ὃς ἂν ὁ Καλχηδόνος τε ὀμόσῃ καὶ Κυζίκου·

ad vocem itaque Καλχηδόνος in margine scriptum est ἀπὸ Τζέτζου. quod quid sibi velit plane definire non audeo (1).

Pauca nunc de *Heraclide*, quem maluerim appellare *Heraclitum*, ut a Tzetza vocatur, et ut cod. Vat. 871. titulus pene abrasus forte habebat. Auctoris allegorias homericas Aldus primum edidit Venetiis 1505.; Conr. Gesnerus latinas fecit, impressitque Basileae 1544., et denuo 1586. in calce Homeri Odysseae fuerunt additae: inter opuscula mythologica Th. Galeus ann. 1688. iterum protulit Heraclidem, qui postremo Gottingae 1782. expolitior prodiit, adnotationes et commentationem criticam adiecit Nic. Schowius, praemissa cl. C. G. Heynii doctissima epistola.

» Notabiles lectiones, unde unum et alterum mutilum locum suppleri, plures autem emendari possent » observavit cl. I. A. Cramerus (2) in quodam cod. Oxoniensi, atque in nova Homeri editione restituendas proposuit; quod nescio si hucusque doctus vir peregerit.

(1) Cf. Chil. V. hist. 17., ubi de sui ipsius prosapia disserit.

(2) Anecd. Graec. e codicibus mss. bibl. Oxon. T. I. p. VII. Oxonii 1831.

Interea cum compertum habuerim Vaticanum codicem ad lectiones non modo emendandas, sed ad textum mire augendum maxime conferre, gratum fuit Heraclidis sextam editionem curare. Quamobrem ipsius codicis scripturam, saepe *iotacismo* et mendis librarii vitiosam, exhibere decrevi. Errata typothetae incuria, de cuius inscitia et cervicositate saepe saepius dolendum est, quandoquidem temporum iniquitas, quam satius est silentio praeterire, virum in arte peritum eligere vetuit, in fine voluminis emendavi; hoc monitum volo, ne omnia in culpam typographi vertantur.

Quo vero facilius haec editio editioni Nic. Schowii comparari possit, eamdem capitum distinctionem servavi: ceterum omnia ad imitationem codicis imprimenda studui, si versuum divisionem, qui sequuta oratione sunt exarati, excipias; quare spatia vacua, interpunctionem, accentus, *iota* saepe non subscriptum, omnia intacta, ut in codice prostrant, reliqui, solum maiusculis capitum initiis et nominibus propriis adpositis. Partes nunc primum editas pari methodo in capita distinxi, auctorum seriem denique, qui in opere citantur, variantesque quantumvis minimas ab editione Nic. Schowii binis indicibus conclusi.

Multa siquidem, quae N. Schowius docte, et ingeniose in observationibus criticis emendare satagit, cum nostra editione concordant; at innumera pene sunt quae codex dilucida reddit, et mire sententias auctoris explanat. In exemplis auctorum saepe diversa occurrit lectio, ut p. 300. lin. 10., ubi legitur ὀχ' ἔζεις ἐπεμβάτην,

pro ἐκ ἔχεις, ut vulgo habent Anacreontis editiones; cetera index docebit (1); ὁμοιοτελεύτου errore periodos integras omissas cod. Vat. restituit, et plures quam VII. paginae (2) non antehac impressae nunc primum exhibentur.

Hucusque Tzetzae et Heraclidis in Homerum allegoriae huius voluminis primam partem occupant: reliqui auctores, de quibus nunc verba faciam, in secunda parte continentur.

Mihi in Romanis bibliothecis quae ad Tzetzam spectant perquirenti, occurrit cod. n. I. bibl. Angelicae, olim Card. Passionei, a cl. C. G. Heynio etiam appellatus (3), at parum adcurate descriptus, quod non summi viri doctrinae, sed vitio, qui ei notitiam trasmisit, verti debet. Praetermissa itaque homerica lectione (quae est codicis nobilior pars), argumentum Iliadis, Tzetzae allegorias περὶ γεννήσεως τῶν Θεῶν (4), et scholia exscripsi; quae cum a me cognitis non paullulum differrent, vel emendatiores haberent lectiones, consultum duxi ut typis traderem.

Primum enim constitueram omnia haec scholia cum editis, quae prae manibus erant, comparare, quapropter in notis Eustathium, Villoisonum etc. appellavi, varian-

(1) Pag. 789. sqq.

(2) A pag. 354. ad 361.

(3) Ed. Homeri, Lips. 1802. vol. III. praef. p. XLVIII. de codicibus Homeri.

(4) Cf. allegorias versibus iambis a F. Morello editas Parisiis 1616.

tesque adposui. Saepe namque deprehenderam aliqua singularia, ut ad I. Iliad. (1), ubi ad rem observavi aegyptiae mulieris nomen Ἴτ, ab Eustathio etiam praetermissum, quae prima sedendo telam texuit, unde apud aegyptios statua sedentis Minervae originem duxit. Ephorusque citatur auctor (2) in tractatu *de inventionibus*. Neque parvi momenti aestimanda est lectio incerti fragmenti ex operibus Pindari deperditis hausta, quod vulgaverat cl. Boeckhius (3), addita cl. I. G. Schneideri emendatione; at, meo quidem iudicio, codicis Angelici textum omnibus hucusque editis omnino praeferendum puto (4). Hisce adde Menandri fragmentum (5), quod fortasse ineditum est; neque enim quid simile inveni in auctoris nupera fragmentorum collectione diligentissime a cl. Fr. Dübnero confecta (6).

Sero tamen ad aures pervenit cl. I. A. Cramerum haec eadem e cod. reg. Parisiensi 2556. Oxonii edidisse in suis anecdotis T. IV. anno 1841. Quum vero scholiorum I. et II. esset impressus, et perpendissem difficultates esse maximas eiusmodi libros comparandi, utilitati patriae consulens, quae erant impressa a meo

(1) Huius vol. P. I. p. 385. v. 31.

(2) Non semel quae adespota sunt a Scholiastis allata, auctorem habent in cod. Ang.; cf. huius vol. P. II. p. 445. sq. etc., et p. 461. 29., ubi sane legendum Ἀτρέως et lacunae instaurantur.

(3) In Pind. ed. Lips. 1831. T. II. p. 200. 314.

(4) Huius vol. P. I. p. 475. 28. sq. ad Il. II. v. 400.

(5) Cf. huius vol. p. 457. ad v. 80. Il. II.

(6) In calce Aristophanis ed. Didotianae, Parisiis 1838.

volumine non abieci, experientia doctus e codicum varietate et retractatione praestantiores quotidie fieri editiones, ut quisque nostram cum Crameriana conferens animadvertere poterit.

Eodem consilio, iisdemque de causis exhibui scholia in allegorias a Tzetza (1) addita, quamvis a cl. Cramero in anecdotis praedictis fuerint vulgata, et Theogoniam ab Imm. Bekkero 1842. Berolini impressam, cuius fragmentum nuper etiam edidit cl. E. Millerus (2). Dum vero ibi multa perlegerem quae a Tzetza cum Iliadis heroibus connectuntur, atque Priami genus enarrant, ab allegoriis seiungere nolui, codicis mendositatem ipsam proferens. Ineditum videtur Tzetzae facetum *drama* (3), quo miseram sui ipsius conditionem deplorat, eo quod *vir doctus* fortunam expertus esset parum propitiam, quae ignaros facile secundat, divitiisque replet; haec saepe in suis operibus (4) repetit, et litteratorum statum

(1) Huius vol. P. II. p. 559-618. Auctores varii appellantur, quos recensui in fine vol. Ipsorum exemplis allatis locum adsignandum curavi, quamvis IV. Homeri versus, p. 605. 1-3., et p. 615. 25., frustra perquisiverim, quum haec biennio ante tumultuarie edebantur; nunc comperi versus in pag. 605. ad Iliadem parvam pertinere, eosque cum variante *ἀνέρες ἦσαν* pro *ἦσαν Ἀχαιοί*, legi in Homeri fragmentis v. 232. sqq. ed. Barnesii Cantabr. 1711.; versus autem in p. 615. est in Il. XI. 298., at pro *ἰσειδέα*, ut vulgo habent editiones, heic varia legitur lectio *ἠεροειδέα*.

(2) In catal. codd. Escor. p. 30. sqq. Paris. 1848.

(3) In hoc vol. P. II. p. 622. sqq.

(4) Chil. IV. hist. 7., ubi de *χρῦ*, huius vol. p. 120. Il. XV, v. 88. sq., p. 279, Od. IX. v. 79, et P. II. p. 592. etc.

a saeculis nihil mutatum confirmant. Ut tamen extremum dramatis versum. *χρυσὸς γὰρ ἄρτι καὶ λαλεῖ, καὶ σπένδεται*, Tzetzae tribuerem, non possum animum inducere.

Miretur aliquis eiusdem auctoris opusculis volumen conspersum: siquidem scholia allegorias sequi debebant. et, ne saepius de Tzetza sermo rediret, omnia continenter imprimenda erant. Do manus victas: at principio syllogen homericam statueram promere. neque scholia Tzetzae adhuc in meis adversariis erant redacta; mutato dein consilio. varii generis collectanea edita est, ut lectorum animus a severis Homeri studiis sublevaretur. et nova poetarum series Anthologiam exornaret.

Sequuntur Homerica quaedam selecta ex operibus Christophori Contoleontis vel Contoleonis. Extant in cod. Vat. chartaceo 1352 (1). Quandoquidem a bibliographis de hoc auctore ne verbum quidem traditum est. et ex eiusdem scriptis nihil aliud eruitur. nisi quod sub

(1) En quae in codice continentur. Asterisco notantur heic edita. Praeit praefatio ad Iani Lascaris epigrammatum scholia, quae sunt in fine, et quae composuisse dicit *τῇ πρὸς τὲς φιλομαθεῖς ϛοργῇ*.

F. 3. Oratio, quae titulo caret, de optima vivendi ratione ab Homero desumpta. Princ. Οἱ *μὲν πολλοὶ τῶν φιλοσόφων* — F. *ἐδήσατο καλὰ πέδηλα*.

F. 19. Πρὸς *τὸν μακαριώτατον* Πρόεδρον Ῥώμης Παῦλον Γ΄ *προτρέποντος αὐτὸν ἵνα τὸν* Ἕλληνα *καὶ* Ῥωμαῖον *ἀρχαῖον λόγον ἀνακαινίσῃ*. P. Ἔδει *μὲν, ὦ πάτερ θειότατε* — F. *ὃ γένοιτο, θεῶν καὶ ἀνθρώπων ὕπατε*.

F. 29. Ἐκλογὴ *παρὰ τῶν* Ὁμηρικῶν *ἐπῶν περὶ ἀρίϛȣ ϛρα-*

Pauli III. Pontificatu vixerit. huiusmodi notitias investigare per otium in aliud tempus differo.

Ut pro aevi cuiusque ingenio et cultu in exemplo sit Homeri fortuna. qui interpretum mentes semper exagitavit. et exacuit ad carminum explanandam sapientiam, inter tot homericas lucubrationes, quas codices Vaticani abunde largiuntur, libenter auctorem selegi in-

τηγȣ καὶ ςρατιώτȣ. P. Οὐ μικρὸν ἡμῖν — F. ἀθεῶς εἰς τὰ θεῖα βλασφημήσας.

* F. 80. Ζητήματα καὶ λύσεις ἐκ τῶν Ὁμηρικῶν ἐπῶν εἰλημμένα. P. Τῶν πρὸ τȣ̃ Πλάτωνος — F. ἤδη πεπονημένας.

* F. 103. Εἰς τὴν Ἰλιάδος πρόθεσιν. P. Μῆνιν ἄειδε — F. προθέσει ἐπινενόηται.

* F. 112. Εἰς τὴν Ὀδυσσείας πρόθεσιν. P. Ἐπειδὴ ὡς καὶ — F. ἄνθρωπος ἔτι κληθήσεται.

* F. 121. Εἰς τὴν Ἀγαμέμνονος πανοπλίαν ἀλληγορικὴ ἐξήγησις. P. Κνημῖδας μὲν πρῶτα — F. πανοπλίας ἐπινενόηται.

F. 133. Ὅτι ἐκ ἀΐδιος ὁ κόσμος. P. Τὸν κόσμον ἀΐδιον οἱ πλείȣς — F. τȣ̃ κόσμȣ λόγων ἀντείρηται.

F. 145. Περὶ νόμων. P. Ἐπειδὴ παρὰ πολλῶν — F. περὶ νόμων ἡμῖν εἴρηται.

F. 169. Πρὸς τȣ̀ς λέγοντας ὅτι εἰ ἀθάνατος ἐςὶν ἡ τȣ̃ ἀνθρώπȣ ψυχὴ χωρισθεῖσα ἀπὸ τȣ̃ σώματος, ἀπαθὴς ἐςι. P. Εἰσί τινὲς οἱ πᾶσαν — F. καὶ γέλωτα ὀφλισκάνȣσιν.

F. 178. Περὶ ὑποκρισίας. P. Ὁρῶ μὲν ὑμας — F. τῶν μαρτύρων νικώμενοι.

F. 194. Περὶ αἱρέσεως ἀρίςης πολιτείας. P. Ἔχεις τὶ περὶ τȣ́τȣ — F. σωτηρία τῇ βȣλῇ καὶ τῷ δήμῳ.

F. 210. Τȣ̃ αὐτȣ̃ ἀριςοκρατία. P. Τὸ μὲν τῆς ἀρίςης — F. τȣ̃ πλήθȣς οἱ τȣ̃το. Cetera desunt.

F. 218. ad 233. continet scholia epigrammatum Lascaris. Insuper cod. Vat. 1386. habet Boeotiae hypothesin.

fimae Graecitatis. Contoleon siquidem scholia, quae ad I. rhapsodiae v. 424. pertingunt, suo ingenio composuit, et partim allegorice, partim moraliter poetae sensus exposuit. Hac ratione argumentum Iliadis et Odysseae interpretatus est; in allegorica tandem explanatione Agamemnonis armaturae, hominem bene moratum, politicis disciplinis, et non vulgari eruditione imbutum comperies.

Inter edita Porphyrii scripta aliquot opuscula ad Homerum spectantia olim eruditi recensuere (1). Postquam vero Lambecius in Comm. de bibl. Caesarea (2) indicavit opusculorum verum auctorem esse Gregoram, sub eius nomine demum (3) ea imprimere licuit. Re vera in cod. Vat. 1098. deest auctoris nomen, et ante opuscula Gregorae aliqua sunt Ἰωάννου Εὐχαΐτων Μητροπολίτου. Nulla itaque praecedenti editione consulta, encomium in Odysseam et moralem enarrationem errorum Ulyssis (4) imprimere denuo constitui, eodem sane consilio ductus, quod supra aperui de scholiis a cl. Cramero editis disserens.

Anno 1668. Romae *apud successorem Mascardi* prodit indiculus in X. libros symmictorum, quae Leo Allatius edere proposuerat. In l. III. n. 43. (5) typis

(1) Cf. Valckenarii diss. de scholiis in Homerum ineditis, Leovard. 1747. p. 142. sq., et Fabr. ed. n. Vol. V. p. 734.

(2) Lib. V. p. 291.

(3) Cf. Hoffmannum lex. bibliograph. T. III. p. 120.

(4) Legi etiam in cod. Vat. 889. etc.

(5) Fabr. Vol. XIV. in princ.

erat parata *Ilii imago*, quam ego anno 1838. exscripsi ex autographo (1) in bibl. Vallicelliana extante. Opusculum more rhetorum ingeniose et eleganter conscriptum libenter volumini adieci, eo quod Allatius Ulyssis sagacitatem ante oculos veluti in tabula depicta, Cebetis tabulam imitatus, ponendam studuerit.

Sequuntur κανονίσματα quaedam ex Homero desumpta, idest regulae grammaticales verborum formationem explanantes. Earum auctor latet: quae vero ante has regulas cod. Vat. 93. continet, sunt Βατζάτζη (Iohannis Ducae). Nescio si alias editae fuerint, at cum perutiles Homeri studiosis eas intelligerem, in ordinem alphabeticum digessi, et iuri publico mandavi.

Ex eodem indiculo *symmicton* Allatii l. VII. 128. sq., Leonis philosophi Imperatoris et Constantini Siculi Grammatici eius discipuli poematia adhuc inedita in Romanis fortasse bibliothecis asservari praesensi, eaque cod. Vat. 915., cuius etiam subsidio Tzetzae Antehomerica etc. cl. Imm. Bekkerus recensuit, permінutis characteribus in unica pagina confertim exarata mihi obtulit. Nunc dubia, quae cl. Fr. Iacobsius circa Leonem affert in catalogo poetarum epigrammatum (2)

(1) Ex iisdem Allatii adversariis inter alia exscripsi etiam *Leonardi Aretini de Florentinorum re publica* tractatum graece cum ipsius Allatii latina versione, quae etiam approbationem S. C. Indicis consultoris R. P. Clementis Tosii signatam die 25. Septemb. 1668. praesefert, ut typis traderetur. Haec et aliquot ex iisdem mss. edam in Allatii ipsius vita a Stephano Gradio partim redacta, quam iamdiu promisi.

(2) Vol. III. part. III. p. 907., sive Anthol. T. XIII., et Fabr. Vol. IV. ed. n. p. 479.

ex hisce carminibus facile solvuntur. Etenim Imperatoris parum laudata continentia ob saepe repetitas nuptias, quod male audit Ecclesia Graeca, tum cura ad disciplinas philosophicas et bonas artes fovendas, classicorumque studia suscitanda, dum mediocris doctrinae viro philosophi nomen immerito indidit, simulationis notam in christiana religione profitenda dolose inussit: hinc carminum significatio intelligitur. Constantinum in poesi discenda sub Leonis disciplina operam navasse tum titulus prioris, tum vero postremae elegiae versus confirmant, e quibus tam familiariter cum Imperatore versatum esse dignoscitur, ut eius cordis mysteria scrutatus, occultam pravitatem vix sero didicerit. Quapropter acriter insectatur Leonis vitia Constantinus, qui idem ac Siculus est, ut videre licet in Anthologiae l. XV. 13., cuius mutili epigrammatis sententia in ipsius Leonis thronum ex hisce praemissis, et e versibus nunc vulgatis perceptu facilis redditur. Ad aures interim Imperatoris haec tria scoptica carmina pervenisse patet ex ipsius apologia edita ut huiusmodi calumnias a se dimoveret, ethnicos enim mythos detestatur, et fidei professionem dilucide exponit. Verumtamen dolet quod Hippoclidis effatum non protulerit: quod si fecisset, e fragmentis Herculanensibus Polystrato tributis, aliqua fortasse ad Hippoclidem pertinere noverimus (1). Constat ex historiis anno 886. Leonem imperii regimen excepisse, statimque schismaticum Photium a IX. Pontificibus

(1) Cf. T. IV. Hercul. Vol. col. XXIII. p. 47., et col. XXIV. p. 49. ed. Neap. 1832.

maximis anathemate perculsum in exilium misisse: quare epigramma Leonis ante illam aetatem compositum fuisse in Photii laudem liquet.

Ex his quae ad nos pervenerunt (1) Leonem mediocrem fuisse poetam satis superque comperitur: ipse tamen, invita Minerva, quamplurimas sacri argumenti composuit odas. Inter deperditos auctores, quos codex Barberinianus continebat, et quorum indiculum 1840. edidi cum anacreonticis s. Sophronii (2), connumeratur Leo sapiens, cuius erant XLI. odaria κατανυκτικά (3). Huiusmodi titulum cum IV. tantum strophis mihi occurrit in cod. Vat. 207., integram vero oden sacra moestitia, et compunctione refertam, a cod. 263. Vindobonensi conservatam, mihique missam a cl. Caesareae bibliothecae Praefecto, cuius eximiam comitatem mox digna laude commendabo, heic imprimendam curavi.

Tot melodorum iacturam, quorum nomina et odarum varii nec invenusti generis argumenta solummodo indiculus Barberiniani codicis tradidit, alias deploraveram (4), neque spem eos in aliqua mss. bibliotheca in-

(1) Cf. Anthol. l. IX. 200-3. 13. 361. 578-9., et Hoffmannum Lex. bibl. T. III. p. 5.

(2) Spic. Rom. T. IV. p. XXXVIII. Postquam apographum Allatianum n. 379. signatum cum archetypo cod. 246. bibliothecae barberinianae an. 1839. diligenter contuli, ut monui in praefatione ad Sophronii anacreontica p. XX., ubi inlustrissimi Principis et humanissimi bibliothecae Praefecti comitatem laudavi, *Barberinianum* appellare placuit.

(3) Vocabulum in libris ecclesiasticis Graecorum usitatum, melos significat aptum ad compunctionem excitandam.

(4) Spic. Rom. T. IV. p. XXII.

veniendi omnino abieceram. Praecipue namque angebar, amoris patrii caussa, nostratis Constantini Siculi carmina pessum ivisse, quorum lepida argumenta ab indiculo Barberiniano servata magis magisque investigationis diligentiam augebant. Noveram (1) in cod. 52. plut. XXXII. bibliothecae Laurentianae aliquas odas contineri, quae librarii oscitantia uno auctori adpinguntur, dum re vera ad tres spectare ostendam. Quippe inferioris aevi codici anteponendus est absque dubio antiquioris notae praetiosissimus Barberinianus a me laudatus: idem indiculus oden, cuius argumentum est, Τίνας ἂν εἴπῃ λόγους ὁ Ἀπόλλων κατατρέχων τὴν Δάφνην, καὶ ἐμποδισθεὶς εἰς ἄκανθαν ῥόδȣ, Georgio Grammatico tribuit (2). Ad Constantinum itaque tantum pertinent binae odae heic impressae, prioris enim argumentum quamvis in epitome contractum cum indiculo Barberiniano consonat (3), et moralem habet paraenesin ad Amoris fallacias devitandas. Sequuntur in eodem fol. codicis Laurentiani: — Τȣ̃ αὐτȣ̃ πρὸς Ἰσαάκιον αὐτοκράτορα τὸν Κομνηνόν. P. Ἡ τῶν Καλανδῶν Ἰτάλιον ἡμέρα — F. μέτροις τε ποικίλλουσα καὶ λόγοις ἅμα. Et — Τȣ̃ αὐτȣ̃ ψώραν ἔχοντος ποτέ — Στίχους Μιχαὴλ τῇ καλῇ ψώρᾳ πλέκω. Ast haec ab librario turpiter confusa, a cl. Bandi-

(1) Ibid. p. 620.

(2) Cf. Allatium in diatriba de Georgiis p. 322. ed. Paris. 1651., Spic. Rom. T. IV. p. XXXVI., et huius vol. p. 659.

(3) Hanc oden cl. I. A. Cramerus anonymam edidit in Anecd. e codicibus Parisiensibus T. IV. p. 380. sqq. cum simplici titulo ᾠδάριον ἐρωτικόν. At quantum praestet haec mea impressio videat lector.

nii (1) perspicacia, ceteroquin diligentissimi, duobus saltem auctoribus tribuenda erant, uni Constantino numquam. Verum enim vero nemo, etsi parumper bibliographicum limen salutaverit, iambos ad Isaacium Comnenum, et in scabiem laudandam Michaëli Psello adscribere inficias ibit.

Noveram etiam e Lambecii cat. bibl. Caesareae (2) Constantini Siculi (3) versus anacreonticos, quorum breve argumentum, ibidem relatum, idem esse ac editum a me in indiculo Barberiniano statim praesensi. Quapropter e bibliothecis Laurentiana et Vindobonensi Constantini carmina exoptavi. Quamvis ignotus essem Praefecto Caesareae bibliothecae *Bar. de Bellinghausen*. et Mediceae adiuncto *Rev. Petro del Furia*, tantam eorum expertus sum erga mea studia indulgentiam, ut alter inter bellicos strepitus, qui utrinque musarum otiis

(1) Catal. codd. Graec. bibl. Laur. T. II. p. 211.

(2) Lib. V. p. 295. cod. 333.

(3) De hoc auctore frustra aliquid perquires in cl. Mongitorii bibliotheca Sicula; quae quam primum ignotum hucusque scriptorem etiam Siculum connumerabit: nam plurimae ex homiliis, quae a F. Scorso S. I. Parisiis 1644. editae, sub nomine Theophanis Ceramei circumferuntur, codd. Vaticanorum auctoritate suum denique evulgabunt auctorem. Decem enim abhinc annis Em. Card. Maius, summa benivolentia me iugiter prosequens, codices indicavit, et ut ea scripta ad res siculas spectantia ederem suasit: postremo inlustris vir, cui hocce negotium communicavi, iteratis epistolis e Lutetia Parisiorum missis, ne diu moras interponerem ad patriam historiam, et rem litterariam inlustrandam hortatus est, quod quam primum lubenter efficiam.

tunc vale dicebant, nulla interposita mora, apographum cum exemplare codicis affabre delineatum a cl. I. Müllero, epistolamque more Germanico humanitate plenam, alter omnia manu propria diligenter confecta ad me miserint, quorum beneficii memoriam numquam amittam (1). Porro Constantini anacreonticon cod. Vind. ob suppositum matris et fratrum eius naufragium inter quaeque venustissima principem tenet locum: tanta enim pietate erga Deum, charitate in parentes, perspicua catholicarum doctrinarum professione abundat, et animi dolorem tam concinnis expressum numeris prae oculis ponit, ut supra nihil desiderare queas.

Nunc de melurgorum collectione breviter dicam, adducamque rationem qua factum est, ut huiusmodi seriem Tzetzes interceperit.

Notitias enim bibliographicas de Tzetzae Theogonia ex Germania petitas, quae sero tandem et fallaces per-

(1) Quandoquidem in odarum argumentis p. 693. et 696. κουκουλλίου, et ἀνακλωμένων fit mentio, iuvat vocabula explicare ipsis verbis a Cangio in Gloss. mediae et infimae Graecitatis col. 1728. sq. allegatis ex anonymo ms. de re metrica; addam insuper variantes cod. Vat. 97., ut, qui in edendis rebus grammaticis operam navant, percipiant quantum utilitatis sit Vaticanos codices retractare. Verumtamen ingenue fateor me ignorasse huiusmodi versuum nomenclationem quum in Spic. Rom. T. IV. an. 1840. Sophronii anacreontica vulgavi: attamen in praefatione studui genus prosodiacum divinari, quod si consequutus fuerim, videat lector. Rei metricae auctor latet etiam in cod. Vat., ast ex exemplis allegatis laetus comperi duo ex meo Sophronio esse desumpta, quae infra opportune notabo, quaeque vero adespota

venere. famelicus typotheta expectare pertaesus est, adiecitque minas ad aliud opus manus appositurum, si ci-

videntur, ea, ni fallor, ad deperditas Sophronii odas pertinent. Sic itaque Cangius l. c.

Κȣκȣ́λλιον - In re metrica. Anonymus ms. περὶ μέτρων de versibus anacreonticis: Τὰ ἀνακρέοντεια a) ἐπιδέχονται μὲν b) εἴκοι, ἀνάπαιςον καὶ δύο ἰάμβȣς, καὶ μίαν περιττὴν συλλαβὴν ἀδιάφορον c) οἷον,

Ἀπὸ τȣ͂ λίθȣ τὸ ῥεῖθρον.

Τὸ δὲ τȣ́τȣ d) κȣκȣ́λιον γίνεται ἐξ ἐλάσσονος, καὶ μείζονος, τȣτέςιν ἀπὸ πυῤῥιχίȣ καὶ σπονδείȣ, οἷον,

Ἀρετὴν e) εὐςεφάνȣ ἄνθεα δρέψας f).

Τȣ͂ Ἀνακρέοντος g) ἡ πρώτη χώρα ἐπιδέχεται ἀνάπαιςον· ἡ δευτέρα καὶ ἡ τρίτη τὸν h) ἴαμβον· ἡ i) τετάρτη ἀδιάφορον, οἷον.

Ἀπὸ τῆς φίλης ἐρήμȣ k).

Καὶ πάλιν l).

Βλέπε πρὸς m) κόνις τὰ πάντα

Τὸ δὲ κȣκȣ́λιον n) αὐτῶν ἐν τῇ πρώτῃ καὶ γ΄, καὶ ε΄ χώρᾳ, πυῤῥίχιον· ἐν δὲ τῇ β΄ καὶ δ΄ σπονδεῖον· ἐν δὲ τῇ ς΄ σπονδεῖον ἢ τροχεῖον, οἷον,

Ζαχαρίȣ μεγάλȣ πάγκλυτε κȣ͂ρε o).

Similia fere habet Scholiastes Hephestionis p. 88. Alter anonymus de metris, in eod. Cod. ubi περὶ Ἀνακρεοντείων. Ὁ δὲ

a) C. Vat. incipit Περὶ Ἀνακρεοντείων - Τὰ ἀνακρ. etc. b) C. addit αὐτῶν οἱ. c) C. om. ἀδιάφορον. d) C. τȣ́των. e) C. Ἀρετῆς. f) Hemistichium est apud Sophr. ode XII. p. 95. v. 36. g) C. Ἔςι δὲ ὁ ςίχος τȣ͂ Ἀνακρέοντος ȣ̃τος· ἡ πρώτη χώρα ἀνάπαιςον. h) C. om. τὸν. i) C. Ἡ δὲ. k) Sophr. ode V. v. I. p. 66. l) C. om. usque ad πάντα. m) Corrige πῶς, ut huius vol. P. II. p. 554. v. 9., ubi Ignatius habet βλέπε πῶς πάντα κόνις. n) C. Καὶ τὸ κȣκȣ́λιον αὐτȣ͂, ὃ καὶ ἀνακλώμενον καλεῖται, ἡ πρώτη καὶ τρίτη καὶ πέμπτη χώρα, πυῤῥίχιον· ἡ δὲ δευτέρα καὶ τετάρτη σπονδεῖον ἢ τροχεῖον· οἷον — Ζαχαρίȣ μεγάλȣ πάγκλυτε κȣ͂ρε — o) Sophr. ode V. v. 17. p. 67.

to industriae suae non providerem. Ne itaque cursum editionis intermitterem, aliquot Leonis Magistri anacreontica, quae plerumque in Leonis Imp. philosophi laudem sunt, eiusdem carminibus nunc primum cusis adiunxi, et ne vacuae manerent VI. paginae, Acoluthi et Georgii Grammatici quaedam imprimenda concessi. Promiseram enim (1) ab anno 1840. me aliquando evulgaturum melodos, quorum elegantissima carmina una cum Sophronii anacreonticis continentur, quorumque breviatas notitias in eiusdem Sophronii praefatione dedi. Ecce nunc tandem ex parte fidem libero, atque odae Leonis Magistri, Acoluthi Grammatici, Georgii Grammatici, Iohannis Gazaei, Heliae Syncelli, Ignatii Grammatici, et Christophori primi a Secretis, exceptis Photii versibus, alias iam editis (2), Graece tantum lectoribus exhibeo. Quamprimum enim easdem curas, quas in inlustrandis Sophronii anacreonticis impendi, ceteri etiam melodi consequentur, iidem sane melodi, qui ut abs quovis erudito demum divulgarentur, doctissimi viri iamdiu hortati sunt (3).

τούτων κουκούλιος, ὁ καὶ ἀνακλώμενος, καὶ αὐτὸς ἓξ χώρας ἔχει, ποσὶ δὲ χρᾶται καὶ ἐλάττονι καὶ μείζονι etc. Infra, παράδειγμα τοῦ κουκουλίου, τοῦ καὶ ἀνακλωμένου. — Τὰ καθ' ἡμᾶς δακρύων — Ἄξια πάντες, — Καθορῶντες δακρύων — Ῥεύματα χεῖται. — Hucusque Cangius.

(1) Spic. Rom. T. IV. p. XXX. sqq.

(2) T. IX. Spic. Rom. p. 739. sqq.

(3) Scriptorum Veterum nova collectio T. X. p. XIV. Romae 1838.

Dum vero singulariter λεπτολογεῖν de iisdem differo, summarium odae IV. Leonis Magistri referam. Hinc, quum barbaries in aliis regionibus grassaretur, bonarum artium splendorem in urbe regia Leonis philosophi industria et studio auctum mirabiliterque provectum conspicimus. Tota igitur ode est in laudem thermarum, quas in aula imperiali Leo construxerat. Ibi musiva, statuae, ambulacra, aurata porticorum lacunaria summo artificio confecta describuntur. Quid referam de Neptuni, de Imperatricis forsan Zoae, de fluminum simulacris, de pueris ad piscandum contendentibus, de mensis supra scopulos paratis graphice repraesentatis? Valvae aperiuntur et stridorem non edunt, sed humana voce Imperatorem salutant. Ibi organa hydraulica, ibi animantium diversa species, quamvis sculpta, propriam vocem vi aquarum mittit: thermarum denique laudatur utilitas ad aegrotantium valetudinem et vires restituendas, dum gryphus aquam imitantem ignem ab ore emittit, adstantesque deterret.

Constantini Rhodii carmina in Leonem Choerosphacten, et in Theodorum Paphlagonem, eiusque responsa iambis scopticis promiserat in symmictis (1) Leo Allatius. Eadem olim legi in ipsius Allatii adversariis, in bibl. Vallicelliana asservatis, omnigena poetarum farragine refertis; ast ego e cod. Vat. Urb. 95. exscripsi. Leguntur in Anthologiae l. XV. 15. sqq. aliquot Rhodii epigrammata, e quibus liquet intra finem IX., et principium X. saeculi floruisse. Reiskius suspi-

(1) Lib. VII. 135. 136. 137.

catur (1) hunc Constantinum eumdem esse qui sub nomine Constantini Cephalae Anthologiam concinnavit. Attamen si Reiskii opinio stat, parum felix poeta evasit, qui elegantissima omnis aevi exemplaria tractavit, nobisque volens nolens transmisit, sed eodem fere modo quo saepe videmus artifices egregiis classicorum operibus insultare, insulsa et depravata iisdem in locis conficiendo. Ceterum iambos saepe more Aristophaneo, studio singulari e pluribus verbis turgide in unum compositos, ad Anthologiam ditandam emisi.

Arsenii Archiepiscopi anacreonticon εἰς τὴν λαμπρὰν Κυριακήν (in Dominicam resurrectionis) vidi in cod. Vat. 208., versusque quum non invenustos, immo elegantes et poeticam quamdam suavitatem olentes invenissem, statim in meis adversariis retuli, et typothetae tradidi. Arsenius, de quo nihil comperitur praeterquam quod Allatii notitia mox in notis alleganda, fortasse est Corcyrae Archiepiscopus, cuius orationes adhuc ineditas, in laudem s. Barbarae et s. Andreae apostoli (2) a cl. Andrea Mustoxydio exoptatas, e membranis XI. et XII. saeculi nuper exscripsi: alteram scilicet e cod. Vat. 679.,

(1) Cf. F. Iacobs. animadv. in epigramm. Anthol. Graec. T. XIII. p. 739. 874., et proleg. T. VI. p. LXXIV. Lipsiae 1794. et 1814. Nescio verumtamen quid sibi velit Harlesius, Vol. IV. p. 469. ed. n. Fabr., distinguens *Constantinum alterum Rhodium et christianum, alterum Siculum*, quasi ethnicum fuisse: at quantum is religione, et catholicis dogmatibus praestiterit ex eiusdem elegiis in Leonem, et ex anacreontico heic p. 689. sqq. edito, satis superque demonstratur.

(2) Edere proposuerat L. Allatius in symmictis Lib. V. 108.

alteram e cod. Vallicelliano 34. B., quam bibl. Praefectus *Rev. A. Theinerus* mira liberalitate, ut viris doctis mos est, mihi obtulit. Praemissa exhortatione ad tam praeclarum festum celebrandum, Arsenius veris descriptionem poetice persequitur, quae maximam carminis partem occupat: dein laudes ss. Triadi tribuuntur, et s. Georgius, loci protector ubi Arsenius morabatur, veluti intercessor apud martyras adhibetur. Quapropter est qui opinatur nostrum *Arsenium Monembasiae fuisse archiepiscopum, qui Venetiis septuagenarius* 1535. *decessit* (1), *et in s. Georgii ecclesia tumulatus est*, quamvis ex eiusdem ecclesiae annalibus constet, Kal. Novembr. anni 1539. sub Marci Samariarii Zacynthii praefectura primum eiusdem lapidem solemni ritu benedictum, ac XXXIV. annis post absolutam fuisse. Mihi vero styli puritatem in ode saepe consideranti videtur auctor XVI. saeculo longe vetustior.

Posthac in album auctorum recensetur etiam Iohannes Catrares, qui hucusque ut librarius a bibliographis habitus est (2). Subscriptio cod. Escor. (3) auctorem saec. XIV. vixisse testatur (4). Versus legi in utroque cod. chartaceo Vat. 889., et 914., qui utpote emendatior et expolitior Catrarae coaevus fortasse existimari

(1) Cf. Ch. F. Boerneri de doct. hom. Graec. etc. p. 155. Lips. 1740.

(2) Fabr. ed. n. Vol. I. p. 410., Miller. cat. codd. Escor. p. 162.

(3) Q. II. 19.

(4) Ibidem.

potest. In quemdam hominem Epirotam dicteria continent, qui ubi gregem, quam pascebat, dereliquit, et Thessalonicam aufugit, detonsa coma Neophytus nominari voluit. Ibi ut gratum schismaticis faceret, ac sui ingenii insigne aliquod argumentum ederet, contra s. Romanam Ecclesiam libellum, soloecismis et ignorantia redundantem, vulgavit. Lepide exponitur inepti hominis arrogantia, et superbia, quae miserum Graeciae statum prae oculis ponunt, quaeque schismatis sunt deplorabiles et praecipuae caussae.

Non equidem futilitas argumenti me induxit ad rude speciosumque carmen edendum, sed carminis ipsius peculiaris structura, quod, quamvis anacreonticon vocetur, nihil habet quod severis prosodiae legibus adcommodari possit. Hinc historiam declinationis Graecae poeseos contexere aliquando licebit, quae sensim, pro avita quantitate metrica oblita, accentus tandem in certas syllabas admisit. Insunt praeterea Catrarae versibus vernaculi mei sermonis Epirotici-pelasgici vocabula, et quaedam regionum finitimarum barbara ita inter sese copulata, ut dum corruptelam a vetere forma dicendi signant, ad historiam recentioris linguae concinnandam non parum conferunt.

Denique Catrarem sequitur Manuelis Palaeologi eiusdem fere argumenti breve anacreonticon in quemdam ignorantem et mordacem nugatorem: quod si inter hos auctores nullus inveniretur intermedius, aliquot annis supra saeculum interpositis quantum ars poetandi in deterius ierit observari poterit. Quapropter utilissima foret

philologis anacreonticorum omnis aevi collectio. quod forte in animo erat Allatio, cuius in adversariis huiusmodi collectionem inspexi. Spartam hanc ex parte exornabo anacreontica Sophronii recudens, tum forte alia, tum quae in hoc volumine leguntur, ordine chronologico disponam. et melodorum seriem a VI. ad XV. saeculum ducam.

Antequam finem praefationi faciam, et quasi coronidem epigramma prope Urbem inventum addam, quippe quod nomen proprium praeseferat, ignotum etiam recentioribus lexicographis, ius expostulat ut memoriae gratique animi caussa commemorem insignem erga mea studia benivolentiam bibliothethecae Vaticanae Praesulum, quorum benignitate deperditorum auctorum non deseram reliquias suscitare, meo officio scriptoris Graeci eiusdem bibliothecae substituti sedulo incumbens.

ΣΠΕΝΔΟΦΟΡΩ ΤΟΔΕ ΣΗΜΑ
ΚΛΥΤΟΙ ΤΕΥΞΑΝΤΟ ΤΡΟΦΗΕΣ
ΔΩΔΕΚ ΕΤΟΥΣ ΜΟΙΡΩΝ ΟΙΜΟΝ
ΑΜΕΙΒΟΜΕΝΟΥ ❦

# INDEX OPERVM

## QVAE ANECDOTORVM VOLVMINE COMPREHENDVNTVR.

## PARS I.

Editoris praefatio, in qua agitur de auctoribus eorumque scriptis hoc volumine contentis, praevia epistola ad Sibyllam Mertens-Schaaffhausen, pag. 5-37.

1. *1.* Iohannis Tzetzae, Prooemium in allegorias homericas pag. 1-40.

*2.* Eiusdem in Iliada allegoriae p. 41-223. — In I. Iliadis scilicet p. 41-53. — In II. p. 53-7. — In III. p. 57-63. — In IV. p. 63-6. — In V. p. 66-70. — In VI. p. 70-3. — In VII. p. 73-7. — In VIII. p. 78-84. — In IX. p. 84-9. — In X. p. 89-92. — In XI. p. 92-101. — In XII. p. 101-7. — In XIII. p. 108-14. — In XIV. p. 115-7. — In XV. p. 117-25. (Auctoris monitum de Cotertzae liberalitate ibid. et sq.) — In XVI. p. 126-40. — In XVII. p. 141-5. — In XVIII. p. 145-70. — In XIX. p. 170-5. — In XX. p. 175-90. — In XXI. p. 190-202. — In XXII. p. 202-8. — In XXIII. p. 208-12. — In XXIV. p. 212-23.

*3.* Eiusdem Prooemium in Odysseae allegorias p. 224-6.

*4.* Argumentum Odysseae ib.

*5.* Allegoriae, quae supersunt in XIII. libros Odysseae, p. 227-67. — In I. Odysseae videlicet p. 227-38. — In II. p. 238-41. — In III. p. 241-5. — In IV. p. 245-50. — In V. p. 250-6. — In VI. p. 257-63. — In VII. p. 263-6. — In VIII. p. 266-73. — In IX. p. 273-9. — In X. p. 279-84. — In XI. p. 284-9. — In XII. p. 289-93. — In XIII. p. 293-5

2. Heraclidis allegoriae homericae, p. 296-361.

## PARS II.

3. Anonymi argumentum totius Iliadis, p. 361-3.
6. Iohannis Tzetzae, de deorum generatione et allegoriae, p. 364-71.
7. Eiusdem Theogonia, p. 577-98.
8. Eiusdem scholia in allegorias, p. 599-618. Addenda p. 749.
9. Eiusdem iambi funebres in Manuelem Comnenum, p. 619-22.
10. Eiusdem Drama, interloquuntur indoctus, sapiens, musae, chorus, p. 622.

4. Scholia vetera in I. et II. Iliadis, p. 372-479.

5. 1. Christophori Contoleonis scholia, sive quaestiones homericae, p. 479-98.
2. Eiusdem in Iliadis argumentum p. 498-504.
3. Eiusdem in Odysseae argumentum, p. 501-10.
4. Eiusdem allegoriae in Agamemnonis armaturam, p. 510-20.

6. 1. (Nicephori Gregorae) encomium Odyss., p. 520-4.
2. Eiusdem enarratio errorum Ulyssis, p. 525-31.

7. Leonis Allatii Ilii imago, p. 531-6.

8. Incerti regulae grammaticales de verborum formatione ab Homero depromptae, p. 536-51.

9. Theodori Prodromi carmen in nuptias Irenes Comnenae Imperatricis, p. 552-4.

10. 1. Constantini Grammatici Siculi carmina elegiaca in Leonem philosophum Imperatorem, p. 555-6
2. Eiusdem anacreonticon suavissimum et religione erga Deum insigne, quod, patria (Syracusis fortasse) studiorum causa relicta, moerens Byzantii cecinit, eo quod falso fama detulisset parentes et fratres e Sicilia solventes naufragasse, p. 689-92.

3. Eiusdem anacreonticon bene moratum, paraenesim continens ad Amoris insidias vitandas, p. 693-6.
4. Eiusdem anacreonticon, p. 696-8.

11. 1. Leonis philosophi Imp. iambi apologetici, p. 557-9.
2. Eiusdem epigramma, ib.
3. Eiusdem iambi de misero Graeciae statu, p. 560.
4. Eiusdem anacreonticon compunctorium, p. 684-8.

12. 1. Leonis Magistri versus funebres in Theoctisten filiam, p. 561.
2. Eiusdem anacreonticon in nuptias Imperatoris Leonis philosophi, p. 561-4.
3. Eiusdem in idem argumentum, p. 564-5.
4. Eiusdem in thermas a Leone Imperatore in aula regia extructas, p. 565-8.
5. Eiusdem in Augustam Helenam Constantini uxorem, p. 568-71

13. Acoluthi Grammatici anacreonticon in brumalia, p. 571-3.

14. 1. Georgii Grammatici anacreonticon, p. 573-4.
2. Eiusdem anacreonticon, p. 574-5.
3. Eiusdem, quid dicere potuerit Venus, quum Minerva plantasset olivam et nata esset rosa, p. 648-53.
4. Eiusdem, quid dixisset Venus, quum oblata rosa, Pallas suaderetur Troianis auxilia conferre, p. 654-5.
5. Eiusdem, quid dicere potuerit Mars Venerem aspiciens sauciatam spina rosae, p. 655-9.
6. Eiusdem, quid dicere potuerit Apollon, persequens Daphnem, impeditus spina rosae obvia, p. 659-61.
7. Eiusdem, quid diceret Phaedra Hippolytum videns coronatum rosis, ib.
8. Eiusdem in idem argumentum, p. 662-4.

15. 1. Constantini Rhodii iambi scoptici in Leonem Choerosphacten, p. 624-5.
2. Eiusdem iambi scoptici in Theodorum Eunuchum Paphlagonem, p. 625-6.

3. Rhodii, et Paphlagonis invicem responsa iambis, p. 627-32.

16. 1. Iohannis Gazaei ἐπιβατήριος, idest in laudem patriae, ad quam reversus erat, p. 575-6.

2. Eiusdem anacreonticon in laudem praestantissimi Zachariae Ascalonitae, mille militum ducis, aliqua dicuntur etiam in laudem praeclarissimi Zachariae Gazaei ad recitationem adstantis, p. 633.

3. Eiusdem epithalamium extemporaneum in admirandum Anatolium Phausti principem Gazae, p. 634-5.

4. Eiusdem extemporaneum in die rosarum, p. 635-6.

5. Eiusdem lusus, quem cecinit in die rosarum, p. 636-8.

6. Eiusdem, quid diceret quaerens Adonem Venus, cui Iuppiter consone respondet, p. 638-41.

17. 1. Heliae Syncelli anacreonticon poenitentiae, p. 641-4.

2. Eiusdem lamentatio in seipsum, p. 645-8.

18. Ignatii Diaconi Grammatici in Paulum suum discipulum, p. 664-7.

19. 1. Christophori primi a Secretis exhortatio ad Israëlitas, p. 667-9.

2. Eiusdem in idem argumentum, p. 669-70.

20. Arsenii Archiepiscopi anacreonticon in festum s. Pascae, p. 670-5.

21. Iohannis Catrarae versus anacreontici in Neophytum, p. 675-82.

22. Manuelis Palaeologi Imperatoris anacreonticon in quemdam ignorantem et loquacem, p. 682. sqq.

*Indices varii*

Videlicet I. auctorum, qui a Tzetza in allegoriis citantur, p. 669-70. et 674.

II. Homeri versus ab auctore allegati, adnotatis variantibus, p. 701-7.

Homeri versus, qui obelo a Tzetza notantur, p. 708.

III. Variae lectiones allegoriarum VIII. codd. Vaticanorum, p. 709-48.

IV. Mythologicus, ibi allegorica interpretatio *asterisco* notatur, p. 750-9.

V. Geographicus, in quo *asteriscus* indicat recens nomen antiquo respondens, p. 759-65.

VI. Nominum propriorum, p. 765-81.

VII. Auctorum, qui in scholiis Homeri, et a Contoleone citantur, p. 782-3.

VIII. Auctores ab Heraclide allegati, p. 783-4.

IX. Heraclidis variantes ab editione Nic. Schowii, p. 784-95.

Addenda et corrigenda ad Heraclidem, p. 795-6.

Ad Tzetzam et ceteros auctores, p. 797-9.

---

*In praefationis pag. 15. lin. 22. lege* - impressi, *et lin. 29.* - imperatricem.

---

FINIS.

# ὙΠΟΘΕΣΙΣ ΤΟΥ ὉΜΗΡΟΥ

## ἈΛΛΗΓΟΡΗΘΕΙΣΑ ΠΑΡΑ ἸΩΑΝΝΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ ΤΟΥ ΤΖΕΤΖΟΥ

## Τῌ ΚΡΑΤΑΙΟΤΑΤῌ ΒΑΣΙΛΙΣΣῌ ΚΑΙ ὉΜΗΡΙΚΩΤΑΤῌ ΚΥΡᾼ ἘΙΡΗΝῌ Τῌ ἘΞ ἈΛΑΜΑΝΩΝ.

### ΤΟ ΠΡΟΟΙΜΙΟΝ

### ΠΡΟΣ ΤΟ ΚΕΛΕΥΣΑΝ ΠΡΟΣΩΠΟΝ ἍΨΑΣΘΑΙ ΤΟΝ ΤΖΕΤΖΗΝ ΤΑΥΤΗΣ ΤΗΣ ΣΥΓΓΡΑΦΗΣ.

*Ἐπεὶ φαιδρά, πανσέληνε σελήνη, σελασφόρε,*
*οὐκ ἐκ ῥοῶν Ὠκεανοῦ φαίνουσα λελουμένη,*
*ἀλλ' ἐκ πορφύρας τῆς κλεινῆς, ὡς ἔπεισιν εἰκάσαι,*
*ἀνασκιρτῶσα φεραυγὴς, καὶ πλέον τοῦ φωσφόρου·*
*χρῄζεις ἐλαύνειν πόῤῥω ποι σαῖς ψυχικαῖς ἀκτῖσι,*
*τὸ σκοτεινὸν τῶν λέξεων, καὶ βίβλων τὴν ἑσπέραν,*
*οὐ κατὰ Κλεοπάτραν δὲ βασίλισσαν τὴν πάλαι*
*τῷ Ἐφεσίῳ ἰατρῷ τῷ Σωρανῷ χρωμένην,*
*μετέρχῃ τὰ καλλύνοντα μορφὰς τὰς τῶν προσώπων·*
*οὔτε χερσοῦν τι πέλαγος βραχύτατον ἐθέλεις,*
*ὥσπερ ἐκείνη πρότερον ἐν τῇ Ἀλεξανδρείᾳ*
*τῷ Δεξιφάνει τῷ σοφῷ μηχανικῷ Κνιδίῳ,*
*χερσώσασθαι τὴν θάλασσαν μέχρι τετρασταδίου·*
*ἐπεὶ τοιοῦτον οὐδαμῶς βούλεταί σου τὸ κράτος;*
*οὔτε τὸν Ἄθω θάλασσαν ὄρος ποιῆσαι μέγα,*
*ἢ τὴν Ἀβύδου θάλασσαν ὁλκάσι γεφυρῶσαι,*
*ὥσπερ ὁ Ξέρξης ἔδρασεν ὁ Πέρσης πρὶν ἐκεῖνος*

ἐκ τῆς Περσίδος στράτευμα κινῶν πρὸς τὴν Ἑλλάδα·
ἀλλ' ὡς ἀθέατος θεὸς, τῇ θέσει γὰρ, οὐ φύσει,
ἐπεντρυφῶσα ταῖς μορφαῖς καὶ κάλλεσι τῶν λόγων,
διὰ βροντῆς καὶ λαίλαπος ὁμοῦ καὶ τῆς νεφέλης,
θείαν φωνὴν προπέμπουσα γέμουσαν ὅλην φρίκης,
χειροτονεῖς τὸν δοῦλόν σου τὸν δεῖνα, τὸν ὁποῖον,
γενέσθαι τύπον ἀκραιφνῆ τοῦ πάλαι Μωϋσέως,
οὐχὶ φυγάδα σώζοντα λαὸν Ἰσραηλίτην
τὸ ἐρυθραῖον πέλαγος τεμόντα βακτηρίᾳ,
οὐδὲ Περσίδος θάλασσαν, οὐδὲ τὴν Ὑρκανίαν,
ἀλλὰ τὸν μέγαν τὸν βυθὸν ὠκεανὸν Ὁμήρου,
τὸν πᾶσαν περισφίγγοντα κύκλῳ τὴν οἰκουμένην,
βατὸν κελεύεις ἅπασι καὶ πορευτὸν ποιῆσαι,
ὡς Μωϋσῆς τὴν ἐρυθρὰν Ἰσραηλίταις πάλαι·
ἤδη χωρῶ πρὸς τὸν εἱρμὸν, καὶ γλώττης βακτηρίᾳ
πλήξας αὐτὸν, τοῖς σύμπασι πορεύσιμον ποιήσω,
καὶ βάθη τὰ ἀθέατα τούτου φανεῖται πᾶσιν·
ἀλλ' ἀναχαιτιζέσθωσαν αἱ μωμοσκόποι γλῶσσαι
ἐξυλακτεῖν τι καθ' ἡμῶν οἰστρούμεναι τῷ φθόνῳ·
ὡς γὰρ αἱ πάλαι γράφουσι τὸν Δία μυθουργίαι
μεταβαλεῖν εἰς μόρφωμα πιθήκων τοὺς Τιτᾶνας,
οὕτω καὐτὸς νῦν βούλομαι τρόποις οἰκονομίας
μεταβαλεῖν τοὺς ἥρωας συγγράμμασι πιθήκων.

Καὶ δὴ λοιπὸν πετάσασα τὰς θείας ἀκοάς σου
πρὸ πάντων πρῶτον μάνθανε τοῦ ποιητοῦ τὸ γένος,
πατρίδα καὶ γεννήτορας μετὰ τῶν διδασκάλων,
καὶ χρόνους, οἷς ἐτύγχανε, καὶ πόσας γράφει βίβλους,
καὶ ποῦ καὶ πῶς ἐξέλειψε τὸν βίον τελευτήσας·
καὶ δῆτα τὴν ὑπόθεσιν μάθε τῆς Ἰλιάδος
κατὰ λεπτὸν τὴν σύμπασαν, καὶ τὰς μορφὰς Ἑλλήνων·
εἶτα δ' εἰ θέλεις μετ' αὐτὰ καὶ πᾶσαν Ἰλιάδα,

ὥσπερ κελεύει θέλημα τὸ σὸν μεταποιήσω·
τέως πρὸ πάντων μάνθανε τοῦ ποιητοῦ τὸ γένος.
Ὁ Ὅμηρος ὁ πάνσοφος, ἡ θάλασσα τῶν λόγων,
πλὴν γέμουσα τοῦ νέκταρος, οὐχ ἁλμυρῶν ὑδάτων,
ἑπτὰ πατρίδων λέγεται τυγχάνειν ἀμφιβόλων,
ἑπτὰ πατέρων γέννημα, καὶ τούτων ἀμφιβόλων·
λέγεται γὰρ ἐκ τῶν Θηβῶν ὑπάρχειν τῆς Αἰγύπτου,
ἑτέροις Βαβυλώνιος, Χῖος δοκεῖ τοῖς ἄλλοις,
Ἰήτης, Κολοφώνιος, Σμυρναῖος, Ἀθηναῖος,
σὺ δὲ Σμυρναῖον γίνωσκε τὸν Ὅμηρον ὑπάρχειν·
ἑπτὰ πατέρας λέγουσιν πάλιν ὑπάρχειν τούτου·
οἱ μὲν γὰρ τούτου λέγουσιν πατέρα Μενεμάχην,
Αἰγύπτιον τυγχάνοντα ἱερογραμματέα·
οἱ δὲ πάλιν Δαήμονα, τινὲς δὲ Μασσασώραν,
ἀνθρώπους ἄμφω ζήσαντας ἐμπορικὸν τὸν βίον·
Τηλέμαχον καὶ Θάμυριν ἄλλοι ληροῦσι πάλιν,
ἄλλοις δὲ Μαίονος υἱὸς, καὶ Ὑρνηθοῦς καλεῖται·
οἱ πλέονες δὲ Μέλητος φασὶ καὶ Κριθηΐδος.
Διδάσκαλος Ὁμήρου δὲ γίνεται Προναπίδης·
ὁ Κάδμος ἐξ Αἰγύπτου γὰρ ἐλθὼν εἰς τὴν Ἑλλάδα
τὸν Λῖνον ἐξεπαίδευσεν ἐν γράμμασι Φοινίκων·
ὁ Λῖνος ἐξεπαίδευσεν ὁ μαθητὴς τοῦ Κάδμου
Ὀρφέα, Ἡρακλέα τε καί γε τὸν Προναπίδην·
τὸν Λῖνον τὸν διδάσκαλον ὁ Ἡρακλῆς φονεύει·
ὁ δὲ Ὀρφεὺς διδάσκαλος γίνεται Προναπίδῃ·
ὁ Προναπίδης οὗτος δὲ τὸν Ὅμηρον διδάσκει·
καὶ δὴ μαθὼν ὁ Ὅμηρος πάντα τὰ Προναπίδους,
χρήζων καὶ πλείονα μαθεῖν, εἰς Αἴγυπτον ἀπῆλθε,
κἀκεῖ λοιπὸν ἐτρύγησε πάσης σοφίας ἄνθος·
σοφὸς δ' ἄκρως γενόμενος ὑπὲρ ἀνθρώπου φύσιν
τρία καὶ δέκα γέγραφε μνημόσυνον βιβλία,

Μαργίτην καὶ τὴν Αἶγά τε, καὶ τῶν μυῶν τὴν μάχην,
τὴν Ἐπιγόνων μάχην τε γράφει, καὶ Θηβαΐδα,
τὴν Οἰχαλίαν, Κέκρωπας, εἰς τοὺς θεούς τε ὕμνους,
καὶ τοὺς ἑπτὰ ἐπ' Ἄκτιον, καὶ τὰς Ἐπικιγκλίδας,
καὶ ἐπιγράμματα πολλὰ σὺν νυμφικοῖς τοῖς ὕμνοις,
καὶ τὴν Ὀδύσσειαν αὐτὴν μετὰ τῆς Ἰλιάδος·
ἀλλὰ καὶ χρόνον μάθε μοι τὸν τοῦ Ὁμήρου πρῶτον,
καὶ τὴν ἐκείνου τελευτήν· εἶτα σαφῶς ἀκούσεις
τὸν νοῦν καὶ τὴν ὑπόθεσιν πάσης τῆς Ἰλιάδος.
Οἱ μάτην γράφειν θέλοντες ἱστορικὰ βιβλία
ὁμόχρονον τὸν Ὅμηρον λέγουσιν Ἡσιόδου,
ἐπὶ τῷ Ἀμφιδάμαντος τάφῳ δοκιμασθέντες·
ἀλλ' οὗτοι μὲν ἠγνόησαν εἶναι πολλοὺς Ὁμήρους,
Ὅμηρον τὸν Βυζάντιον υἱὸν τὸν Ἀνδρομάχου,
καὶ τὸν τοῦ Εὔφρονος υἱὸν Ὅμηρον τὸν Φωκέα·
κἄν πέρ τι παρεσφάλησαν οὗτοι συμπαθητέοι,
ὡς καὶ οἱ ὕστερον αὐτὸν εἰπόντες Ἡσιόδου·
ἐπὶ τῆς βασιλείας γὰρ λέγουσι τοῦ Ἀρξίππου
Ἡσίοδον καὶ Ὅμηρον ὑπάρχειν ἀμφοτέρους·
ἀλλὰ τὸν μὲν Ἡσίοδον ἀρχῇ τῆς βασιλείας,
τὸν Ὅμηρον πρὸς τέλους δὲ τοῦ κράτους τοῦ Ἀρξίππου,
χρόνους ὁμοῦ τριάκοντα κρατήσαντος καὶ πέντε
τῆς βασιλείας Ἀθηνῶν· ἀλλ' ἀγνοοῦσιν οὗτοι
ποῖος ὑπῆρχεν Ὅμηρος τοῖς χρόνοις τοῦ Ἀρξίππου·
κατὰ δ' ἡμᾶς ὁ Ὅμηρος χρόνοις τετρακοσίοις
τοῦ Ἡσιόδου πρότερον, καὶ σκόπει μοι καὶ μάθε.
Ἐπὶ τῶν δύο στρατειῶν ὁ Ὅμηρος ὑπῆρχεν,
Θηβαϊκῆς καὶ Τρωϊκῆς. οἶδας ἐκ Προναπίδους,
καὶ Διονύσιος φησὶν ὁ κυκλογράφος τοῦτο·
μάθε καὶ ἄλλοθεν καλῶς ἀκριβεστέρως τοῦτο.
Ὁ ποιητὴς Στησίχορος υἱὸς ἦν Ἡσιόδου,

ἐν χρόνοις τȣ̃ Φαλάριδος ὢν καὶ τȣ̃ Πυθαγόρȣ,
ἤτοι δ' Ὁμήρȣ ὕστεροι χρόνοις τετρακοσίοις·
ἐπεὶ γȣ̃ν ἔγνωκας καλῶς καὶ χρόνον τȣ̃ Ὁμήρȣ,
τὴν αὐτȣ̃ μάθε τελευτὴν ποίῳ συνέβη τρόπῳ.
Πένης ὑπάρχων καὶ τυφλὸς γενόμενος ἐκ γήρως,
ἁπανταχȣ̃ διήρχετο τὰς χώρας τῆς Ἑλλάδος
λέγων αὐτȣ̃ ποιήματα, δεχόμενος ἐντίμως·
ὡς δ' ἦλθε παρερχόμενος περὶ τὴν Ἀρκαδίαν,
ξενίζεται παρά τινι, κἀκεῖσε καταμένων
περιπατήσων ἔρχεται περὶ τὴν παραλίαν·
ἦσαν δ' ἐκεῖσε ἁλιεῖς ἄγραν ȣ̓κ ἠγρευκότες,
μόνον δὲ φθειριζόμενοι καὶ κτείνοντες τὰς φθεῖρας·
ὧν ἁλιέων Ὅμηρος ἀκȣ́σας συλλαλȣ́ντων,
ὦ ἄνδρες, εἶπεν, ἁλιεῖς Ἀρκάδες, ἔχομέν τι;
οἱ δ' ἀπεκρίναντο αὐτῷ περὶ φθειρῶν λαλȣ̃ντες,
τȣ̀ς, ȣ̔̀ς μεν ἐκρατήσαμεν, ȣ̓κ ἔχομεν εἰσέτι·
ȣ̔̀ς περ δ' ȣ̓κ ἐκρατήσαμεν, ἔχομεν μᾶλλον τȣ́τȣς·
ὃ μὴ νοήσας Ὅμηρος, λυπȣ́μενος ἀμέτρως
πρὸς ἣν τότε κατέμενεν, ὑπέστρεφεν οἰκίαν·
πηλȣ̃ δ' ὄντος ὠλίσθησε, καὶ κεκρȣκὼς εἰς πέτραν
κλᾶται πλευρὰν τὴν δεξιὰν, καὶ τελευτᾷ τριταῖος.
Ἐπεὶ λοιπὸν μεμάθηκας καὶ θάνατον Ὁμήρȣ,
μάνθανε τὴν ὑπόθεσιν ὅλης τῆς Ἰλιάδος.
Οἱ μὲν ἀγροικικώτερον γράφοντες καὶ χυδαίως,
γάμȣς Πηλέως λέγȣσι καὶ Θέτιδος γενέσθαι,
καὶ συμπαρῆναι τȣ̀ς θεȣ̀ς τοῖς γάμοις ἐν Πηλίῳ,
καὶ σὺν αὐτοῖς καὶ τὰς θεὰς, κατ' ἐξοχὴν δὲ ταύτας,
Ἥραν ὁμȣ̃ καὶ Ἀθηνᾶν, ὡς καὶ τὴν Ἀφροδίτην·
τὴν δ' Ἔριν δ' ȣ̓̃σαν μάχιμον καὶ φιλονεικοτάτην,
ταύτην ἀπεῖναι λέγȣσιν τῶν γάμων μὴ κληθεῖσαν·
αὐτὴ δὲ ζέσασα θυμῷ καὶ λύπῃ βεβλημένη,

μῆλον ἐσκεύασε χρυσοῦν, ἔγραψε δὲ τῷ μήλῳ·
ΛΑΒΕ ΚΑΛΗ ΤΩΝ ΘΕΑΙΝΩΝ, ΛΑΒΕ ΚΑΛΗ ΤΟ ΜΗΛΟΝ.
ἤ, Τῌ ΚΑΛῌ ΤΩΝ ΘΕΑΙΝΩΝ ἘΣΤΩ ΤΟ ΜΗΛΟΝ ΔΩΡΟΝ·
οὕτως ἡ Ἔρις ὥς φασι ποιήσασα τὸ μῆλον
ἀπὸ τοῦ στέγους ἔῤῥιψε μέσον τοῦ γάμου τούτου·
εὐθὺς δὲ Ἥρα, Ἀθηνᾶ μετὰ τῆς Ἀφροδίτης
τὴν γαμικὴν τὴν τράπεζαν ἀφεῖσαι καὶ τὸν πότον,
περὶ τοῦ μήλου μάλιστα τὴν μάχην συνεκρότουν,
ἑκάστη τούτων λέγουσα κάλλει νικᾷν τὰς ἄλλας·
τέλος, λαβόντα τὸν Ἑρμῆν ταύτας ὁ Ζεὺς κελεύει
πρὸς τὸν Ἀλέξανδρον αὐτὸν ἀπαγαγεῖν εἰς Ἴδην·
ἣν δ' ἂν αὐτῶν Ἀλέξανδρος ὡραιοτέραν κρίνει,
ταύτην τὸ μῆλον ἔπαθλον λαμβάνειν εὐμορφίας·
ὡς δὲ ταχέως πρὸς αὐτὴν ἐγένοντο τὴν Ἴδην,
Ἥρα μὲν πρὸς Ἀλέξανδρον τάδε φησὶ κρυφίως·
εἰ κρίνεις ἐμὲ κρείττονα καὶ δώῃς μοι τὸ μῆλον,
ἄρχειν ἐγὼ ποιήσω σε δύσεως καὶ τῆς ἕω·
ἡ δ' Ἀθηνᾶ κατάρχοντι Φρυγῶν τῆς στρατηγίας
Ἑλλάδα πᾶσαν τ' ἔλεγε δούλην αὐτῷ ποιῆσαι·
ἡ δ' Ἀφροδίτη πρὸς αὐτὸν Ἀλέξανδρον εἰποῦσα,
εἰ κρίνῃς τούτων κρείττονα, δώσω σοι τὴν Ἑλένην,
λαμβάνειν νικητήριον καὶ ἔπαθλον τὸ μῆλον,
Ἀλέξανδρος, Φερέκλου δὲ πλοῖα πεποιηκότος,
εἰς τὴν Ἑλλάδα κατελθὼν ἁρπάζει τὴν Ἑλένην.
ὅθεν ὁ μέγας πόλεμος ἐκείνοις ἀνεῤῥάγη,
καὶ πόλις ἡ περίβλεπτος ἡ Τροῖα κατεσκάφη,
καὶ πάντες παρανάλωμα γεγόνασι τοῦ ξίφους·
ταῦτα φασὶν οἱ ἀμαθῶς λαλοῦντες καὶ νηπίως,
τὸ δ' ἀληθὲς νῦν μάνθανε λεπτῶς, ἠκριβωμένως.
Ὁ Λαομέδοντος υἱὸς Πρίαμος καὶ Λευκίππης,
εἴτε Ῥοιοῦς κατά τινας, Στρυμοῦς δὲ καθ' ἑτέρους,

γήμας Ἑκάβην Δύμαντος, κατά τινας Κισσέως,
υἱοὺς ἐγέννησε πολλούς, καὶ μὴν καὶ θυγατέρας·
ἐπεὶ δὲ καὶ Ἀλέξανδρον ἔγκυος ἦν Ἑκάβη,
γεννῆσαι φλέγοντα δαλὸν ἐδόκησεν ὀνείροις,
ὃς πάσας ἐπυρπόλησε τὰς Τρώων περιχώρους·
οἱ τῶν ὀνείρων δὲ κριταὶ τοῦτο μαθόντες, εἶπον·
τὸ βρέφος, ὅπερ ἔνδοθεν φέρεις ἐν τῇ γαστρί σου,
τῇ περιχώρῳ γίνεται πάσῃ τῶν Τρώων βλάβη·
οὕτω μὲν εἶπον οἱ κριταὶ τότε τῶν ὀνειράτων,
γεννήσασα τὸ βρέφος δὲ Πάριν κατονομάζει.
Ὁ δὲ πατὴρ ὁ Πρίαμος τῷ φόβῳ τῶν ὀνείρων
μετὰ τὴν βρέφους γέννησιν ἦλθεν εἰς τὸ μαντεῖον,
ἀνερωτήσων ποδαπὸν ἐκβήσεται τὸ βρέφος,
ἐδόθη τούτῳ δὲ χρησμὸς τοιουτοτρόπως λέγων·
Πρίαμε Τρώων βασιλεῦ, σύζυγε τῆς Ἑκάβης,
Δύσπαρις Πάρις σοὶ υἱὸς ἄρτι κακῶς ἐτέχθη,
ὃν μὴ γεννῆσαι κρεῖττον ἦν, ἢ συμφορὰς γεννῆσαι·
ὁ παῖς γὰρ οὗτος γεγονὼς τριάκοντα τῶν χρόνων
ὀλέσει τὰ βασίλεια τῶν Τρώων καὶ τὰς πόλεις·
ὅπερ μαθὼν ὁ Πρίαμος τρόμῳ πολλῷ καὶ φόβῳ
τὸν Πάριν μετεκάλεσεν Ἀλέξανδρον εὐθέως,
καὶ Ἀρχελάῳ δέδωκεν οἰκέτῃ τὸ παιδίον,
ὡς ἄν, εἰς ὄρος ποῦ ῥιφὲν, καταβρωθῇ θηρίοις·
καὶ δὴ λαβὼν Ἀρχέλαος ἀπέρριψεν εἰς Ἴδην,
ἄρκτος δ᾽ ἐθήλαζεν αὐτὸ ξένως ἡμέραις πέντε·
ἐν μέσῳ τούτων τελευτᾷ τὸ βρέφος Ἀρχελάου·
ὁ δὲ, τὸ πᾶν τῇ γυναικὶ συμβουλευθεὶς ἐμφρόνως,
τὸ μὲν νεκρὸν ἀπέρριψεν εἰς Ἴδην ἀντ᾽ ἐκείνου,
βρέφος δὲ τὸ βασιλικὸν αὐτὸς ἀναλαμβάνει,
καὶ ἀνατρέφει πατρικῶς, ποιμένειν τε διδάσκει
ὥσπερ τινὲς ἱστορικοὶ γράφουσι περὶ τούτου·

ἕτεροι πάλιν λέγουσι πιθανωτέρως τάχα
Πρίαμον τὸν Ἀλέξανδρον μὴ δοῦναι Ἀρχελάῳ
εἰς βρῶσιν ῥίψαι τοῖς θηρσίν· ἀλλ' ἐλεῶν τὸ βρέφος
νομίζων οὕτω τὲ φυγεῖν καὶ τοῦ χρησμοῦ τοὺς λόγους
τῷ Ἀρχελάῳ δέδωκε τρέφειν ἐν τοῖς χωρίοις,
βασιλικαῖς ἀνατροφαῖς, παιδεύσει τὲ παντοίᾳ·
ὁ δὲ λαβὼν εἰς Ἄμανδρον ἀπήγαγε χωρίον,
ὅπερ χωρίον Πρίαμος πόλιν ποιήσας τότε
Πάριον μετωνόμασε εἰς ὄνομα τοῦ βρέφους·
ἐκεῖ γοῦν ἐκτρεφόμενος Ἀλέξανδρος, ὡς ἔφην,
λέγεται κρῖναι τὰς θεὰς ἐν γάμοις τοῦ Πηλέως,
καὶ δοῦναι νικητήριον τὸ μῆλον Ἀφροδίτῃ·
τοῦτο δ' ὅτι ψευδές ἐστι δῆλον ἐκ τῶν πραγμάτων·
τοῦ Ἀχιλέως γὰρ πατὴρ ἦν ὁ Πηλεὺς ὡς οἶδας·
ὁ δ' Ἀχιλεὺς γεραίτερος ὑπῆρχεν Ἀλεξάνδρου·
καὶ γὰρ ὁ Νεοπτόλεμος υἱὸς τοῦ Ἀχιλέως
πολεμιστὴς ἦν τέλειος τῷ Τρωϊκῷ πολέμῳ,
αὐτῷ σχεδὸν ἰσόχρονος ὑπάρχων Ἀλεξάνδρῳ·
καὶ πῶς οὐκ ἔστιν ἄλογον Ἀλέξανδρον δικάζειν
γάμοις τινὸς τοῖς ἑαυτοῦ πάπποις ἰσοχρονοῦντος;
τοῦτο μὲν λῆρος καὶ ψευδές· τὸ δ' ἀληθὲς τοιοῦτον.
Ὡς ἀπελθὼν ὁ Πρίαμος ἤκουσεν ἐκ μαντείου
τριάκοντα γενόμενον Ἀλέξανδρον τῶν χρόνων
ὀλέσαι τὰ βασίλεια τῶν Τρώων καὶ τὰ πέριξ,
ἅμα τὸ βρέφος ἐλεῶν, μὴ δ' ἀποκτεῖναι θέλων,
καί γε τὴν ἄφυκτον φυγεῖν ἐλπίζων εἱμαρμένην
εἰ τὸ τριακοντάχρονον Ἀλέξανδρος ἐκδράμοι,
τῷ Ἀρχελάῳ δέδωκεν ἐν τοῖς ἀγροῖς ἐκτρέφειν,
εἰς τὲ χωρίον Ἄμανδρον καλούμενον τὴν κλῆσιν,
ὃ νῦν καλεῖται Πάριον, πόλις ἀντὶ χωρίου,
εἰς κλῆσιν τὴν τοῦ Πάριδος κτισθὲν παρὰ Πριάμου.

Ὁ Πάρις οὖν Ἀλέξανδρος ἐκεῖσε διατρίβων
μέχρι τῆς παρελεύσεως τῆς τριακοντουτίας,
πάσας ἐξεπαιδεύετο βασιλικὰς παιδεύσεις,
ἱππεύειν, ἀκοντίζειν τε, τοξεύειν, σφαῖρας παίζειν,
καὶ πᾶσαν ἄλλην παίδευσιν πρέπουσαν βασιλεῦσι,
καὶ ῥήτωρ μὲν γενόμενος γράφει πολλὰ μὲν ἄλλα·
εἰς ἓν δὲ τούτου σύγγραμμα τὰς τρεῖς θεὰς συγκρίνει
τὴν Ἀθηνᾶν, τὴν φρόνησιν, τὴν Ἥραν, τὴν ἀνδρείαν,
καὶ τὴν ἐπιθυμίαν δὲ, φημὶ τὴν Ἀφροδίτην,
ᾗ καὶ τὸ μῆλον δέδωκε τὴν νίκην, τὰ πρωτεῖα,
ὡς Ἰωάννης χρονικὸς Ἀντιοχεύς που γράφει,
αὐτὸ μόνον ἀλληγορῶν, τ' ἄλλα παραλιμπάνων,
γάμον Πηλέως, Θέτιδος, Ἑρμῆν τε καὶ τὸν Δία,
τὴν Ἴδην, οὗπερ ἔκρινε θεὰς τὰς θρυλλουμένας,
ὁ Τζέτζης δ' ἅπαντα λεπτῶς ἀλληγορεῖ καὶ πρόσχες,
μέχρι τοῦ παρελθεῖν φησὶ τὴν τριακοντουτίαν.
Ἀλέξανδρος, ὡς ἔμαθες, διάγων ἐν Παρίῳ,
πάσας καλῶς μετήρχετο βασιλικὰς παιδεύσεις·
καὶ δὴ καὶ λόγιος ἀνὴρ γενόμενος συγγράφει
βίβλον, τοῦ κόσμου γένεσιν, αἱρέσει τῇ Ἑλλήνων,
πῶς ἐν ἀρχῇ τὸ Ἔρεβος ὑπῆρχε καὶ τὸ Χάος,
καὶ σκότωσις καὶ σύγχυσις τὰ σύμπαντα κατεῖχε·
ῥαγέντος τοῦ Ἐρέβου δὲ καὶ βαθυτάτου σκότους
ἐφάνη γῆ καὶ θάλασσα ῥυθμῷ διηρθρωμέναι,
ὅπερ φασὶ τῆς Θέτιδος γάμους καὶ τοῦ Πηλέως·
χαύνη πηλώδης γὰρ ἡ γῆ τὸ πρῶτον ἀνεφάνη,
ὡς ἐν τοῖς φυσικοῖς αὐτοῦ φησὶν Ἀναξαγόρας.
Ἐν τῷ Πηλίῳ δὲ φησὶ τὸν γάμον γεγονέναι,
ἐν κόσμῳ, οὗ τὸ πήλιον ἐσμὲν ἀνθρώπων γένος·
τοῖς γάμοις τοῦ Πηλέως δὲ καὶ Θέτιδος τῶν τότε,
ἦγουν ταῖς διαρθρώσεσι τῆς γῆς καὶ τῆς θαλάσσης,

παρῆσαν πάντες οἱ θεοὶ, ἤγουν στοιχεῖα τ' ἄλλα,
χωρὶς μόνης τῆς Ἔριδος τῆς φιλονεικοτάτης·
διαρθρωθείσης γὰρ ὁμοῦ τῆς γῆς καὶ τῆς θαλάσσης,
καὶ τὰ λοιπὰ συνέδραμε πάντα καλῶς στοιχεῖα·
ἡ Ἀθηνᾶ, ὁ πρόσγειος ἀὴρ καὶ ὑδατώδης,
ἡ Ἥρα. τὸ λεπτότατον κατάστημα αἰθέρος·
ἡ τοῦ πυρὸς οὐσία τε ταύτης ἡ λεπτοτέρα,
ἣν λέγουσιν υἱὸν αὐτῆς, Ἥφαιστον παντεργάτην,
ἐκ τῆς οὐσίας τοῦ πυρὸς φασὶ γὰρ γεγονέναι
σελήνην, ἥλιον ὁμοῦ καὶ τοὺς λοιποὺς ἀστέρας·
οὕτω τὰ πάντα γαμικῶς ἐν τῇ κοσμογενείᾳ,
εὐρύθμως παρυπέστησαν φαιδρῶς ὡραϊσμένα·
ἡ Ἀφροδίτη γὰρ παρῆν τούτοις ἑστιωμένη,
ἡ εὐκρασία τοῦ παντὸς συνδέσμου τῶν στοιχείων·
μόνη δ' ἡ Ἔρις οὐ παρῆν, ἡ σύγχυσις, καὶ ζάλη·
πᾶσα φαιδρότης γὰρ ὁμοῦ, πᾶσα συνδεσμοστία
κατεῖχε τὸν περίγειον τοῦτον ὑλαῖον κόσμον,
τοῦ πρώτου μόνου ζοφεροῦ Χάους εἰς γῆν ῥαγέντος,
ὃν Κρόνον λέγουσι σοφοὶ Διῒ ταρταρωθέντα,
ἀέρος φάναντος λαμπροῦ, τὸ σκότος γὰρ ἐκρύβη·
τὸ μῆλον τὸ τῆς Ἔριδος ὅπερ ἐστὶ νῦν μάθε.
Μετὰ τὴν κοσμογένειαν καὶ τὴν εὐαρμοστίαν,
ἥν περ καὶ γάμους εἴπομεν Θέτιδος καὶ Πηλέως,
ὡς ἔγραψεν Ἀλέξανδρος ἐν τῷ αὐτοῦ βιβλίῳ,
ζάλη δεινὴ καὶ σύγχυσις γέγονε τῶν στοιχείων,
ὡς καὶ ὁ φυσικὸς φησὶν Ἐμπεδοκλῆς ἐκεῖνος·
ποτὲ μὲν γὰρ ὁ κάθυγρος ἀὴρ ὑπερενίκα,
ὁ ζοφερὸς, ὁ κάθυγρος, ὁ συντεθολωμένος,
ὃν Ἀθηνᾶν εἰρήκαμεν· ὁτὲ δὲ ὁ πυρώδης
ὑπερνικῶν τὰ σύμπαντα καὶ μέλλων καταφλέγειν,
ὅνπερ καὶ Ἥραν εἴπομεν μητέρα τοῦ Ἡφαίστου·

ποτὲ δὲ εὔκρατος ἀὴρ ὑπέλαμπε βραχύ τι·
ἐν οὖν τοιούτῳ κλύδωνι καὶ ζάλῃ τῶν στοιχείων,
ὁ κόσμος οὗτος, τὸ χρυσοῦν τὸ μῆλον, τὸ ὡραῖον,
ἔπαθλον τοῦ κρατήσαντος ὑπέκειτο στοιχείου·
εἰ γὰρ ὁ πρόσγειος ἀὴρ ἐνίκησε τελέως,
σκότος ἂν τοῦτον τὸν λαμπρὸν πάλιν κατέσχεν ἄλλο·
εἰ δ' ὁ λεπτομερέστερος ἐκράτησε πυρώδης,
πῦρ ἂν τὸν κόσμον ἅπαντα κατέσχε καταφλέγον·
ἐπεὶ δ' ὑπερενίκησε σύγκρασις, Ἀφροδίτη,
ἔπαθλον νίκης ἔσχηκε, καὶ νῦν ἔτι κατέχει
τὸν κόσμον τοῦτον, τὸ χρυσοῦν τὸ μῆλον, τὸ ὡραῖον,
συγκεκραμένον, εὔρυθμον, Θεοῦ τῇ κυβερνήσει.
Τοιαῦτα μὲν Ἀλέξανδρος περὶ κοσμογενείας
ἐκεῖσε συνεγράψατο διάγων ἐν Παρίῳ·
ὅπερ ἐστὶ τῶν θεαινῶν ἡ κρίσις ἡ μυθώδης,
ἐκ τῆς κελεύσεως Διὸς Ἑρμῇ προστεταγμένη,
παρ' Ἀλεξάνδρου Πάριδος ἐν Ἴδῃ γεγονέναι.
ὁ Ζεὺς γὰρ, νοῦς, ἐκέλευσε, τοῦ Ἀλέξανδρου, πάντως
Ἑρμῇ, λόγῳ προφορικῷ, καὶ γέγονεν ἡ κρίσις.
Οἷον ἵνα σαφέστερον τὸ πᾶν σοι διαρθρώσω,
πεισθεὶς οἰκείοις λογισμοῖς Ἀλέξανδρος ὁ Πάρις,
λόγοις γραπτοῖς καὶ συλλαβαῖς καὶ λέξει μετρουμέναις,
ἐν Ἴδῃ ταύτας ἔκρινε τὰς τρεῖς θεὰς ὡς ἔφην·
τουτέστι, συνεγράψατο, δηλοποιεῖ βιβλίοις
τοῖς φανεροῦσι σύμπαντα τὰ παλαιὰ καὶ νέα·
ὅμως μετὰ διάρθρωσιν γῆς ἅμα καὶ θαλάσσης,
καὶ εὐκρασίαν τῶν λοιπῶν ὡς ἔφημεν στοιχείων,
παλιντροπία γέγονε, καὶ σύγχυσις ἐκείνων·
ποτὲ μὲν ὄμβρων λάβρων τε καὶ σκότους γινομένου,
ποτὲ δ' ἀτάκτων κεραυνῶν καὶ χύσεως πυρώδους.
ὑφ' ὧν ἐκλυδωνίζετο πάλιν δεινῶς ὁ κόσμος,

ἢ σκότους παρανάλωμα γενέσθαι καὶ τῶν ὄμβρων,
εἴτε πυρὸς ἐκχύσεσι σφοδρῶς πυρποληθῆναι,
εἰ μή που τοῦτον ἔπαθλον ἄλαβεν Ἀφροδίτη,
τουτέστι, κατεκράτησεν ἡ νῦν εὐαρμοστία,
καλῶς αὐτὸν κατέχουσα Θεοῦ τῇ κυβερνήσει.
Τοιαῦτα μὲν Ἀλέξανδρος ἔπραττεν ἐν Παρίῳ
μέχρι τῆς παρελεύσεως τῆς τριακοντουτίας·
ὡς δὲ μετὰ τριάκοντα δύο παρῆλθον χρόνοι,
νομίσαν τὸ γερόντιον ὁ Πρίαμος ἐκεῖνος,
ὡς ὁ χρησμὸς παρέδραμεν, ὁ χρόνος παρεῤῥύη,
βλάβη λοιπὸν οὐ γίνεται Τρωσὶν ὑπ' Ἀλεξάνδρου,
τὴν γερουσίαν, τὸ κοινὸν ἅπαν λαβὼν τῶν Τρώων,
μετὰ θυμέλης καὶ χορῶν καὶ μουσικῶν ὀργάνων,
τὴν Τροϊκὴν τὴν συμφορὰν ἐπὶ τὴν Τροίαν φέρει.
τοῦ Ἀπριλλίου τοῦ μηνὸς ἐν εἰκοστῇ δευτέρᾳ·
τότε θυσίαι πανταχοῦ θεῶν τῶν ἐγχωρίων,
ἁπανταχοῦ δὲ τράπεζαι, χοροὶ καὶ πανηγύρεις·
τῇ ὀκτωκαιδεκάτῃ δὲ μηνὸς τοῦ Ἰουνίου,
κελεύει τοῦτον ὁ πατὴρ πλεῦσαι πρὸς τὴν Ἑλλάδα,
καὶ θῦσαι λύσιν συμφορῶν Ἀπόλλωνι Δαφναίῳ,
δοὺς ἄνδρας Φρύγας ἑκατὸν καὶ γράμματα καὶ δῶρα
πρὸς τοὺς Ἑλλάδος βασιλεῖς, καὶ πρὸς τοὺς τοπαρχοῦντας,
ἅπερ λαβὼν Ἀλέξανδρος, ἔπλει πρὸς τὴν Ἑλλάδα,
διδοὺς ταῦτα πρὸς ἅπαντας χωρῶν τοὺς τοπαρχοῦντας·
ὡς δὲ καὶ πρὸς Μενέλαον κατέπλευσεν εἰς Σπάρτην,
εὕρηκε τοῦτον μέλλοντα πρὸς Κρήτην ἀποπλέειν,
θῦσαι γὰρ ἔμελλεν ἐκεῖ τῷ πάππῳ τῷ Ἀτρέϊ,
καὶ τούτῳ δὲ τὰ γράμματα παρέσχε καὶ τὰ δῶρα·
ὁ δὲ Μενέλαος λαβὼν τὰ δύσδωρα τὰ δῶρα,
αὐτὸς πρὸς Κρήτην ἔπλευσεν ἕνεκα τῆς θυσίας,
Ἀλέξανδρον τὸν Πάριν δὲ κατέλειψε τοῖς οἴκοις,

τριάκοντα καὶ δύο μὲν ὑπάρχοντα τῶν χρόνων,
ὡραῖον πάνυ καὶ λευκὸν, εἰς ἡλικίαν οἷον,
χρυσότριχα, δασύτριχα καὶ τῶν ἁβροβοστρύχων,
χαροποπρόσωπον πολὺ καὶ ὑπομειδιῶντα,
συντομολόγον, εὔλαλον, τῷ τάχει τῷ τῶν λόγων
πολλάκις ὑποπτύοντα λεπτότατον σιέλου
κατὰ τὰς ὄρνις, ἃς φαμὲν κλῆσιν ἀκανθυλίδας·
ὃς τὴν Ἑλένην κατιδὼν τὸ δειλινὸν ἐν κήπῳ
μετὰ δουλίδων τῶν αὐτῆς καὶ γυναικῶν ἑτέρων,
εἴκοσι ἓξ ὑπάρχουσαν χρόνων τὴν ἡλικίαν,
κάλλος οὖσαν ἀμίμητον, ξένην τῇ διαπλάσει,
ὑπὲρ χιόνα δὲ λευκὴν καὶ τρυφερὰν τὸ σῶμα,
εὐπρόσωπον καὶ εὔρινα καὶ τῶν καλλιοφρύων,
εὐόφθαλμον, ὑγρόφθαλμον, χαροποπροσωποῦσαν,
εὔχειλον, ἀνθηρόχειλον, καὶ μελιτοφωνοῦσαν,
εὔμαστον, πυῤῥακίζουσαν, καὶ καλλιτραχηλοῦσαν,
πᾶσι καλοῖς, πᾶσι τερπνοῖς, πασῶν ὑπερτεροῦσαν,
ὅσον ἡ πληροσέληνος φαιδρόκυκλος σελήνη
ὑπερτερεῖ τῶν ἀμυδρῶν νυκτερινῶν ἀστέρων·
τοιαύτην οὖσαν κατιδὼν Ἀλέξανδρος Ἑλένην,
ἐπλήγη ταύτης ἔρωτι, καὶ ταύτην ἀφαρπάξας,
ἀντερασθείσης καὶ αὐτῆς, τῆς Αἴθρας συνεργούσης,
σὺν χρήμασι ποσότητι τριῶν κεντηναρίων,
καὶ διαφόροις εἴδεσιν ἑτέρων κοσμημάτων,
καὶ σὺν δουλίσι τῆς αὐτῆς Ἑλένης πρώταις πέντε,
καὶ σὺν αὐτῇ τῇ Αἴθρᾳ δὲ τῇ συνεργῷ μοιχείας,
ἐμβὰς εἰς πλοῖον ἔφευγεν, οὐχὶ τὸν πλοῦν ὃν ἦλθεν
ὑπάρχοντα τριήμερον, ἢ καὶ βραχύ τι πλέον,
ἀλλὰ διὰ Σιδῶνος τὲ καὶ Τύρου τοῦ πελάγους·
ὅθεν καὶ ἥρπαξε τινὰς γυναῖκας Σιδωνίας,
τεχνίτιδας, ἐργάτιδας καλλίστων ὑφασμάτων·

μόλις εἰς Τροίαν πεφθακὼς ἐν ὁλοκλήρῳ χρόνῳ.
Ὁ δὲ Μενέλαος ἐλθὼν εὐθέως ἀπὸ Κρήτης,
εἰς μάτην ἀπεδίωξεν ἐκείνων διὰ Τύρου
ἐν ὅλῳ χρόνῳ πρὸς αὐτὴν τὴν Τροίαν πεφθακότων·
οἱ Τρῶες δὲ καὶ σύμπασαι τῶν Τρώων αἱ γυναῖκες
ἰδȣ̃σαι κατεπλάγησαν τὸ κάλλος τῆς Ἑλένης·
Ἑκάβη κατεφίλει δὲ ταύτην περιλαβȣ̃σα,
ἄῤῥητον σχȣ̃σα τὴν ϛοργὴν καὶ σέβας πρὸς ἐκείνην.
Οἱ δ᾽ Ἕλληνες ὡς ἔμαθον ȣ̃σαν Ἑλένην Τροίᾳ,
ἐν διαφόροις τοῖς καιροῖς καὶ γράμματα καὶ πρέσβεις
ὡς πρὸς τȣ̀ς Τρώας ἔπεμπον Ἑλένην ἀπαιτȣ̃ντες·
πρῶτον μὲν τὸν Ἀκάμαντα μετὰ τȣ̃ Διομήδους,
τὸν Παλαμήδην τὸν σοφὸν ἐξέπεμψαν δευτέρως,
αὐτόν τε τὸν Μενέλαον μετὰ τȣ̃ Ὀδυσσέως
τῆς Κλυταιμνήϛρας γράμματα φέροντας πρὸς ἐκεῖνον,
ὃς τὶς Ἀντίμαχος ἀνὴρ ἔμελλεν ἀποκτεῖναι,
ὑπ᾽ Ἀλέξανδρου προτραπεὶς ἐν χρήμασιν εἰς τȣ̃το,
εἴπερ μὴ ὑπεδέξατο τȣ́τους Ἀντήνωρ πρῶτον,
ὅϛις ὑϛέρως ἔλαβε καὶ δωρεὰς πρεπȣ́σας·
τῆς Τροίας πορθουμένης γὰρ ἔσωσαν πάντα τȣ́του,
καὶ πλεῖϛα δῶρα καὶ τερπνὰ δεδώκασιν ἐκείνῳ·
ἀλλὰ μετὰ τὴν πόρθησιν ταῦτα συνέβη τȣ́τῳ·
τότε δ᾽ οὗτοι τὸν θάνατον μόλις ἐκπεφευγότες,
ὅνπερ αὐτοῖς ἐσκεύασεν Ἀντίμαχος ἐν δόλοις,
τοῖς Ἕλλησιν ἀπήγγειλαν ἅπαντα τὰ πραχθέντα·
καὶ τότε πᾶν τὸ ϛράτευμα διὰ τȣ̀ς πρώην ὅρκους
ἀπὸ θαλάσσης καὶ δυσμῶν, ἀπὸ Βοῤῥᾶ καὶ Νότου,
εἰς ἓν πάντες ἠθροίζοντο πρὸς πόλεμον τῶν Τρώων.
Δέκα μὲν ȣ̃ν παρέδραμον χρόνοι τῶν ὁλοκλήρων,
ἀφ᾽ ȣ̃ καιρȣ̃ περ ἥρπαξεν Ἀλέξανδρος Ἑλένην,
εἰς τὴν ἀπόπλευσιν αὐτῶν τὴν διὰ τῆς Σιδῶνος,

εἰς τὰ Τρωσὶ στελλόμενα γράμματα παρ' Ἑλλήνων,
εἰς στρατευμάτων συλλογὴν, εἰς κίνησιν τῆς μάχης·
καὶ τότε πάντες σὺν ναυσὶν ἦλθον εἰς τὴν Αὐλίδα,
καὶ Ἀχιλεὺς δὲ σὺν αὐτοῖς υἱὸς ὢν τοῦ Πηλέως,
καὶ Θέτιδος τῆς θυγατρὸς Χείρωνος φιλοσόφου,
Οὔννων, Βουλγάρων στράτευμα τῶν Μυρμιδόνων ἄγων,
πεντακοσίους ἀριθμῷ μετὰ καὶ δισχιλίων,
στόλῳ νηῶν πεντήκοντα στρατοπεδάρχην ἔχων
τὸν Μενοιτίου Πάτροκλον υἱὸν καὶ Φιλομήλης·
σύνοικον δὲ καὶ παιδευτὴν εἶχεν αὐτοῦ τροφέα
Φοίνικα τὸν Ἀμύντορος υἱὸν καὶ Κλεοβούλης,
πολλαῖς δὲ παρακλήσεσιν ἦλθεν εἰς συμμαχίαν·
ὁ Ὀδυσσεὺς καὶ Νέστωρ γὰρ μετὰ τοῦ Παλαμήδους
μόλις ἐξέπεισαν αὐτοῦ πατέρα τὸν Πηλέα,
τοῦτον προπέμψαι σύμμαχον τῷ πλήθει τῶν Ἑλλήνων·
ἅπερ δὲ πεφλυάρηνται περὶ τοῦ Ἀχιλέως
ὡς φοβηθεὶς τὸν πόλεμον ἐφόρει γυναικεῖα,
καὶ σὺν παρθένοις ἱστουργῶν κρυπτόμενος ὑπῆρχε,
τοῦ Ὀδυσσέως ξίφη δὲ ῥίψαντος σὺν ἀτράκτοις,
κατάδηλος ἐγένετο τὸ ξίφος προτιμήσας,
τοιαύτην ἔχουσι τινὰ σοφὴν ἀλληγορίαν.

Ὁ Χείρων ὁ φιλόσοφος πάππος τοῦ Ἀχιλέως
ἐκ λεκανομαντίας τε καὶ σκέψεως ἀστέρων,
τοῦ Ἀχιλέως τῇ μητρὶ τῇ Θέτιδι προεῖπε·
Θέτι, θυγάτριον ἐμὸν, μάθε πατρός σου λόγους·
ὁ σὸς υἱὸς ὁ Ἀχιλεὺς μένων ἐν τῇ πατρίδι
ἔσεται πολυχρόνιος, πλὴν ἐκ τῶν ἀδοξούντων·
εἰ μετὰ τῶν Ἑλλήνων δὲ κατὰ τῶν Τρώων πλεύσοι,
ἔνδοξος ἔσται καὶ λαμπρός· ἀλλὰ συντόμως θνήσκει·
τοῦτο μαθοῦσα τοιγαροῦν ἐκ τοῦ πατρὸς ἡ Θέτις,
ἄδοξον πολυχρόνιον θέλουσα τοῦτον ἔχειν;

εἰς ἐκστρατείαν οὐδαμῶς ἠθέλησεν ἐκπέμπειν·
ἀλλὰ κατεῖχε μητρικῷ καὶ διαπύρῳ πόθῳ,
ὃ γυναικεῖαν ἔνδυσιν ὠνόμασαν οἱ μῦθοι·
ὡς Ὀδυσσεὺς, καὶ Νέστωρ δὲ μετὰ τοῦ Παλαμήδους,
ἁπανταχοῦ διήρχοντο πάντας στρατολογοῦντες,
οἱ μὲν γυναικωδέστεροι καὶ τῶν δειλῶν ἀνθρώπων,
οἷον ὁ Σικυώνιος Ἐχέπωλος ἐκεῖνος,
ὁ Κύπριος Κινύρης τὲ καί τινες τῶν ἑτέρων,
ἀπράκτους ἀπελέγοντο· ἤγουν, τὴν οἰκουρίαν·
καὶ γὰρ ὁ μὲν Ἐχέπωλος διὰ τὸ μὴ στρατεῦσαι
Αἴθην, ἵππον ἐξαίρετον, τῷ βασιλεῖ δωρεῖται,
ὁ Κύπριος Κινύρης δὲ, θώρακα· θαῦμα ξένον·
ὁ δ' Ἀχιλεὺς ὡς ἤκουσεν δι' ἐγκρατείας λόγους,
ἡρωϊκὸν ἀναπηδᾷ καὶ τρέχει πρὸς τὴν μάχην,
ἀφροντιστήσας καὶ μητρὸς, καὶ ταύτης μαντευμάτων.

Οὕτω μὲν πᾶν τὸ στράτευμα συνήχθη πρὸς Αὐλίδα,
εἰς δισχιλίας ἀριθμῷ προβαῖνον χιλιάδας,
διακοσίας ἄλλας τὲ πεντήκοντα πρὸς ταύταις·
ὁ πᾶς δὲ στόλος ἦν αὐτῶν τῶν μακροτάτων πλοίων
ἕξ τε καὶ ὀγδοήκοντα χιλίων ἑκατόν τε·
οἱ βασιλεῖς καὶ ναύαρχοι καὶ στρατηγοὶ δὲ τούτων
ἦσαν ὡσεὶ πεντήκοντα καὶ πλείονες ὀλίγον·
κἂν Ὅμηρος ἐλάττονας καὶ τούτων διαγράφῃ,
μάθε τὰς τούτων κλήσεις δὲ πρῶτον καὶ ναυαρχίας,
καὶ τὰς μορφὰς εἰσέπειτα τὰς τῶν ἀριστοτέρων·
εἶτα λοιπόν μοι μετ' αὐτὰ μάθε τὰ τοῦ πολέμου,
κατὰ λεπτὸν τὰ σύμπαντα στενῶς, πεπλατυσμένως·
οὕτως ὡς ἂν ἀνέγνωκας Ὁμήρους, Στησιχόρους,
Εὐριπιδολυκόφρονας, Κολλούθους τὲ καὶ Λέσχας,
καὶ Δίκτυν συγγραψάμενον καλῶς τὴν Ἰλιάδα,
Τρυφιοδώρους, Κόϊντον· κἂν ἑκατὸν βιβλία,

οὐκ ἂν λεπτομερέστερον οὕτως ἐξηκριβώσω·
καὶ τότε τμήματι βραχεῖ πάντα συγκεκλεισμένα,
ὅπως πᾶς ὁ βουλόμενος ἐν πόνῳ βραχυτάτῳ
ἀναγνωκέναι τὰς πολλὰς δοκῇ βιβλιοθήκας·
οὕτω θαῤῥῶν σὺν τῷ Θεῷ προσφέγγομαι σῷ κράτει·
ἂν οὖν σκοπήσῃς ἀκριβῶς τὸν δουλικόν μου τρόπον,
ὅτι μοχθήσας περισσὰ χάριν σοῦ θείου κράτους
καὶ μὴ μοχθηρευσάμενος ἐκ τοῦ πολλὰ συγγράφειν,
ὡς ἄλλος ἂν ἐποίησε πολλὰ λαμβάνων δῶρα,
τὰ πάντα περιέκλεισα τμήματι βραχυτάτῳ,
ὁπόσα οὐχ εὑρήσει τις οὐδ' ἑκατὸν βιβλίοις,
καὶ ἀρκεσθῇ τὸ κράτος σου τοῖς οἷσπερ διαγράφω
μικροῖς, μεγάλοις πράγμασι, στενοῖς, πεπλατυσμένοις,
καὶ μᾶλλον ἕνεκεν αὐτοῦ καὶ δωρεὰ δοθῇ μοι,
τῆς σῆς ψυχῆς ἐπάξιον τῆς βασιλικωτάτης,
ἔστω καὶ χάρις τῷ Θεῷ καὶ χάρις σοῦ τῷ κράτει·
εἰ μέχρι δ' οὗπερ γράψαιμεν τμήματος σμικροτάτου
τὸ θεῖον καὶ φιλάνθρωπον οὐκ ἀρκεσθῇ σου κράτος,
θελήσει δὲ μετάφρασιν καὶ στίχων τῶν Ὁμήρου,
καθὰ προεῖπόν μοι τινὲς, ὡς ἐκ τοῦ σοῦ τοῦ κράτους,
ὡς Ἡρακλῆς τὸν ἄεθλον πληρῶν οὐκ ἀποκνήσω·
νῦν δέ μοι μάνθανε καλῶς, λεπτῶς, ἠκριβωμένως
τὰ στρατηγῶν ὀνόματα, τὰς τούτων ναυαρχίας,
καὶ καθεξῆς καὶ τὰ λοιπὰ μέχρι τοῦ τέλους πάντα.
Δύο μὲν ἦσαν βασιλεῖς Ἑλλήνων οἱ κρατοῦντες,
ὁ Ἀγαμέμνων ὁ κλεινὸς μετὰ τοῦ Μενελάου,
υἱοὶ κατὰ τοὺς πλείονας Ἀτρέως, Ἀερόπης,
Πλεισθένους καθ' ἑτέρους δὲ παῖδες καὶ τῆς Κλεόλας.
Ὁ Ἀγαμέμνων ναυαρχῶν ἦν ἑκατὸν ὁλκάδων,
τοὺς Κορινθίους ἦγε δὲ μετὰ τῶν Μυκηναίων.
Ἑξήκοντα Μενέλαος ἦν ναυαρχῶν ὁλκάδων,

τοὺς Σπαρτιάτας, Λάκωνας καὶ Ἀμυκλαίους ἄγων.
Νέστωρ, υἱὸς Νηλέως τε καὶ Χλώριδος ὑπάρχων,
κατά τινας ἑτέρους δὲ Νηλέως, Πολυμήδης,
ἦν ἐνενήκοντα νεῶν ναύαρχος στρατηλάτης,
Πυλίους ἔχων ὑφ' αὐτὸν καί τινας τῶν ἑτέρων.
Ἦν Ἀχιλεὺς τῆς Θέτιδος υἱὸς καὶ τοῦ Πηλέως
στόλου πεντήκοντα νεῶν ἄρχων τῶν Μυρμιδόνων,
καὶ τοῦ Πελασγικοῦ παντὸς Ἄργους ἡγεμονεύων,
ἔχων τροφέα Φοίνικα, Πάτροκλον στρατηλάτην·
τὸν μὲν υἱὸν Ἀμύντορος, πρὸς δὲ καὶ Εὐρυδίκης·
τὸν δὲ τοῦ Μενοιτίου δὲ παῖδα καὶ Φιλομήλας.
Ἦν Αἴας Τελαμώνιος, ὁ παῖς τῆς Ἐριβοίας,
ναύαρχος δώδεκα νηῶν ἐκ νήσου Σαλαμῖνος.
Πηνέλεως καὶ Λήϊτος σὺν τῷ Ἀρκεσιλάῳ,
καὶ Προθοήνωρ, Κλόνιος, οἱ πέντε ναυαρχοῦντες,
πλοίων ἦρχον πεντήκοντα τῆς χώρας τῶν Θηβαίων·
υἱὸς ἦν ὁ Πηνέλεως Ἱπάλκμου, Ἀστερόπης·
οἱ δ' ἄλλοι πάντες ἀδελφοί, πλὴν τῶν ἀμφιμητρίων,
Λήϊτος παῖς Ἀλέκτορος ἅμα καὶ Πολυβούλης,
τούτου καὶ Ἀρκεσίλαος μητρὸς δὲ Κλεοβούλης
καὶ Προθοήνωρ, Κλόνιος, Πηνέλεως σὺν τούτοις
τῆς Ἀστερόπης οἱ υἱοὶ καὶ τοῦ Ἀρηϊλύκου·
ὁ Προθοήνωρ δὲ μητρὸς ἐξ Ἀρτηΐδος ἔφυ,
ὁ Κλόνιος γεννᾶται δὲ μητρὸς ἐξ Ἀκτηΐδος.
Ἀσκάλαφος, Ἰάλμενος ἦρχον Ὀρχομενίων,
υἱοὶ μὲν ὄντες Ἄρεος, μητρὸς ἐξ Ἀξιόχης,
στόλου νηῶν τριάκοντα κατάρχοντες οἱ δύο.
Σχέδιος καὶ Ἐπίστροφος ἦρχον δὲ τῶν Φωκέων,
τῆς Θρασυβούλης παῖδες μὲν ὄντες καὶ τοῦ Ἰφίτου,
στόλον δὲ τεσσαράκοντα δεσπόζοντες ὁλκάδων.
Καὶ Αἴας τεσσαράκοντα πλοίων Λοκρῶν κατῆρχε,

παῖς ὢν τῆς Ἐριώπιδος ἅμα καὶ Ὀϊλέως,
κατ᾽ ἄλλους Ἀστιόχης δὲ τῆς θυγατρὸς Ἰτύλου,
ἢ Ἀλκιμάχης, ὥς φασί τινες, τῆς τοῦ Φυλάκου.
Τῶν Εὐβοέων ἦρχε δὲ τῆς νήσου Ἐλεφήνωρ,
ὁ παῖς ὁ τοῦ Χαλκώδοντος ἅμα καὶ Ἀλκυόνης,
εἴθ᾽, ὡς οἱ πλείονες φασὶν, υἱὸς τῆς Μελανίππης·
σὺν ᾧπερ συνεστράτευσαν καὶ συμπαρῆσαν τότε
Ἀκάμας τε καὶ Δημοφῶν οἱ παῖδες τοῦ Θησέως,
δεσπόζεσθαι μὴ θέλοντες παρὰ τοῦ Μενεσθέως·
εἶχε δὲ τεσσαράκοντα τὰς ναῦς ὁ Ἐλεφήνωρ.
Ὁ Πετεῶνος Μενεσθεὺς υἱὸς καὶ Πολυξένης,
ἢ Μνησιμάχης ὥς τισιν ἱστορικοῖς ἀρέσκει,
ἦν Ἀθηναίων ναύαρχος πλοίων πεντηκοντάδος.
Ὁ Διομήδης ὢν υἱὸς Τυδέως, Διοπύλης,
εἴτε κατὰ Θεόκριτον Τυδέως καὶ Ἀργείας,
δὶς τεσσαράκοντα ναυσὶν Ἀργείων ἐναυάρχει,
Εὐρύαλον καὶ Σθένελον ἔχων συνναυαρχοῦντας·
Σθένελον Καπανέως μὲν καὶ τῆς Εὐάδνης παῖδα,
τὸν δὲ τῆς Ἀστυόχης τε καὶ Μηκιστέως παῖδα,
τοῦ Μηκιστέως ἀδελφοῦ Ἀδράστου βασιλέως.
Ὁ Ἀγαπήνωρ ὁ υἱὸς Ἀγκαίου, Διομήδης,
Τεγεατῶν, Ἀρκάδων τε καὶ Μαντινέων ἄρχων,
ἦν στρατηγῶν καὶ ναυαρχῶν νηῶν ἑξηκοντάδος.
Τῶν Ἐπειῶν, Ἠλείων δὲ τέσσαρες ἐναυάρχουν,
Ἀμφίμαχος καὶ Θάλπιος, Πολύξενος, Διώρης·
Ἀμφίμαχος Κλεάτου μὲν παῖς, καὶ τῆς Κλεοβούλης,
ὁ Θάλπιος Εὐρύτου δὲ υἱὸς καὶ τῆς Κλυτίας,
Πολύξενος δὲ Βάριδος υἱὸς καὶ Ἀγασθένους,
ὃς Ἀγασθένης ἦν υἱὸς Αὐγείου βασιλέως·
ὁ τέταρτος δὲ ναύαρχος Ἠλείων ὁ Διώρης
παῖς ἦν τῆς Μνησιμάχης τε καὶ τοῦ Ἀμαρυγκέως·

πλοῖα δὲ τεσσαράκοντα τοῖς τέσσαρσιν ὑπῆρχον.
Ὁ Μέγης, τοῦ Φυλέως δὲ υἱὸς καὶ τῆς Ἀγνήτης,
Κτημένης καθ᾽ ἑτέρους δὲ, κατ᾽ ἄλλους τῆς Συμμάχης,
νηῶν ἦν τεσσαράκοντα ναύαρχος στρατηλάτης,
ἄρχων τοῦ Δουλιχίου τε καὶ νήσων Ἐχινάδων,
περὶ τὸν Ἀχελῷον τε καὶ τόπους τοὺς ἐκεῖσε.
Ὁ τοῦ Λαέρτου Ὀδυσσεὺς παῖς καὶ τῆς Ἀντικλείας
δώδεκα πλοίων ναύαρχος ὑπῆρχε Ζακυνθίων.
Ὁ Θόας τοῦ Ἀνδραίμονος καὶ Γόργης τῆς Οἰνέως,
ἀρχὸς ἦν τεσσαράκοντα νηῶν ἐξ Αἰτωλίδος.
Τῶν Κρητικῶν δὲ πόλεων τῶν ἑκατὸν ἐκράτουν
Ἰδομενεὺς, συνάμα δὲ τούτῳ καὶ Μηριόνης·
ὁ μὲν τοῦ Δευκαλίωνος υἱὸς καὶ Κλεοπάτρας,
ὁ Μηριόνης δὲ υἱὸς Εὐίππης καὶ τοῦ Μόλου·
οἷς πλοίων ὀγδοήκοντα συμπαρυπῆρχε στόλος.
Ὁ Ἡρακλέος δὲ υἱὸς ἅμα καὶ Ἀστυόχης
Τληπόλεμος Ῥοδίων ἦν πλοίων ἀρχὸς ἐννέα.
Νιρεὺς ὁ τοῦ Χαρόπου δὲ υἱὸς καὶ Ἀγλαΐας,
ὁ πάντων ὡραιότερος μετὰ τὸν Ἀχιλέα,
καὶ πάντων ἀσθενέστερος στρατηλατῶν Ἑλλήνων,
τῶν ἐκ τῆς Σύμης ναύαρχος τριῶν ὑπῆρχε πλοίων.
Ὁ Φείδιππος καὶ Ἄντιφος (1) τοῦ Θεσσαλοῦ οἱ παῖδες,
ὅς τις ὑπῆρχε Θεσσαλὸς υἱὸς τοῦ Ἡρακλέος,
Κώων καὶ Νισυρίων τε καὶ Καρπαθίων ἦρχον·
τριακοντὰς ὑπῆρχε δὲ τούτοις τῶν πλοίων στόλος.
Ὁ πρῶτος πάντων δὲ πεσὼν τῇ συμβολῇ πολέμου
ὁ ἥρως Πρωτεσίλαος ἀνὴρ Λαοδαμείας,
Ἰφίκλου, Διομήδης τε τερπνὸς υἱὸς ὑπάρχων.
τῶν ἐκ Φυλάκης Ἴτωνος καὶ τῶν ἐξ Ἀντρωνείας
ἦν στρατηγὸς καὶ ναύαρχος σὺν ἀδελφῷ Ποδάρκει,
ὁλκάδων τεσσαράκοντα τούτων ὑπῆρχε στόλος.

(1) In altero C. legitur Ἄντιππος.

Εὔμηλος, τῆς Ἀλκήστιδος υἱὸς καὶ τοῦ Ἀδμήτου,
ἕνδεκα πλοίων ναύαρχος καὶ στρατηγὸς ὑπῆρχε,
Βοίβης, Φηρῶν καὶ Γλαφυρῶν καὶ Ἰωκοῦ κατάρχων.
Ὁ Φιλοκτήτης Ποίαντος υἱὸς καὶ Δημωνάσσης
ἑπτὰ νηῶν ἦν στρατηγὸς τῶν ἀπὸ τῆς Μεθώνης·
ὡς δὲ δηχθεὶς ὑπ' ὄφεως ἦν ἐκριφεὶς ἐν Λήμνῳ,
τούτου τὸ στράτευμα λαβὼν παρέττατεν ὁ Μέδων,
ὅστις ἐκ Ῥήνης ἦν υἱὸς νόθος τοῦ Ὀϊλέως.
Ὁ Ποδαλείριος ὁμοῦ πάλιν δὲ καὶ Μαχάων,
οἱ τῶν Ἑλλήνων ἰατροὶ καὶ στρατηγοὶ γενναῖοι,
Ἀσκληπιοῦ καὶ Ξάνθης τὲ, ἢ Ἱππονέης παῖδες,
κατ' ἄλλους Ἠπιόνης δὲ, κατῆρχον τῶν Τρικκαίων,
στόλον ἐκ πλοίων ἔχοντες μιᾶς τριακοντάδος.
Εὐρύπυλος, Εὐαίμονος παῖς καὶ τῆς Δηϊτύχης,
εἴτε καθὼς συγγράφουσι τινὲς τῆς Δηϊπύλης,
ἦρχε τῶν Ὀρμενίων τε καὶ τῶν ἐξ Ὑπερείας,
ὁλκάδας τεσσαράκοντα τὸν στόλον κεκτημένος.
Δύο τῶν ἐκ Γυρτώνης (1) δὲ ἦσαν οἱ στρατηλάται,
ὁ Πολυποίτης δισκευτὴς μετὰ τοῦ Λεοντέως·
ὧν ὁ μὲν παῖς Πειρίθου τε καὶ τῆς Ἱπποδαμείας,
ὁ Λεοντεὺς Κορώνου δὲ υἱὸς καὶ Κλεοβούλης,
Κόρωνος τοῦ Καινέως δὲ φίλος υἱὸς ὑπῆρχε·
καὶ τούτοις τεσσαράκοντα στόλος ὑπῆρχε πλοίων.
Γουνεὺς ὁ τοῦ Ὠκύτου δὲ καὶ τῆς Ταυροπωλίας,
εἴτ' οὖν ὡς γράφουσι τινὲς ὁ τῆς Ἱπποδαμείας,
τῶν Ἐνιάνων (2), Περραιβῶν καὶ τῶν Κυφάνων ἦρχεν,
ὁλκάδων στόλον εἴκοσι καὶ δύο κεκτημένος.
Μαγνήτων δὲ ὁ Πρόθοος κατάρχων ἐναυάρχει
τοῦ Τενθρηδόνος ὢν υἱὸς, μητρὸς ἐξ Ἐρυμάχης,
εἴτε, τῆς Κλεοβοίας δὲ παιδὸς τῆς τοῦ Εὐρύτου·
στόλος δὲ τεσσαράκοντα τούτῳ παρῆσαν πλοίων.

(1) CC. Γορτύνης. (2) CC. Αἰνιάνων.

Οὗτοι καθ' Ὅμηρον εἰσὶν Ἑλλήνων ἡγεμόνες,
τοὺς δ' ἄλλους παραλέλοιπεν εἰπεῖν τῷ καταλόγῳ·
τὸν Κάλχαντα, τὸν Θέστορος υἱὸν καὶ Πολυμήλας,
τῷ καταλόγῳ μὲν εἰπεῖν παρέλειψε καὶ μόνῳ·
τὸν μέγαν Παλαμήδην δὲ τὸν πάνσοφον ἐκεῖνον
τὸν Εὐβοέα, τὸν υἱὸν Ναυπλίου καὶ Κλυμένης
παμπαντελείως ἔῤῥιψεν ἔξω τῆς Ἰλιάδος·
τὸν Τεῦθιν παραλέλοιπεν ἐκ τῆς Αὐλίδος αὖθις,
ὑποστραφέντα καὶ αὐτὸν κτείναντα τῇ πατρίδι,
ὁμοίως καὶ Μενέδημον τρωθέντα τῇ Αὐλίδι,
στραφέντα καὶ θανόντα δὲ τῇ γῇ τῇ τῆς πατρίδος,
καὶ τὸν Ὀρμένιον αὐτὸν Αὐλίδι τεθνηκότα·
ἔπειθε γὰρ τοὺς Ἕλληνας μὴ πλεῖν ὡς πρὸς τὴν Τροίαν·
Θερσίτην τὸν τῆς Δίας δὲ υἱὸν καὶ τοῦ Ἀγρίου,
πανευγενῆ μὲν ἕλκοντα τοῦ γένους ῥιζουχίαν,
κἂν ἦν χωλὸς καὶ παραβλὼψ, φοξὸς, κυρτὸς, ψεδνόθριξ,
τοῦ καταλόγου τῶν λοιπῶν ὠστράκισεν Ἑλλήνων·
ἄλλους πολλοὺς καὶ θαυμαστοὺς παρῆκεν ἡγεμόνας,
τὸν Πολυνείκους Θέρσανδρον, ὃν Τήλεφος ἀνεῖλεν,
καὶ σὺν αὐτῷ τὸν Ἐπειὸν, υἱὸν τοῦ Πανοπέως,
τὸν μέγαν ἀρχιτέκτονα, γενναῖον τε πυγμάχον,
ὅσπερ μηχανησάμενος τὸν δούρειον τὸν ἵππον
τὴν Τροίαν κατεπόρθησεν, ὡς καθεξῆς διδάξω.
Ἀλλ' ἐπειδὴ μεμάθηκας κλήσεις καὶ ναυαρχίας,
καὶ τὰς μορφὰς μοι μάνθανε τὰς τῶν ἀριστοτέρων,
καὶ τότε πᾶσαν τὴν ὑφὴν μέχρι τοῦ τέλους μάθε.
Ὁ Ἀγαμέμνων, βασιλεὺς ὁ πάντων τῶν Ἑλλήνων,
ἦν μέγας, δασυγένειος, λευκὸς, ἀλλὰ μελάνθριξ,
εὐπαίδευτος, εὐόμιλος αὐτοῦ τοῖς διαλόγοις.
Ὁ δὲ Μενέλαος, κοντὸς, ὑπόπλατυς ὑπῆρχεν,
πυῤῥόθριξ, δασυγένειος, ξανθόθριξ καὶ δασύθριξ.

Ὁ Νέστωρ, μέγας καὶ γλαυκὸς, ὑπόπυῤῥος ὑπῆρχε,
μακρόῤῥιν, μακροπρόσωπος, πανφρόνιμος, λευκόθριξ.
Ὁ τούτου παῖς Ἀντίλοχος νεώτερος ἦν πάντων,
λευκὸς, μικρόῤῥιν καὶ γλαυκὸς, εὐτράχηλος, εὔηλιξ,
ξανθὸς, καλλίθριξ, δρομικὸς καὶ τῶν γρηγοροφθάλμων,
εὔσκυλτος, εὐανάτρεπτος, ἐρυθριῶν συντόμως.
Ὁ Ἀχιλεὺς, μακροσκελὴς, ὑπόσπανος ὑπῆρχε,
λευκὸς, ξανθόθριξ καὶ πυῤῥὸς, δασύθριξ καὶ μακρόῤῥιν,
γυναικοπρόσωπος, φαιδρὸς καὶ τῶν γρηγοροφθάλμων,
ταχυδρομῶν, γλυκύφωνος, πικρόθυμος, ὀργίλος.
Ὁ Φοίνιξ, γέρων, φρόνιμος, μέσος τὴν ἡλικίαν,
μακρόθριξ, εὐχαράκτηρος, μελίχρους τὴν ἰδέαν,
τὴν φύσιν συντομόδακρυς καὶ τῶν θλιβεροψύχων.
Ὁ Πάτροκλος, μεσῆλιξ ἦν, ὑπόπυῤῥος, ξανθόθριξ,
εὐπώγων καὶ προκοίλιος, πλὴν εὐηθὴς τὴν θέαν.
Αἴας ὁ Τελαμώνιος, πύργος ὁ τῶν Ἑλλήνων,
ἦν μέγας, ἀλλ' εὐσύνθετος, εὔριν, σγουρὸς, μελάνθριξ,
τὴν γενειάδα κάλλιστος, ὀργίλον ὑποβλέπων,
κάλλει νικῶν τοὺς σύμπαντας, πλὴν Ἀχιλέως μόνου.
Ὁ δὲ Λοκρὸς Αἴας μὲν ἦν μακρός τε καὶ μελίχρους,
σγουρομελάνθριξ καὶ στραβὸς, καὶ τῶν μακροπροσώπων,
πηδητικὸς, ἐγρηγορὼς, καὶ τῶν εὐπεριστρέπτων.
Ὁ Μενεσθεὺς, μεθῆλιξ ἦν, ὑπόλεπτος, μελάνθριξ,
ἐγρηγορὼς, εὐπαίδευτος, ἔμπειρος στρατηγίας,
ἱππότης ἀπαράμιλλος ἄχρι τοῦ νῦν τοῦ χρόνου.
Ὁ δέ γε Διομήδης ἦν τετράγωνος τὸ σῶμα,
σιμὸς καὶ σιμοτράχηλος, ξανθὸς τὴν γενειάδα,
καὶ βραχυῆλιξ πρὸς αὐτοὺς τοὺς ἥρωας οὓς γράφω·
ἐπεὶ τούτου λωρίκιον ὕστερον ἐφευρέθη
ἔσωθεν λάρνακος τινὸς ἐν τῇ Λογγιβαρδίᾳ
ἀνδρὸς μεγάλου μέγεθος, οὗ τῶν λαβῶν τὸ πάχος

εἰς ὄγκον ἦν ἰσοπαχὲς, ἰσόμετρον κονδύλῳ,
ὃ ἱερῷ τῆς Ἀθηνᾶς ἐκρέμασαν ὡς θαῦμα.
Εὐρύαλος, πλατύτερος, κατάσαρκος ἦν, μέγας,
μακρόθριξ, εὐχαράκτηρος, εὐπρόσωπος τῶν μέσων.
Ὁ Σθένελος, εὐῆλιξ ἦν, εὔθετος, εὐχαράκτηρ,
δειλὸς, ὑβρίζων, ἀναιδὴς, εὐστήρικτος τὰς φρένας.
Ὁ Ὀδυσσεὺς, μεσῆλιξ ἦν, λευκός τε καὶ προγάστωρ,
ἁπλόθριξ, στρεβλογνώμων δὲ, πικρός τε καὶ μακρόῤῥιν·
Ὁ Θόας ἦν περίγοργος, λεπτός τε καὶ μεσῆλιξ,
λευκὸς, σγουρὸς, ὑπόγλαυκος, εὐσύμβουλος καὶ νέος.
Ἰδομενεὺς μεσόγηρως, μέσος τὴν ἡλικίαν,
μέλας ὁμοῦ τε καὶ σγουρὸς, κοντόθριξ, δασυπώγων.
Ὁ Μηριώνης δὲ στρεβλὴν ἐκέκτητο τὴν ῥῖνα,
κοντὸς ὑπάρχων καὶ πλατὺς, εὔθριξ, σγουρὸς, εὐπώγων.
Ὁ Πρωτεσίλαος, ἀνὴρ ὁ τῆς Λαοδαμείας,
λευκὸς, μακρὸς, εὐσύνθετος, οὐλόθριξ, καὶ ξανθόθριξ,
ὡραῖος, νέος, τολμηρὸς καὶ τῶν εὐκαταστάτων.
λιπὼν δὲ Λαοδάμειαν νύμφην ἐν τῷ θαλάμῳ,
σὺν τοῖς λοιποῖς ἐστράτευσε τοῖς Ἕλλησιν εἰς Τροίαν·
πρῶτος δὲ πίπτει τῶν λοιπῶν, ὡς προπηδήσας πρῶτος,
ὡς ὅταν δεῖ σαφέστερον μαθήσῃ περὶ τούτου.
Εὔμηλος τῆς Ἀλκήστιδος μητρὸς τῆς πανυαρίστης,
ἥτις αὐτὴν ἀπέδωκε θανεῖν ὑπὲρ συζύγου,
ὡραῖος, καὶ εὐῆλιξ ἦν, εὐπαίδευτος, ξανθόθριξ.
Εὐμήκης, μέλας, σύνοφρυς ὑπῆρχε Φιλοκτήτης.
Ὁ Κάλχας, ὁλοπόλιος, μικρὸς τὴν ἡλικίαν,
λευκὸς τὸ σῶμα καὶ λεπτὸς, καὶ δασυχαίτης ἅμα.
Ὁ Παλαμήδης, Κάτων τὲ ὁ πρῶτος, καὶ ὁ Τζέτζης
εὐήλικες, εὐτράχηλοι, μακρόῤῥινες συμμέτρως,
συμμέτρως μακροπρόσωποι, γοργοὶ, τῶν αἰδημόνων,
λεπτοὶ, γλαυκοὶ, χρυσόχροες, πυῤῥότριχοι, καὶ οὖλοι,

σωματικοῖς καὶ ψυχικοῖς ὅμοιοι πᾶσιν ὄντες,
ὡς καὶ τὴν κόμην αὐχμηρὰν ἐξ ἀλεσίας ἔχειν,
καὶ συμπεσεῖν τὴν πλείονα καὶ διεῤῥυηκέναι·
ἐμοῦ δ' οὗτοι διέφερον τῷ μὴ θυμοῦσθαι μόνον,
εἰ τέως οὐχὶ ψεύδονται τῶν συγγραφέων λόγοι·
αἱ κράσεις αἱ τοιαῦται γὰρ θερμαί τε καὶ θυμώδεις,
εἰ μή που περισσότερον εἶχον ἐμοῦ τὸ φλέγμα,
καὶ τῷ φιλοκερδέστερος καὶ φειδωλὸς ὑπάρχειν,
Κάτων ἐμοῦ διέφερεν ὅμοιος ὢν τοῖς ἄλλοις,
ἐμοὶ δὲ πλέον τοῦ ἀνδρὸς τοῦ Κάτωνος ὑπάρχει
τὸ μὴ κρατεῖσθαι χρήμασι· θυμὸς ἐπὶ δικαίοις
πῦρ πνέων, ὥσπερ Κάτωνι δευτέρῳ παρυπῆρχε.

Τὸν Ἐπειόν μοι μάνθανε τὶς ἦν κατὰ τὴν θέαν·
λευκὸς, ὡραῖος, εὔχαρις, μέγας εἰς ἡλικίαν,
νέος, δασύθριξ καὶ ξανθὸς, δειλὸς ὑπὲρ ἐλάφους,
μηχανητὴς πανάριστος, πυγμάχος τὲ γενναῖος.

Ἐπεί σοι νῦν κατέλεξα καὶ τὰς μορφὰς ἡρώων,
πάλιν πρὸς τὴν ὑπόθεσιν τὸν λόγον ἀνακτέον.

Ὡς πᾶν τοῦτο τὸ στράτευμα συνήχθη πρὸς Αὐλίδα,
εἰς ἀριθμὸν ποσούμενον ὡς ἔφην χιλιάδων,
εἰς στόλον καὶ ναυάρχους τὲ τοὺς ἄνω λελεγμένους,
ἀνέμοις κατεσχέθησαν ἐκεῖσε χειμερίοις·
ἀνθ' ὧν, ὡς γράφουσι τινὲς ἐκ τῶν μυθογραφούντων,
ὁ Ἀγαμέμνων ἔλαφον Ἀρτέμιδος τοξεύει·
ὅθεν τὴν Ἰφιγένειαν αὐτοῦ τὴν θυγατέρα,
ἐκ τῆς Μυκήνης ἄξαντες, ἔμελλον θύειν τότε,
διαδραμοῦσαν δ' ἔλαφον σφάττουσιν ἀντ' ἐκείνης,
ἐκείνην δὲ ἱέρειαν Ἀρτέμιδος ποιοῦσιν·
ἡ δ' Ἄρτεμις οὐκ ἄλλη τὶς ἐστὶν, ἀλλ' ἡ σελήνη·
ἀνέμων ἔπειτα φορῶν πνευσάντων καὶ πομπίμων,
Διῒ θυσίας ἔθυον πρὸς κρήνην ἐν Αὐλίδι·

πρὸς ἥνπερ κρήνην δράκων τις εἰς πλάτανον ἑρπύσας,
μέσον παντὸς στρατεύματος, πάντων ὁρόντων τοῦτον,
ὀκτὼ στρουθοῦ νεόττια νήπια τέκνα τρώγει,
καὶ τὴν μητέρα τῶν στρουθῶν κατέφαγεν ἐνάτην·
εἶτα πρὸς λίθων ποῦ σωρὸν κρυβεὶς ἐξηφανίσθη,
ὅπερ καὶ ἀπολίθωσιν τοῦ δράκοντος καλοῦσι.

Τοῦ μάντεως εἰπόντος γὰρ τοῖς Ἕλλησι τὸ τέρας,
ὅτι καθάπερ βέβρωκεν ὀκτὼ στρουθοὺς ὁ δράκων,
ἐνάτην δὲ κατέφαγε σὺν τούτοις τὴν μητέρα,
ἔπειτα παρεισέδραμεν εἰς τὴν λιθοσωρείαν,
οὕτως ἡμεῖς ὀκταετῶς τοὺς Τρῶας ἀναιροῦντες,
ἐνάτῳ καὶ τὸν Ἕκτορα σὺν τούτοις ἀναιρεῖτε,
δεκάτῳ καθελεῖτε δὲ καὶ τείχη τὰ τῆς Τροίας·
οὕτως εἰπόντος μαντικῶς τοῦ Κάλχαντος τὸ μέλλον,
δευτέρους ὅρκους Ἕλληνες ὀμόσαντες φρικώδεις,
μηδένα πρὸ πορθήσεως τῆς Τροίας ὑποστρέφειν,
λύσαντες δὲ πρυμνήσια, πελάσαντες ἱστία,
ἤδη λοιπὸν ὡς πρὸς αὐτὴν ἀπέπλεον τὴν Τροίαν·
Ἰρίδων φαινομένων δὲ, τόξων τῶν οὐρανίων,
οἱ Τρῶες, καίπερ ἔχοντες φύλακας προσκοποῦντας,
καὶ τὸν Πολίτην σὺν αὐτοῖς υἱὸν τὸν τοῦ Πριάμου
πρὸ τῶν φυλάκων τῶν αὐτῶν και πρὸ των μηνυμάτων,
ἐκ τῶν σημείων ἔγνωσαν ζάλην δεινοῦ πολέμου,
καὶ περὶ πόλιν Μύρινναν οὖσαν πλησίον Τροίας
ἐλθόντες, καθωπλίσθησαν καὶ στρατοπεδαρχοῦνται,
καὶ πάντες περὶ θάλασσαν ἔνοπλοι συνδραμόντες
τοὺς Ἕλληνας ἐκώλυον ἐκβαίνειν τῶν ὁλκάδων.

Ἀλλὰ λεκτέον πρῶτον μοι καὶ τούτων ἡγεμόνας,
καὶ τότε προχωρήσωμεν πρεπόντως πρὸς τὴν μάχην.

Οἱ τότε Τρώων στρατηγοὶ παρευρημένοι Τροίᾳ
ἦσαν ἑπτὰ καὶ εἴκοσι τὸν ἀριθμὸν οἱ πλεῖους,

χωρὶς τῶν συνεχέστερον ὑστέρως ἐρχομένων
Ῥήσου καὶ Ἱπποκόωντος καὶ τοῦ Ὀθρυονέως,
Πενθεσιλείας, Μέμνονος κρατοῦντος Αἰθιόπων,
καὶ Πολυδάμαντος Ἰνδοῦ, Μυσοῦ τε Εὐρυπύλου,
καὶ τῶν λοιπῶν τῶν συνεχῶς εἰς Τροίαν ἐρχομένων,
καὶ σκόπει μοι καὶ μάνθανε καὶ τούτων νῦν τὰς κλήσεις.
Ὁ Ἕκτωρ ἦν Πριάμου τε υἱὸς καὶ τῆς Ἑκάβης,
πάνυ μακρὸς καὶ εὔογκος, μελάγχρους τὴν ἰδέαν,
στουρομελάνθριξ, εὔριν τε, κοντόθριξ καὶ εὐπώγων,
στραβὸς, ψελλὸς, βαρύφωνος καὶ σθεναρὸς ἰσχύϊ,
καὶ φοβερὸς πολεμιστὴς, κἂν περ ἐγὼ σιγήσω,
Ὅμηρος δὲ καὶ τὴν μορφὴν τοῦτον ὡραῖον λέγει,
οὗτος τῶν Τρώων βασιλεὺς καὶ στρατηγὸς ἦν τότε.
Αἰνείας ὁ Ἀγχίσου δὲ υἱὸς καὶ Ἀφροδίτης,
κοντὸς, παχὺς, πυῤῥάκης τε, λευκὸς, γλαυκὸς καὶ εὔριν,
εὐπώγων, πλατυπρόσωπος, φρόνιμος, ἀναφάλας·
οὗτος σὺν τῷ Ἀκάμαντι καὶ σὺν τῷ Ἀρχελόχῳ,
υἱοῖς τε τοῦ Ἀντήνορος, ἦρχε τῶν Δαρδανίων.
Πάνδαρος ὁ Λυκάονος υἱὸς καὶ τῆς Ἰδαίας,
λεπτὸς, εὐπρόσωπος, γοργὸς, μέσος τὴν ἡλικίαν,
τοξότης εὐστοχώτατος, μελίχρους, καὶ μελάνθριξ,
ἦν στρατηγὸς Ζελειωτῶν, ὄντων ἐγγὺς τῆς Ἴδης.
Λαμψακηνῶν ὁ Ἄδραστος καὶ Ἄμφιος κατῆρχον,
ἐκ τῆς Περκώπης πόλεως Μέροπος ὄντες παῖδες.
Ἄσιος ὁ Ὑρτάκου δὲ υἱὸς καὶ τῆς Ἀρίσβης
Ἀβυδηνῶν, Σηστίων τε καὶ Περκωσίων ἦρχεν.
Ἱππόθοος καὶ Πύλαιος ὄντες υἱοὶ τοῦ Λήθου
τῶν Λαρισσαίων Πελασγῶν εἶχον τὴν στραταρχίαν.
Ὁ Πείρως καὶ Ἀκάμας δὲ Θρακῶν Ἑλλησποντίων,
Μαρωνειτῶν ὁ Εὔφημος υἱὸς ὁ τοῦ Τροιζήνου.
Πυραίχμης τῶν Παιόνων δὲ, τουτέστι τῶν Βουλγάρων,

τῶν ἐξ Ἀσίου ποταμοῦ, τουτέστι τοῦ Βαρδάρη.
Τῶν Παφλαγόνων στρατηγὸς ὑπῆρχε Πυλαιμένης·
ὁ Δῖος (1) καὶ Ἐπίστροφος τῶν Βιθυνῶν ἐκράτουν·
ὁ Χρόμης καὶ ὁ Ἔννομος πάντων Μυσῶν ἐκράτουν,
Ὀλυμπηνῶν καὶ Προυσηνῶν καὶ τῶν ἐντὸς Καΐκου·
ὁ Φόρκυς καὶ Ἀσκάνιος Φρυγῶν ἐστρατηλάτουν,
Φρύγες δ' εἰσὶν οἱ Νικαεῖς, ὧν Ἀσκανία λίμνη.
Ὁ Μέσθλης δὲ καὶ Ἄντιφος Μηόνων στρατηλάται·
οἱ Μήονες Λυδοί εἰσιν, ὧν πόλεις αἱ νῦν Σάρδεις.
Ὁ Νάστης καὶ Ἀμφίμαχος Καρῶν καὶ Μιλησίων·
ὁ Σαρπηδὼν καὶ Γλαῦκος δὲ τῶν Παταρέων ἦρχουν.
Οὗτοι μὲν ἦσαν στρατηγοὶ τότε τῶν Τρώων ὄντες,
οἵ τινες περὶ θάλασσαν ἔνοπλοι συνδραμόντες,
σὺν τοῖς αὐτῶν στρατεύμασι καὶ στρατοπεδαρχίαις
ἐκώλυον τοὺς Ἕλληνας ἐκβαίνειν κατὰ Τρώων·
ὡς δ' ἄμφω τὰ στρατεύματα τῶν Τρώων, τῶν Ἑλλήνων
ἵσταντο μὴ μαχόμενα φόβῳ χρησμῳδημάτων,
ἦν γὰρ χρησμὸς τὸν ἄρξαντα πρῶτον θανεῖν τῶν ἄλλων,
ἰδὼν ὁ Πρωτεσίλαος ἁπάντων τὴν δειλίαν,
ζωῆς ἀδόξου θάνατον ἔνδοξον προτιμήσας,
πολὺ πρὸ πάντων προπηδᾷ κατὰ τῶν Τρώων μόνος,
καὶ τῷ δοκεῖν μὲν σφάττεται, ζῇ δὲ τῇ μνήμῃ πλέον,
Ἕκτωρ γὰρ τοῦτον, Εὔφορβος, Ἀκάτης ἀναιροῦσιν·
ἡ δὲ σφαγὴ τοῖς Ἕλλησι λυτήριοις θυσία,
καὶ νίκη γίνεται λαμπρὰ, καὶ παροχεὺς βραβείων·
αὐτίκα δὲ θαῤῥήσαντες ἐξέδραμον τῶν πλοίων,
καὶ συμβαλόντες τρέπουσι τοὺς Τρῶας κατὰ κράτος,
χείμαῤῥοι γὰρ ἐῤῥύησαν αἱμάτων τῷ πολέμῳ·
περὶ τὴν νύκτα δὲ λοιπὸν ἁπάντων Τρώων πλῆθος
ὡς πρὸς τὴν Τροίαν προσδραμὸν, κλείει τὰς ταύτης πύλας.
Ἡ τοῦ Πρωτεσιλάου δὲ σύζυγος ἡ καλλίστη

(1) Il. β. 856. Ὀδίος.

μαθȣ͂σα τὴν ἀναίρεσιν τȣ͂ νεαρȣ͂ συζύγȣ,
τὸν νυμφικὸν τὸν ϛολισμὸν εὐθὺς ἐνδυσαμένη,
αὐτὴν μαχαίρᾳ πλήξασα, κατάγει πρὸς τὸν ᾌδην,
νύμφη νυμφίῳ τῷ καλῷ θέλȣσα συμπαρεῖναι.
Οἱ Ἕλληνες, τῶν Τρώων δὲ κλεισθέντων ἐν τῇ Τροίᾳ,
ταῖς περιχώροις ȣ̓δαμῶς ἦσαν τῶν Τρώων βλάβη·
ἕϛ' ἂν ἐκ τῆς Τενέδȣ τὲ καὶ πόλεως Τενάνδρȣ,
Κύκνος ὁ Ποσειδῶνος τὲ καὶ τῆς Σκαμανδρονίκης,
νυκτερινὸν τὸν πόλεμον συνήῤῥαξεν ἐκείνοις·
εὐθὺς γὰρ τȣ͂τον Ἀχιλεὺς ἀπέκτεινε τῇ μάχῃ,
καὶ πᾶν τὸ τȣ́τȣ ϛράτευμα θερίζεται τελέως.
Ὅρκοι λοιπὸν ἐγίνοντο πορθεῖν τὰς περιχώρȣς,
ὅτι μηδέν τι δυσχερὲς πρός τινα τȣ́των δρῶντες,
ἐκ τȣ́των ἠδικήθησαν κατάρξαντες τȣ͂ Κύκνȣ.
Καὶ τότε τεύξαντες πλεκτὰς σκηνὰς καὶ κατοικίας,
οἱ μὲν αὐτῶν παρέμενον ἐϛρατοπεδευκότες,
ἄλλοι δὲ τὰ περίχωρα τῶν Τρώων ἐξεπόρθȣν,
φρικώδεις ὅρκȣς θέμενοι, μηδὲν παρυποκρύπτειν·
ὁ Ἀχιλεὺς δὲ μάλιϛα τὰς χώρας ἐξεπόρθει,
τȣ͂ Παλαμήδȣς σὺν αὐτῷ συϛρατηγȣ͂ντος τότε,
τȣ͂ Εὐβοέως τȣ͂ σοφȣ͂, τȣ͂ μηχανικωτάτȣ,
τȣ͂ ἀριθμȣ̀ς καὶ γράμματα καὶ τὸν πεσσὸν εὑρόντος,
ζυγȣ̀ς καὶ παρατάξεις τὲ, σὺν τȣ́τοις ἄλλα πόσα.
Καὶ Διομήδης μὲν πορθεῖ τὴν πόλιν τὴν τȣ͂ Κύκνȣ,
καὶ Κόμην τε καὶ Κόμαρκον παῖδας ἀνεῖλε τȣ́τȣ,
καὶ Γλαύκην χρόνων ἕνδεκα τȣ́τȣ τὴν θυγατέρα,
τὴν Λαοδίκην ὥς τινες γράφȣσι τῶν ἑτέρων,
εὐπρεπεϛάτην ἤγαγε σὺν τοῖς λοιποῖς λαφύροις,
εἰς μέσον τȣ͂ ϛρατεύματος παντὸς τȣ͂ τῶν Ἑλλήνων.
Αἴας ὁ μέγας δ' ἐκπορθεῖ Θρᾴκην καὶ Τευθρανίαν,
καὶ θυγατέρα Τεύθραντος αἰχμάλωτον λαμβάνει

Τέκμησσαν, ἑπτακαίδεκα τῶν χρόνων ὑπηργμένην,
μακρὰν, λεπτοχαράκτηρα, λεπτόρινα, μελάγχρουν,
εὐόφθαλμον, ἁπλότριχα, μελάντριχα, δριμεῖαν,
εἰς ἡλικίαν εὔστολον, τελείαν καὶ παρθένον·
καὶ πάντα μέσον τοῦ στρατοῦ παρέθετο καὶ οὗτος.
Ὁ δ' Ἀχιλεὺς ὡς ἔφημεν μετὰ τοῦ Παλαμήδους
λεηλατῶν τὰς χώρας μὲν, τὰς πόλεις κατασκάπτων,
οἰκείᾳ ῥώμῃ χρώμενος, βουλῇ τῇ Παλαμήδους
εἴκοσι τρεῖς ἐπόρθησε πόλεις συμμάχους Τρώων·
αἱ πόλεις δ' ἅσπερ Ἀχιλεὺς εἷλε σὺν Παλαμήδει
κατὰ ῥητὸν ὑπάρχουσαι τάσδ' ἔχουσι τὰς κλήσεις·
Λέσβος, Φωκίας, Κολοφῶν, Κληζομεναὶ καὶ Σμύρνη,
Κύμη, Τῆνος, Αἰγιαλὸς, αἱ ἑκατὸν αἱ πόλεις,
Σίδη, καὶ Ἀτραμύτειον, Λίλαιον καὶ Κολώνη,
Ἔνδιον, Κίλλα, Λύρνησσος, Τένεδος σὺν Λαρίσσῃ,
Θήβη, Χρύσα, καὶ Πήδασος, Αἴνεον τὲ καὶ Πῖνος·
ταύτας κατέσχεν Ἀχιλεὺς πόλεις σὺν Παλαμήδει,
τῷ σοφωτάτῳ Εὐβοεῖ καὶ στρατηγικωτάτῳ,
υἱῷ Ναυπλίου τοῦ σοφοῦ, μητρὸς δὲ τῆς Κλυμένης·
ἐκ τούτων λάφυρα πολλὰ τοῖς Ἕλλησιν εἰσφέρει,
καὶ αἰχμαλώτους σὺν αὐτοῖς τρεῖς ἤγαγε γυναῖκας·
ἐκ μὲν τῆς Λέσβου, Φόρβαντος κόρην τὴν Διομήδην,
ἐκ τῶν Θηβῶν ἑτέραν δὲ, Θηβῶν Ὑποπλακίων,
γυναῖκα Ἠετίωνος, Κιλίκων βασιλέως,
κτείνας τὸν Ἠετίωνα, καὶ τὸν στρατὸν Κιλίκων,
ἣν ἐξωνήσαντο τινὲς τῶν γυναικῶν ὑστέρως·
ἐκ Χρύσης Χρυσηΐδα δὲ τοῦ Χρύσου θυγατέρα,
τὴν καὶ τὸ πατρωνύμιον ταύτην λαβοῦσαν κλῆσιν,
ταύτης γὰρ ἦν τὸ ὄνομα τὴν κλῆσιν Ἀστυνόμη,
καὶ ταυτην μὲν εἰς τὸ κοινὸν σὺν τοῖς λοιποῖς λαφύροις
ὡς οἱ λοιποὶ τῶν στρατηγῶν παρέθετο καὶ οὗτος.

Τὴν Λύρνησσον πορθήσας δὲ τὴν πόλιν τοῦ Βρισέως,
καὶ κτείνας καὶ τὸν Μήνυτα σύζυγον Βρισηΐδος,
λαβὼν τὴν Ἱπποδάμειαν, αὐτὴν τὴν Βρισηΐδα,
θελχθεὶς αὐτῆς τῷ ἔρωτι, καταφρονεῖ τῶν ὅρκων,
παρασπονδεῖ πρὸς Ἕλληνας, συνθήκας παραβαίνει,
καὶ κρύπτει ταύτην ἔνδοθεν αὐτοῦ τῆς κατοικίας
χωρὶς βουλῆς τῶν στρατηγῶν, χωρὶς τῶν στρατευμάτων,
λαβὼν δῶρον ἐξαίρετον, ὅπερ αὐτὸς ἐπόθει·
τοῦτο μαθὼν τὸ στράτευμα, μεγάλως ἐταράχθη,
καὶ θόρυβος ἐγένετο καὶ σκέψις περὶ τούτου,
ὁποίῳ τρόπῳ τε καὶ πῶς οὕτως αὐτεξουσίως
αὐτὴν ἐξέκρινεν αὐτῷ καταφρονῶν τῶν ὅρκων,
ἔδοξε πᾶσι τοῦ λοιποῦ μὴ στρατηγεῖν ἐκεῖνον.
Ὁ Ὀδυσσεὺς ἀνῆπτε δὲ μᾶλλον τοὺς λόγους πλέον·
τῷ Παλαμήδει γὰρ ἐχθρὸς ὑπάρχων τῷ πανσόφῳ
τοῖς βασιλεῦσιν ἔλεγε θηρᾶν τὴν βασιλείαν,
τῷ Παλαμήδει συνεργῷ τοῖς πᾶσι κεχρημένος,
πρέπει φονεῦσαι τοιγαροῦν αὐτὸν τὸν Παλαμήδην,
τὴν κόρην ταύτην δὲ βαλεῖν εἰς τὸ κοινὸν, ὥς τ' ἄλλα.
Ἀλλά σοι πρῶτον λέξωμεν καὶ τὰς μορφὰς τὰς τούτων
τῶν αἰχμαλώτων γυναικῶν, ὧν εἶπον ἀνωτέρω·
καὶ τότε καὶ τὸν θάνατον ἐρῶ τοῦ Παλαμήδους,
καὶ κόρης τὴν ἀφαίρεσιν καὶ μῆνιν Ἀχιλέως,
καὶ πῶς ἑτέρως Ὅμηρος τὴν μῆνιν ταύτην γράφει·
καὶ τότε, παρελάσαντες τρίβους πολλοῖς ἀγνώστους,
πρὸς τὴν πλατεῖαν ἔλθοιμεν Ὁμήρου λεωφόρον
ἁμαξιτὸν βαδίζοντες τὴν γνώριμον τοῖς πᾶσι·
καὶ δὴ τὴν θέαν μάνθανε τῶνδε τῶν αἰχμαλώπων.
Ἡ Φόρβαντος θυγάτηρ μὲν ὑπῆρχε Διομήδη,
παρθένος, εἰκοσίχρονος, καλὴ τὴν ἡλικίαν,
λευκὴ, γλαυκὴ, μεσόπαχος, ὑπόσιμος, ξανθόθριξ.

σὺν οἷς, στρογγυλοπρόσωπος καὶ τῶν μεγαλοφθάλμων.
Ἡ Ἀστυνόμη Χρυσηῒς, θυγάτηρ ἡ τȣ̃ Χρύσου,
χρόνων ἐννεακαίδεκα, παρθένος ȣ̓̃σα τότε,
κοντὴ, λεπτή τε καὶ λευκὴ, ξανθότριχος ὑπῆρχεν,
εὐπρόσωπος, εὐόφθαλμος, μικρόστηθος καὶ εὔριν.
Ἡ δέ γε Ἱπποδάμεια θυγάτηρ τȣ̃ Βρισέως
εἴκοσι χρόνων καὶ ἑνὸς ȣ̓̃σα τὴν ἡλικίαν,
γυνὴ μὲν ἦν τȣ̃ Μήνυτος Λελέγων βασιλέως,
μακρὰ, λευκὴ, καλλίμαστος, ἑλόθριξ, καὶ μελάνθριξ,
εὔστολος, καλλιπάρῃος, φιλόγελως καὶ εὔριν,
κεχλοϊσμένον βλέφαρον, ὀφρῦς συνδεδεμένη,
ἣν ἀποκρύψας Ἀχιλεὺς, ὡς ἔφην ἀνωτέρω,
ἐποίησε τὸ στράτευμα μεγάλως ταραχθῆναι,
καὶ περιστεῖλαι καὶ αὐτὸν μὴ στρατηγεῖν Ἑλλήνων,
ὡς ἄπιστον, ὡς ἄσπονδον, ὡς ὅρκων παραβάτην,
καὶ Παλαμήδην τὸν σοφὸν ὡς δι᾽ αὐτὸν φονεῦσαι.
Ὁ Ὀδυσσεὺς γὰρ ὢν ἐχθρὸς ἄσπονδος Παλαμήδει
τῷ λέγειν τȣ̃τον αἴτιον εἶναι κακῶν ἁπάντων,
τȣ̀ς βασιλεῖς ὡς πρὸς θυμὸν ἀμέτρητον κινήσας,
ἔπεισεν ἄνδρα ποδαπὸν ἀποθανεῖν ἀδίκως·
καὶ γὰρ ἐρίζων πρὸς αὐτὸν σοφαῖς μηχανουργίαις,
σκότος ὑπῆρχεν ὡς πρὸς φῶς, νόσος ὡς πρὸς ὑγείαν,
πρὸς Ἰνδικὸν ὀσφράδιον κόπρος δυσωδεστάτη.
Ὁ Παλαμήδης γὰρ αὐτὸς ἡ πάνσοφος καρδία,
πραῢς ὢν καὶ εὐόμιλος καὶ ταπεινὸς τοῖς πᾶσι,
πάντας φιλῶν ὡς ἑαυτὸν, τοῖς πᾶσιν ἐποθεῖτο,
καὶ ἐτιμᾶτο σύμπασι κατὰ πολλȣ̀ς τȣ̀ς τρόπους,
ὡς εὐγενὴς, ὡς στρατηγὸς, ὡς ἰατρὸς, ὡς μάντις,
ὡς μηχανὰς δυνάμενος ποιεῖν πορθητηρίους,
ὡς ἐφευρὼν τὰ γράμματα, τȣ̀ς ψήφους, τὸ ταβλίζειν,
τὸ παρατάσσειν τὸν στρατὸν ἐν συμβολαῖς πολέμου,

ἁπλῶς εἰπεῖν ὡς εὑρετὴς βιωφελῶν παντοίων.
Καὶ γὰρ τὸ πρὶν ἐκπλέουσι τοῖς Ἕλλησιν εἰς Τροίαν
σημεῖα κατεφαίνοντο, καὶ τέρατα φρικώδη·
ὑπερφυεῖς μὲν ἀστραπαὶ, βρονταὶ τῶν βαρυκτύπων,
λείψεις ἡλιοσέληνοι, ὄμβροι βροχῆς αἱμάτων,
ἄλλα μυρία τέρατα τῶν φορεβῶν τὴν θέαν·
τοῦ δὲ στρατοῦ τοῦ σύμπαντος μεγάλως πονουμένου,
πρῶτος αὐτὸς ἐῤῥύσατο τοῦ φόβου Παλαμήδης,
ὦ ἄνδρες Ἕλληνες, εἰπὼν, ταῦτα τῶν Τρώων βλάβη,
πάντα γὰρ πρὸς ἀνατολὰς ἐφάνη τὰ σημεῖα·
εἶπε καὶ Κάλχας ἀληθῆ λέγειν τὸν Παλαμήδην.
Πρῶτον πρὸς Ἕλληνας αὐτὸ τοῦ Παλαμήδους ἔργον,
δεύτερον, ἀποπλεύσασιν αὐτοῖς ὡς πρὸς τὴν Τροίαν,
καὶ λυπουμένοις ἄμετρα τῷ πόθῳ τῆς πατρίδος,
ἐφεύρηκε τὰ γράμματα· σὺν τούτοις τὸ ταβλίζειν·
καὶ γράμμασιν ἐχρῶντο μὲν γράφοντες τοῖς οἰκείοις·
ταβλίζοντες δ' ἐλάμβανον παραψυχὴν ὀλίγην,
τῆς λύπης τε καὶ τοῦ λοιμοῦ τοῦ τότε γενομένου·
τροφὰς γὰρ μόλις εὕρισκον ὄντες ἐν ξένῃ χώρᾳ·
ὅθεν ὁ πόθος ηὔξανε πάντων πρὸς Παλαμήδην,
ὁ φθόνος δ' ἀνετάρασσε τὸν Ὀδυσσέα πλέον.
Ἐπεὶ δὲ καὶ κατήρξαντο πορθεῖν τὰς περιχώρους,
ἀνθ' ὧν ὁ Κύκνος πόλεμον τοῖς Ἕλλησι συνῆψεν,
ἅπαν ἐλθὸν τὸ στράτευμα πρῶτον κατὰ Μυσίας
συνῆψε πόλεμον βαρὺν ἐν ποταμῷ Καΐκῳ,
οὗ περ καὶ φόνος πάμπολος Μυσῶν τε καὶ Ἑλλήνων·
πολλοὶ γὰρ ἔπεσον ἐκεῖ γενναῖοι στρατηλάται,
καὶ σὺν αὐτοῖς ὁ Θέρσανδρος υἱὸς τοῦ Πολυνείκους,
τῆς θυγατρὸς ὑπάρχων παῖς Ἀδράστου βασιλέως·
οὗ καὶ τροπὴ καθολικὴ γέγονεν ἂν Ἑλλήνων,
εἰ μὴ τὸν Τήλεφον αὐτὸν Μυσῶν τὸν βασιλέα.

τοῦ Ἡρακλέος τὸν υἱὸν καὶ Αὔγης τῆς Ἀλέου,
ὁ Ἀχιλεὺς εἰς τὸν μηρὸν ἔτρωσε δορατίσας·
εἰ μὴ Νιρεὺς ἀπέκτεινε νὴν σύζυγον Τηλέφου,
τὴν καλουμένην Ἱερὰν ἅρματι μαχομένην·
ἥ τις τοσοῦτον καλλοναῖς ἐνίκα τὴν Ἑλένην,
ὅσον ἐκείνη τὰς λοιπὰς γυναῖκας ἐξενίκα·
εἰ μὴ Νιρεὺς καὶ Ἀχιλεὺς ἠρίστευσαν ὡς εἶπον,
οὐδὲν ἦν τότε κώλυμα τοὺς Ἕλληνας φθαρῆναι·
Ἕλωρος καὶ Ἀκταῖος γὰρ, οἱ παῖδες οἱ τοῦ Ἴστρου,
καὶ Αἷμος ὁ τοῦ Ἄρεος Τηλέφῳ συνεμάχουν·
καὶ αἱ γυναῖκες τῶν Μυσῶν, ἐπὶ δρεπανηφόρων
ἁρμάτων ἐφιστάμεναι, τὴν μάχην συνεκρότουν,
σὺν τῇ δεσποίνῃ τῇ αὐτῶν πρὸ πάντων προτρεχούσῃ,
ἣν ἀποσφάξας ὁ Νιρεὺς, κατέλυσε τὴν μάχην·
εὐθὺς γὰρ θρῆνος καὶ βοὴ Μυσῶν τε καὶ Ἑλλήνων,
ὡς εἶδον κάλλος ἄῤῥητον ἐκθερισθὲν ἀθρόως,
καὶ λύουσι τὸν πόλεμον σπεισάμενοι Τηλέφῳ,
σὺν τούτῳ κλαύσαντες πικρῶς τὴν συμφορὰν ἐκείνου.
Ὡς δὲ, μετὰ τὸν πόλεμον τοῦτον τὸν τοῦ Τηλέφου,
μόλις νικήσαντες Μυσοὺς, ὡς εἶπον ἀνωτέρω,
πρὸς τὰς σκηνὰς τὰς ἑαυτῶν οἱ Ἕλληνες κατῆλθον,
λύκοι ποθὲν ἐρχόμενοι πρὸς τὰς σκηνὰς Ἑλλήνων
ἐκ μέσου πάντων ἥρπαζον ἀνθρώπους τε καὶ κτήνη.
Ὁ Ὀδυσσεὺς ἐρίζων δὲ τάχα τῷ Παλαμήδει,
καὶ θέλων ὄφελος ποιεῖν ὡς ὁ σοφὸς ἐκεῖνος,
λαβὼν τοξότας περισσοὺς ἐχώρει πρὸς τὰ ὄρη,
ὡς ἂν τοξεύων φθάρειε τὸ γένος τὸ τῶν λύκων·
ὁ Παλαμήδης δὲ σοφὸς ἐν ἅπασιν ὑπάρχων,
καὶ τὴν τοσαύτην πρὸς αὐτοὺς λύκων ἀναισχυντίαν,
σημεῖον εἶναι λοιμικῆς καλῶς ὑπονοήσας,
γελῶν ἐλάλει πρὸς αὐτὸν τότε τὸν Ὀδυσσέα·

τί μετὰ τόξων, Ὀδυσσεῦ, σφάττειν τοὺς λύκους θέλεις;
οὐκ εἰς τὸν ἅπαντα καιρὸν ἐν ὄρεσιν οἱ λύκοι;
εἶδες αὐτοὺς ἀναίσχυντα τρέχοντας εἰς ἀνθρώπους·
τί ματαιάζεις, ἄνθρωπε, μετὰ τῶν τοξοτῶν σου;
νόσημα μέγα λοιμικὸν ἄρτι γενέσθαι μέλλει·
ἂν καταλείψῃς τοιγαροῦν τόξα καὶ τοὺς τοξότας,
ἂν παρεάσῃς καὶ αὐτὴν νῦν τῶν κρεῶν τὴν βρῶσιν,
καὶ τρώγειν ἄρξῃ λάχανα, πεισθεὶς ἐμοῦ τοῖς λόγοις,
φλεβοτομίαις χρήσῃ δὲ καὶ πλέοις ἐν θαλάσσῃ,
φανήσῃ φρονιμώτερος καὶ λύκους ἀναιρήσεις,
τὴν λοιμικὴν τὴν μέλλουσαν ἄρτι γενέσθαι νόσον.
Οὕτως εἰπόντος τοῦ ἀνδρὸς, πάντες ἐποίουν οὕτως·
καὶ πανταχοῦ μετὰ μικρὸν τῆς νόσου γενομένης,
ἄνοσον πᾶν τὸ στράτευμα διέβη τῶν Ἑλλήνων,
καὶ ὡς θεὸν οἱ σύμπαντες εἶχον τὸν Παλαμήδην.
Ὁ Ὀδυσσεὺς δὲ τὸν θυμὸν αὔξων καὶ τὴν κακίαν,
ἀεὶ τὸν θάνατον αὐτοῦ παντοίως ἐμελέτα,
καὶ δὴ καὶ κατεσκεύασεν αὐτὸν ἀναιρεθῆναι.
Ὡς γὰρ μετὰ τὸν πόλεμον τὸν πρῶτον τῆς Μυσίας
σὺν Ἀχιλεῖ τὸ δεύτερον ἐπόρθει τὰ τῶν Τρώων,
ὁ Παλαμήδης ὁ σοφὸς, ὁ στρατηγὸς ὁ μέγας,
καὶ πόλεις ἐξεπόρθησεν εἴκοσι τρεῖς, ὡς εἶπον·
σκυλμὸς δὲ γέγονε πολὺς διὰ τὸν Ἀχιλέα,
ὅτι τὴν κόρην ἔλαβε δίχα βουλῆς ἁπάντων·
ὁ δολερὸς ὡς ἐφευρὼν ὅν περ καιρὸν ἐπόθει,
τοὺς βασιλεῖς ἐκίνησεν εἰς φόνον Παλαμήδους,
θανάτου τοῦτον ἄξιον τὸν ἄνθρωπον δεικνύων·
σὺν Ἀχιλεῖ γὰρ ἔλεγε θηρᾶν τὴν βασιλείαν.
Ὡς δ' εἶπον τότε πρὸς αὐτὸν οἱ βασιλεῖς Ἑλλήνων,
καὶ πῶς εὐκόλως γένοιτο φονεῦσαι Παλαμήδην,
τὸν Ἀχιλλέα συνεργὸν καὶ φίλον κεκτημένον,

τοὺς ἀμφοτέρους Αἴαντας, τὸν Νέστορα τὸν μέγαν,
τὸν Ἀθηναίων στρατηγὸν σὺν τούτοις Μενεσθέα,
τοῖς ἅπασι ποθούμενον Ἑλλήνων στρατηλάταις,
οὗτος ὁ δόλιος ἀνὴρ ὡς πρὸς αὐτοὺς εἰρήκει·
ἐγὼ φροντίσω μηχαναῖς, αἷς περ αὐτὸν κρατήσω.
Καὶ δὴ τινὰ κρατήσαντες ἄνθρωπον ἐκ τῶν Τρώων,
τῷ Σαρπηδόνι χρήματα κομίζοντα πρὸς Τροίαν,
πείθουσι γράψαι Τρωϊκὰ γράμματα πρὸς χαρτίον,
ὡς ἐκ Πριάμου πρὸς αὐτὸν τάχα τὸν Παλαμήδην·
καὶ δὴ τὸν ἄνθρωπον αὐτὸν ἀπέσφαξαν εὐθέως,
ὀμόσαντες ἐλεύθερον ἂν γράψῃ καταλείψειν·
τὰ χρήματα δ' ἀφείλοντο καὶ χάρτην τὸν γραφέντα·
καὶ τὸν μὲν χάρτην πρὸς τινὰ δοῦλον τοῦ Παλαμήδους,
ἐν τῷ στρατῷ φυλάττοντα σκηνὰς τὰς Παλαμήδους,
ἐκείνου διατρίβοντος ἔτι περὶ τὴν Λέσβον,
δεδώκασι καὶ χρήματα βραχύτατα εἰπόντες·
ἂν θήσεις τοῦτον εἰς αὐτὴν κλίνην τοῦ Παλαμήδους,
ἄλλα σοὶ δῶρα δώσομεν πλείονα τῶν δοθέντων·
τὰ δ' ἄλλα πάντα χρήματα λαμβάνουσιν ἐκεῖνοι.
Καὶ δοῦλος μὲν ὁ δόλιος οὗτος τοῦ Παλαμήδους
ὑπὸ τὴν κλίνην ἔθετο τοῦ δόλου τὸ χαρτίον,
αὐτοὶ δὲ συντομώτατα πέμπουσι πρὸς τὴν Λέσβον·
κατὰ μὲν τὸ φαινόμενον καὶ τὸ δοκοῦν τοῖς πᾶσιν,
ἐπὶ ποιήσει μηχανῶν καλοῦντες Παλαμήδην,
κατὰ δὲ τὴν ἀλήθειαν χωρίζοντες τῶν φίλων,
ὅπως ἂν ἀβοήθητον φονεύσωσιν ἐκεῖνον·
οὕτως ἐχώρισαν αὐτὸν ἐξ Ἀχιλέως τότε.
Οὗτος ἐλθὼν πρὸς στράτευμα καὶ πρὸς τὴν γερουσίαν,
τάξει καὶ κοσμιότητι λέγει τοῖς βασιλεῦσιν.
Ὦ στρατηγοὶ καὶ βασιλεῖς, τί μηχανὰς ζητεῖτε;
ἔχετε ζώσας μηχανάς, τοὺς Αἴαντας τοὺς δύο,

οἵ περ πορθεῖν ἐπίστανται πόλεις τῶν πολεμίων·
εἰ δέ γε χρείαν ἔχετε καὶ μηχανῶν ἀψύχων,
ἅς περ αἱ χεῖρες αἱ ἐμαὶ δημιουργοῦσι τέχναις,
ἕτοιμον ἔχετε πεσεῖν ὡς πρὸς τὴν γῆν τὴν Τροίαν.
Τοιαῦτα μὲν ὁ πάσοφος εἶπεν ἀνὴρ ἐκεῖνος·
τοῦ φθόνου καὶ τοῦ φόνου δὲ τὸ ὄργανον τὸ μέγα
λόγον ἐκ λόγου συγκινῶν εἰς ὕβρεις ἐξετράπη,
καὶ τοῦ στρατεύματος αὐτὸν προδότην ἀπεκάλει.
Ὡς δ' ἐκ τῆς κλίνης ἤγαγον καὶ τὸν πλαστὸν τὸν χάρτην,
λίθοις ὡς κύνα τὸν σοφὸν ἀνεῖλον Παλαμήδην,
Ζακύνθιοι λιθάζοντες μόνοι καὶ Μυκηναῖοι,
τοῦτο μόνον τὸ λόγιον κτεινόμενον εἰπόντα·
χαῖρε ἀλήθεια κλεινή, προετεθνήκεις γάρ μου.
Οὕτως ἀδίκως τοῦ σοφοῦ θανόντος Παλαμήδους,
ἅπας Ἑλλήνων ὁ στρατὸς ἐδάκρυε κρυφίως,
τοῦ βασιλέως τὴν ὀργὴν πτοούμενος μεγάλως·
οὐ παρεχώρει θάπτειν γάρ, ἀλλ' οὐδὲ κλαίειν τοῦτον·
κηρύξας τὸν τολμήσαντα θάπτειν τὸν Παλαμήδην,
γενέσθαι νέκυν ἄθαπτον, καὶ βρῶμα τῶν θηρίων.
Αἴας δ' ὁ μέγας ἐκμαθὼν τὴν συμφορὰν ἐκείνην,
λεοντικὸν καὶ βρύχιον στενάξας ἐκ καρδίας,
χωρεῖ πρὸς τοὺς λιθάζοντας ἔνοπλος ξιφηφόρος,
καὶ τούτους μὲν ἐσκόρπισεν ἅπαντας διασπείρας,
αὐτὸς δὲ κόμην σύῤῥιζον ἐξαναςπῶν ἰδίαν,
καὶ γενειάδος τρίχωσιν, τὸ πρόσωπον ἐκξέων,
πίπτει πρὸς γῆν εἰς τὸν νεκρὸν περιλαβὼν ἐκεῖνον,
καὶ κατηφῆ τὸν ἥλιον τοῖς δάκρυσι ποιήσας,
πηλοποιήσας καὶ τὴν γῆν ἐκ τῶν πολλῶν δακρύων,
ἀναλαβόμενος αὐτὸν κοσμεῖ τοῖς ἐνταφίοις·
καὶ θάπτει πρὸς Λεπέτυμνον, ὄρος ὃν τῆς Μηθύμνης·
οἵας δ' ἐφεῦρον Ἕλληνες συμφορὰς ἐκ Ναυπλίου,

ὃς Παλαμήδους ἦν πατὴρ, μακρὰ δοκεῖ μοι γράφειν.
Ὁ δ' Ἀχιλεὺς ὡς ἔμαθε τὸν φόνον Παλαμήδους,
διὰ τὴν Ἱπποδάμειαν Βρισέως θυγατέρα,
τὸν Παλαμήδην μὲν αὐτὸς περιπαθῶς ἐθρήνει,
τὴν κόρην δὲ τοῖς Ἕλλησιν ἀπέπεμψεν εὐθέως,
καὶ ὀργισθεὶς ἐπαύσατο συμπολεμεῖν ἐκείνοις,
καὶ λοιμικὴ δὲ γέγονεν εἰς τὸν στρατὸν Ἑλλήνων·
ὁ Παλαμήδης γὰρ οὐκ ἦν προλέγειν θεραπείας.
Ἄλλοι μετὰ τὸν θάνατον φασὶ τοῦ Παλαμήδους
εἰς τὸ κοινὸν οἱ Ἕλληνες ἔλαβον καὶ τὴν κόρην,
τοῦ Ἀχιλέως ἄκοντος, οὐ θελουσίᾳ γνώμῃ,
καὶ τοῦτον εἶναι στρατηγὸν ἀπέπαυσαν Ἑλλήνων,
ὅθεν ὀργίζετο σφοδρῶς τοῖς Ἕλλησιν ὁ ἥρως.
Ὡς ἔμαθον οἱ Τρῶες δὲ τὴν μῆνιν Ἀχιλέως
καὶ λοιμικὴν δαμάζουσαν τοὺς Ἕλληνας ἀμέτρως,
θαῤῥήσαντες ἀνέῳξαν τὰς πύλας τὰς τῆς Τροίας,
καὶ πολεμεῖν ἀπήρξαντο τοῖς Ἕλλησι γενναίως.
Ὁ δ' Ὅμηρος, δεινότατος ὑπάρχων λογογράφος,
τὰ μέχρι τούτου σύμπαντα πανσόφως παρατρέχει,
καὶ Παλαμήδην οὐδαμῶς ἔγραψε τῇ ποιήσῃ,
ἵνα τὸν Ἀχιλέα μὲν ἐπίορκον μὴ δείξῃ,
τὸ κράτιστον κεφάλαιον αὐτοῦ τῶν ἐγκωμίων
διὰ γυναῖκα ποδαπὴν τοὺς ὅρκους παραβάντα,
καὶ πάντας δὲ τοὺς ἥρωας, μᾶλλον τὸν Ὀδυσσέα,
ὅπως μὴ δείξῃ μυσαροὺς ἀνθρώπους ἀνοσίους,
ἄνδρα τοιοῦτον κτείναντας, ἰσόθεον τοῖς τρόποις·
ὅθεν οὐδὲ τὴν πόρθησιν τῆς Τροίας ἀφηγεῖται,
σιγᾷ δὲ, μέχρι τῆς σφαγῆς Ἕκτορος ῥαψωδήσας·
τὴν πόρθησιν τῆς Τροίας δὲ παρέδραμε πανσόφως,
πρὸ γὰρ αὐτῆς ὁ Ἀχιλεὺς γυναικωδῶς ἐσφάγη.
Οὕτω πανσόφως καὶ δεινῶς ῥητορικῷ τῷ τρόπῳ,

πρὸς μὲν τὸ τέλος εἴασε τὴν πόρθησιν τῆς Τροίας·
ἐκ τῆς ἀρχῆς δὲ μέχρι νῦν τοῦ χρόνου τοῦ δεκάτου,
τὰ πάντα παρετρόχασε δεινὸς ὢν λογογράφος.
"Αρχεται δ' ἐκ τῆς μήνιδος δεινότητος μεθόδῳ,
γράφων αὐτὴν ὡς βούλεται, καὶ γράφει γεγονέναι
διὰ γυναῖκας, καὶ αὐτὸς λέγων αὐτὴν γενέσθαι,
τὴν Χρυσηΐδα τὲ ὁμοῦ λέγων καὶ Βρισηΐδα,
τὰς ἅς περ εἶπον καὶ αὐτὸς γυναῖκας ἀνωτέρω·
πλὴν παρεκκλίνει τὸν εἱρμὸν πρὸς τοῦτο τὸ συμφέρον·
λέγων γὰρ ταύτας ἐκ Θηβῶν εἶναι δορυαλώτους,
καὶ δι' αὐτὰς καὶ τὴν ὀργὴν γενέσθαι 'Αχιλέως,
ὥς περ καὶ πᾶς ἱστορικὸς συγγράψει περὶ τούτων,
οὐχ ὥς περ εἴπομεν ἡμεῖς ἐκ τῶν συγγραψαμένων·
λέγει καὶ οὗτος τὴν ὀργὴν διὰ τὴν Βρισηΐδα,
μᾶλλον τῇ Χρυσηΐδι δὲ προσάπτει τὴν αἰτίαν.
'Ανερωτῶν τὴν μοῦσαν γὰρ, τὴν γνῶσιν τὴν οἰκείαν,
δι' ἣν αἰτίαν γέγονεν ἡ μῆνις 'Αχιλέως,
καὶ συμφορὰς ἐπήγαγε τοῖς "Ελλησι μυρίας,
παράγει ταύτην λέγουσαν ὡς ἀποκρινομένην,
ὡς ἐκ Θηβῶν ἐκράτησαν τάχα γυναῖκας δύο,
τὴν Χρυσηΐδα τὲ αὐτὴν καί γε τὴν Βρισηΐδα·
καὶ Βρισηΐδα δωρεὰν τῷ 'Αχιλεῖ παρέσχον,
τὴν Χρυσηΐδα δὲ αὐτὴν ἔλαβεν 'Αγαμέμνων,
παῖδα Χρύσου τυγχάνουσαν, Χρύσου τοῦ ἱερέως.
"Οστις περ Χρύσης ἱερεὺς 'Απόλλωνος ὑπάρχων,
λαβὼν τὸ στέφος τοῦ θεοῦ, θάφνινον ὑπηργμένον,
καὶ τὸ χρυσοῦν τὸ μαντικὸν σκῆπτρον μετὰ καὶ δώρων,
ἦλθεν ἐξωνησόμενος αὐτοῦ τὴν θυγατέρα.
Τοῦ 'Αγαμέμνονος δ' αὐτὸν διώξαντος ὀργίλως,
ηὔξατο τῷ 'Απόλλωνι ὁ Χρύσης καθ' Ἑλλήνων·
ὁ δὲ λοιμὸν βαρύτατον "Ελλησιν ἐπιπέμπει

τῇ λοιμικῇ δὲ τοῦ στρατοῦ παντὸς συμφθειρομένου,
τοῦ Ἀγαμέμνονος αὐτοῦ ὁ Ἀχιλεὺς ἐδεῖτο,
τὴν Χρυσηΐδα τῷ πατρὶ Χρύσῃ πεμφθῆναι τότε,
ὡς μὴ φθαρῇ τὸ στράτευμα νόσῳ τῇ βαρυτάτῃ.
Ὁ δ' Ἀγαμέμνων ὀργισθεὶς, τὴν Χρυσηΐδα πέμπει
μετὰ στεφάνων καὶ τιμῆς πρὸς τὸν αὐτῆς πατέρα·
αὐτὸς δὲ τὸν Ταλθύβιον πέμψας καὶ Εὐρυβάτην,
τὴν Ἀχιλέως ἔλαβε γυναῖκα Βρισηΐδα·
ὅθεν ὁ ἥρως Ἀχιλεὺς τοῖς Ἕλλησιν ὠργίσθη,
καὶ παντελῶς ἀπέπαυσε τῆς μάχης καὶ πολέμου·
οἱ Τρῶες δὲ θαῤῥήσαντες ἀνέῳξαν τὰς πύλας·
τὰ δὲ λοιπὰ συνᾴδουσιν Ὁμήρου καὶ τῶν ἄλλων.
Καὶ τοῦ Ὁμήρου μὲν ἐστὶν ἡ πρώτη ῥαψῳδία
τὴν μῆνιν περιέχουσα ταύτην τοῦ Ἀχιλέως.
Ἐγὼ δ' οὐκ οἶδα τὸν σκοπὸν τῶν σῶν ἐνθυμημάτων,
εἴ τε συντόμως παντελῶς βούλει με ταῦτα γράφειν,
εἴ τε πρὸς πλάτος μερικῶς κεφαλαιωδεστέρως
τοῦ ἄλφα καὶ τοῦ βῆτα σοι καὶ τῶν λοιπῶν γραμμάτων,
τὰς ὑποθέσεις γράφειν με τὰς ἀναγκαιοτέρας,
τὸ τὶς καὶ τὶς, παρά τινος καὶ τίνος ἐφονεύθη,
καὶ μερικῶς ἀλληγορεῖν ὀλίγα τῶν χρησίμων,
ταχέως δηλωθήτω μοι, διαπορῶ γὰρ πάνυ.

## ῾ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΑΛΦΑ ῾ΟΜΗΡΟΥ ῾ΡΑΨΩΔΙΑΣ.

Τῆς ἄλφα ἡ ὑπόθεσις Ὁμήρȣ ῥαψῳδίας,
ἵνα πρὸς σὴν ὠφέλειαν πάλιν ἐπαναλάβω,
τάδε δηλοῖ κατὰ λεπτὸν, ἅπερ ἐνθάδε φράσω·
Ὁ Ὅμηρος ὁ πάνσοφος τὴν γνῶσιν τὴν οἰκείαν,
ὡς Καλλιόπην, ὡς θεὰν, ὡς μȣ̃σαν παρεισάγων,
ἀνερωτᾷ τὸ αἴτιον ὀργῆς τῆς Ἀχιλέως,
ἀφ' οὗ πρὸς Ἀγαμέμνονα διήχθρευσεν ἐρίσας·
ἡ δὲ φησὶν, ὡς πρὸς αὐτὸν, δῆθεν τὸ πᾶν βιβλίον,
οὕτως ἐντεῦθεν τὴν ἀρχὴν τȣ̃ λόγȣ ποιουμένη.
Ὁ τῆς Λητȣ̃ς καὶ τȣ̃ Διὸς ἥλιος παῖς Ἀπόλλων
τῆς ἔχθρας καὶ τῆς μήνιδος αἴτιος ἐγεγόνει·
ὁ Χρύσης ἦν γὰρ ἱερεὺς Ἀπόλλωνος ἡλίȣ,
ἤγουν σοφὸς, καὶ ἐπῳδὸς, ἀϛρονομῶν καὶ μάγος,
ἐκ τοῦ ἡλίȣ σύμπαντα ποιῶν καὶ σὺν ἡλίῳ·
οὗτος τὸ ϛέφος τοῦ θεȣ̃ τὸ δάφνινον κατέχων,
καὶ σκῆπτρον τούτȣ τὸ χρυσȣ̃ν, καὶ περισσὰ δὲ δῶρα,
ἦλθεν ἐξωνησόμενος αὐτȣ̃ τὴν θυγατέρα·
οἷον, ἵνα σαφέϛερον τὸ πᾶν σοι διαρθρώσω,
ὁ Χρύσης, ὅν περ εἴπομεν μάγον καὶ ἀϛρολόγον,
ἐϛολισμένος μαγικῶς, καὶ μαντικῶς, εἰσῆλθε
χερσὶ κατέχων ϛέφανον Ἀπόλλωνος ἡλίȣ,
τουτέϛιν εὐωδέϛατον θάλλοντα κλάδον δάφνης,
ἣν περιτρέχων ἥλιος τὸν κύκλον τὸν τȣ̃ χρόνȣ
θάλλȣσαν δέδορκεν ἀεὶ, μὴ χέȣσαν τὰ φύλλα·
καὶ σὺν αὐτῷ κατεῖχε δὲ καὶ τὸ χρυσȣ̃ν τὸ σκῆπτρον,
τιμίαν ῥάβδον μαντικὴν, χρυσὴ γὰρ οὐχ ὑπῆρχεν,
ἀλλὰ ξυλίνη καὶ κυρτὴ, χρήσιμος δὲ μαντείαις.

Κατὰ τῆς γῆς γὰρ χέοντες τέφραν ἐκ τῆς ἑστίας,
τῇ ῥάβδῳ ταύτῃ τεχνικῶς ἔγραφον τὰς μαντείας,
βλέποντες πρὸς τὸν ἥλιον καὶ λέγοντες τὸ μέλλον·
ταύτην τὴν ῥάβδον Πλούταρχος λίτυον ὀνομάζει,
λίτουους δὲ Κοκκειανὸς Κάσσιος Δίων λέγει.
Οὕτως ὁ Χρύσης μαντικῶς ἐστολισμένος ἦλθε
σὺν δώροις ὠνησόμενος αὐτοῦ τὴν θυγατέρα·
ὡς δ' Ἀγαμέμνων μετ' ὀργῆς ἐξήλασεν ἐκεῖνον,
ηὔξατο τῷ Ἀπόλλωνι ὁ Χρύσης καθ' Ἑλλήνων,
ἤγουν ἐπηύξατο σφοδρὸν τὸν ἥλιον γενέσθαι·
ὁ δὲ σφοδρὸς γενόμενος μετὰ πολλοὺς τοὺς ὄμβρους,
εἰς στράτευμα πολυπληθὲς πύκνωμα σκηνωμάτων,
ἀτμοὺς δυσώδεις ἀνιμῶν καὶ κόπρων καὶ πτωμάτων,
μιάνας, δυσκρατώσας δὲ σύμπαντα τὸν ἀέρα,
ὡς συνεργοῦντος καὶ αὐτοῦ ταῖς μαγικαῖς ταῖς τέχναις,
λοιμοὺς ἐπήγαγε δεινοὺς, φθείρας ἀνθρώπους, κτήνη.
Καὶ πρῶτον μὲν ἀπήρξατο τὰ κτήνη διαφθείρειν,
ὡς κεκυφότα πρὸς τὴν γῆν, ἧς ὁ λοιμὸς ἐκτρέχει,
καὶ ὡς εὐοσφραντότερα κατὰ πολὺ ἀνθρώπων·
μετὰ μικρὸν δ' ἀπήρξατο κτείνειν καὶ τοὺς ἀνθρώπους.
Ἐννέα μὲν ἐκράτησε τὸ νόσημα ἡμέραις,
καὶ τῶν νεκρῶν ἁπανταχοῦ συνήχοντο σωρεῖαι·
δεκάτῃ δὲ συνέδριον ὁ Ἀχιλεὺς ποιήσας,
ἠρώτα τί τὸ αἴτιον τῆς νόσου τῆς λοιμώδους.
Ὁ Κάλχας δ' ὁ τοῦ Θέστορος υἱὸς καὶ Πολυμήλας,
οἶδα μὲν, εἶπεν, Ἀχιλλεῦ, τῆς νόσου τὴν αἰτίαν,
τὸν βασιλέα φρίττω δὲ, τούτου γὰρ ἡ αἰτία·
τοῦ δὲ θαρρύναντος αὐτὸν, ἄρχεται λέγειν οὕτω.
Τὸ λοιμικὸν ἐνέσκηψε νόσημα στρατοπέδῳ,
ἀνθ' ὧν ἀτίμως ἤλασε τὸν Χρύσην Ἀγαμέμνων,
ἄνθρωπον μάγον καὶ δεινὸν εἰς τὸ μεγάλα βλέπειν,

ἐλθόντα πρὸς ἐξώνησιν παιδὸς τῆς Χρυσηΐδος·
οὗτος γὰρ ἄκρως λυπηθεὶς ἐν μαγικαῖς ταῖς τέχναις,
εὑρὼν καὶ τὴν ἐκφλόγωσιν ἡλίου συνεργοῦσαν,
ἐπήγαγε τὸ νόσημα καὶ παῦσις οὐκ ἐσεῖται
πρὶν ἂν ἀποκομίσαιμεν αὐτῷ τὴν θυγατέρα,
μετὰ καὶ δώρων καὶ τιμῆς αὐτὸν ἐξιλεοῦντες·
καὶ τότε τρέψει τὸν λοιμὸν ἐν ἐπῳδαῖς ἑτέραις.
Οὕτω τοῦ τότε Κάλχαντος εἰπόντος τὴν αἰτίαν,
ὁ Ἀγαμέμνων μετ' ὀργῆς ὁ βασιλεὺς ἀνέστη·
καὶ πέμπων πῦρ ἐξ ὀφθαλμῶν κακολογεῖ τὸν μάντιν·
ὁ δ' Ἀχιλεὺς ὑπερμαχῶν τοῦ μάντεως ἀνέστη,
καὶ πρὸς τὸν Ἀγαμέμνονα φησὶ τὸν βασιλέα·
πέμψον τὴν κόρην, βασιλεῦ, τὴν Χρύσου θυγατέρα
ὑπὲρ παντός σου τοῦ στρατοῦ καὶ τούτου σωτηρίας·
ἡμεῖς δ' ἄν περ πορθήσωμεν τὴν Τρωϊκὴν τὴν πόλιν,
διπλᾶ, τριπλᾶ σοι, τετραπλᾶ δώσομεν ὑπὲρ ταύτης·
ὁ δὲ φησὶ καὶ πρὸς αὐτὸν οὕτω τὸν βασιλέα·
ἐγὼ μὲν ἕτοιμος εἰμὶ τὴν Χρυσηΐδα πέμπειν,
τὴν Βρισηΐδα δὲ τὴν σὴν αἰχμάλωτον λαμβάνω.
Τούτων ἀκούσας Ἀχιλεὺς τῶν λόγων ἐθυμώθη,
διπλᾶ δὲ λογιζόμενος ὑπῆρχε τῇ καρδίᾳ,
ἢ ξίφος ἑλκυσάμενος κτεῖναι τὸν βασιλέα,
ἢ καταπαῦσαι τὴν ὀργὴν, ὥς περ ἀνὴρ ἐχέφρων·
ἐν τούτοις ὄντος τοῦ ἀνδρὸς τοῖς λογισμοῖς, ὡς ἔφην,
ἤγουν ὀργῆς καὶ λογισμοῦ μέσον καθεστηκότος,
καὶ τῆς ὀργῆς ὡς πρὸς σφαγὰς τὸν ἥρωα κινούσης,
τοῦ λογισμοῦ δὲ θέλοντος παύειν θυμοῦ τὸ ζέον,
παρὰ τῆς Ἥρας Ἀθηνᾶ ἐξ οὐρανοῦ ἐπέμφθη,
ἐκ τῆς ψυχῆς ἡ φρόνησις, ἐκ κεφαλῆς, ἐλθοῦσα,
ἥ τις ἐστὶ σφαιροειδὴς εἰς οὐρανοῦ τὸ σχῆμα,
ἔπεισε τοῦτον παῦσαι μὲν τὸ ξίφος καθελκύειν,

λόγοις λοιδόροις δὲ πολλοῖς πλῦναι τὸν βασιλέα,
καὶ τέλος ἐξωμόσατο μὴ συμμαχεῖν ἐκείνῳ,
μηδὲ βοήθειαν τινὰ τοῖς Ἕλλησι παρέχειν·
ἐκ τοῦ ἑτέρου μέρους δὲ πάλιν τοῦ βασιλέως
ὀργιζομένου χαλεπῶς καὶ μηνιῶντος ἄγαν.
Ὁ Νέστωρ ὁ τῆς Χλώριδος υἱὸς καὶ τοῦ Νηλέως,
κατά τινας ἑτέρους δὲ Νηλέως, Πολυμήδης,
τριγέρων ὢν καὶ βασιλεὺς Πυλίων γλυκύλογος,
ὡς πρὸς συμβάσεις ἔσπευδε συναγαγεῖν τοὺς δύο,
τὸν βασιλέα παραινῶν ἱκετικοῖς ἐν λόγοις
καταλιπεῖν τῷ Ἀχιλεῖ κεκτεῖσθαι Βρισηΐδα,
πύργον τὸν ἄνδρα τοῦ στρατοῦ λέγων Ἑλλήνων εἶναι,
τὸν δ' Ἀχιλέα νουθετῶν παύειν τὰς αὐθαδείας,
τῷ βασιλεῖ δὲ μηδαμῶς ἐθέλειν ἀντερίζειν,
λέγων πρὸς τοῦτον· ὁ κρατῶν ἐκ τοῦ Διὸς τὸ σκῆπτρον,
οὐκ ἔστι σοι ὁμότιμος, ὦ Ἀχιλεῦ, οὐκ ἔστιν·
εἰ ῥωμαλέος ἔφυς δὲ, καὶ παῖς θεᾶς ὑπάρχεις,
τουτέστιν ἔχεις ἀρετὴν τὴν πρακτικὴν ἐν μάχαις,
ἀλλ' οὗτος κρείσσων σοι πολὺ, πολλῶν γὰρ βασιλεύει.
Οὕτω τοῦ Νέστορος αὐτοὺς ἄγοντος πρὸς συμβάσεις,
ἀσύμβατοι διέμειναν· ἐκστάντες δ' ἀπ' ἀλλήλων,
ἦλθεν αὐτῶν ἑκάτερος σκηνώμασιν ἰδίοις·
ὁ Ἀγαμέμνων μὲν εὐθὺς πέμπει τὴν Χρυσηΐδα
πρὸς τὸν πατέρα τὸν αὐτῆς σὺν δώροις καὶ θυσίαις,
τοῦ Ὀδυσσέως σὺν νηῒ κομίζοντος ἐκείνην,
αὐτὸς δὲ τὸν Ταλθύβιον καὶ Εὐρυβάτην πέμψας,
τοῦ Ἀχιλέως ἔλαβε δῶρον τὴν Βρισηΐδα.
Ὁ δ' Ἀχιλεὺς ὑπέραντλος γενόμενος ἐκ λύπης,
εὐθέως πάντων χωρισθεὶς τῶν φίλων τῶν οἰκείων,
ἐλθὼν παρὰ τὴν θάλασσαν ἐκάθητο δακρύων,
βλέπων ὡς πρὸς τὸ πέλαγος, καὶ τῇ μητρὶ προσλέγων,

τῇ τοῦ Νηρέως Θέτιδι δῆθεν τῇ Νηρηΐδι.
Μῆτερ, ἐπεί με ἔτεκες ὄντα τῶν βραχυχρόνων
ὁ Ζεὺς ὀφείλων μοι τιμὴν ὑπῆρχε διὰ τοῦτο·
νῦν δὲ καὶ βραχυχρόνιος καὶ ἄτιμος ὑπάρχω·
ὁ Ἀγαμέμνων γὰρ αὐτὸς ἔλαβε νὴν τιμήν μου,
τὴν κόρην τὴν αἰχμάλωτον, ἣν εἶχον, Βρισηΐδα.
Οὕτως αὐτοῦ δακρύοντος, ἀνέδραμεν ἡ Θέτις
ἐκ τῆς θαλάσσης τοῦ βυθοῦ καθαπερεὶ ὁμίχλη·
χειρί τε ὁμαλίσασα, ἠρώτα τὴν αἰτίαν·
ὁ δὲ τὰ σύμπαντα λεπτῶς ἐκείνῃ διηγεῖται,
μέχρι τῆς ἀφαιρέσεως τῆς κόρης Βρισηΐδος,
καὶ ἱκετεύει ἀνελθεῖν εἰς οὐρανὸν πρὸς Δία,
καὶ ἱκετεῦσαι βοηθὸν τοῖς Τρώεσι γενέσθαι,
τοὺς Ἕλληνας συγκλεῖσαι δὲ καὶ τρέπειν πρὸς τὰ πλοῖα,
φονευομένους ὑπ' αὐτῶν τῶν Τρώων ἐν τῇ μάχῃ,
εἴ ποτε Δία ἔσωσε μέλλοντα δεσμηθῆναι
ἐκ Ποσειδῶνος, Ἀθηνᾶς, καὶ σὺν αὐτοῖς ἐξ Ἥρας.
Ἡ Θέτις δ' εἶπε πρὸς αὐτὸν πάλιν τὸν Ἀχιλέα·
ὁ Ζεὺς περὶ Αἰθίοπας νῦν πότοις δεξιοῦται,
μετὰ δ' ἡμέρας δώδεκα ἐλεύσεται Ὀλύμπῳ·
κἀγὼ δὲ τότε πρὸς αὐτὸν εἰς Ὄλυμπον ἀνέλθω,
καὶ παρακλήσεσιν αὐτὸν δοκεῖ μοι καταπείσω·
τοιαῦτα μὲν ὑπέσχετο τῷ Ἀχιλεῖ ἡ Θέτις.
Καὶ δὴ Διὸς εἰς Ὄλυμπον ἐλθόντος δωδεκάτῃ,
καὶ σὺν αὐτῷ καὶ τῶν θεῶν ἀνῆλθε καὶ ἡ Θέτις,
καὶ τῇ σκαιᾷ μὲν ἥψατο γονάτων τῶν ἐκείνου,
τῇ δεξιᾷ γενείου δὲ τοῦ καὶ ἀνθερεῶνος,
παρακαλοῦσα τὸν υἱὸν τιμῆσαι Ἀχιλέα·
οὗτος δ' ἐσίγα μὴ λαλῶν τῇ Θέτιδι μηδόλως,
ὡς δ' ἠνωχλεῖτο, στεναγμὸν ἐξέπεμψεν ἐκ βάθους,
ἐκείνην προτρεψάμενος πάλιν ἀποδημῆσαι,

τῇ κεφαλῇ δ' ἐπένευσεν ἐκείνῃ βοηθῆσαι.
Καὶ ἡ μὲν Θέτις πρὸς αὐτὴν τὴν θάλασσαν κατῆλθεν,
ὁ Ζεὺς δὲ πρὸς τὸν ἴδιον οἶκον εἰσῆλθε τότε·
πάντες δ' ἀνέστησαν θεοὶ ἐκ τῶν καθιδρυμάτων·
ἡ δ' Ἥρα δ' ὀργιλώτερον πρὸς Δία διετέθη,
ὅτι συνδιελέγετο Θέτιδι τῇ Νηρέως·
τούτου δὲ τὸ ἐμβρίμημα μεγάλως πτοηθεῖσα,
ἐκάθισε περίφοβος ἀμέτρως λυπουμένη,
καὶ πάντες ἀνεστέναξαν θεοὶ οἱ οὐρανίδαι.
Ὁ παντεργάτης δ' Ἥφαιστος παρηγορῶν τὴν Ἥραν,
διπλοειδὲς ποτήριον ἐδίδου συγκεράσας,
καὶ πρὸς αὐτὴν ἃ πέπονθεν ἐκ τοῦ Διὸς ἐλάλει·
εἰπὼν πῶς ἔρριψεν αὐτὸν ἐξ οὐρανοῦ εἰς Λῆμνον,
καὶ πῶς αὐτὸν οἱ Σίντιες ἀνέλαβον πεσόντα.
Οὕτως Ἡφαίστου λέγοντος ἐγέλασεν ἡ Ἥρα,
καὶ τὸν ποτῆρα δέχεται χειρὸς ἐξ Ἡφαιστείας,
ὁ δὲ καὶ πᾶσι τοῖς θεοῖς ἐκίρνα κατ' ἀξίαν·
οἱ καὶ πολὺν διήγειραν δι' Ἥφαιστον τὸν γέλων.
Οὕτω πανημερίως μὲν ἐδαίνυντο τῷ τότε,
τέρποντος τοῦ Ἀπόλλωνος ἐκείνους τῇ κιθάρᾳ,
καὶ τῶν μουσῶν τραγῳδουσῶν φωναῖς ἐν γλυκυτάταις.
Ἑσπέρᾳ δ' ἕκαστος αὐτῶν ἦλθε πρὸς τὴν οἰκίαν,
ἥν περ ἑκάστῳ Ἥφαιστος ἐποίησεν ἐντέχνως·
Ζεὺς δ' ὁ ποιῶν τὰς ἀστραπὰς ἦλθεν αὐτοῦ τῇ κοίτῃ·
ἔνθα πεσὼν ἀφύπνωσε μικρὸν μετὰ τῆς Ἥρας.
Ταῦτα μὲν εἶπον μυθικῶς ὡς κεῖνται τῷ κειμένῳ,
τὸ δ' ἀληθὲς νῦν μάνθανε καὶ τὴν ἀλληγορίαν.
Ὁ Ἀχιλεὺς, ὡς εἶπον πρὶν, υἱὸς ἦν τοῦ Πηλέως,
καὶ Θέτιδος, τῆς θυγατρὸς Χείρωνος φιλοσόφου·
ὃς Χείρων ὁ φιλόσοφος πάππος τοῦ Ἀχιλέως
ἐκ λεκανομαντείας τε καὶ σκέψεως ἀστέρων,

τὰ μέλλοντα συμβήσεσθαι τῷ Ἀχιλεῖ προεῖπε·
καὶ Θέτις μὲν ἡ Χείρωνος μήτηρ τοῦ Ἀχιλέως,
καὶ Θέτις δὲ ἡ θάλασσα τοῦ Ἀχιλέως μήτηρ,
διὰ τὸ ἄγριον αὐτοῦ καὶ θυμικὸν καλεῖται,
καὶ ὅτι τὸ γενέθλιον ἔχων ἐν ὑδροχόῳ,
ἐν ταῖς παρύγροις μάχαις τε καὶ ταῖς διαποντίοις,
καὶ τοῖς χειμῶνος δὲ καιροῖς μεγάλως συνηργεῖτο·
καὶ ὅτι ἐκ τοῦ ὕδατος καὶ λεκανομαντείας,
ὡς ἐκ μητρὸς ἐμάνθανε τὰ μέλλοντα γενέσθαι,
καὶ ὅτι μετὰ θάνατον αὐτοῦ τοῦ Ἀχιλέως,
νεκροῦ τοῦ τούτου σώματος εἰσέτι προκειμένου,
ἡ θάλασσα ταράξασα κῦμα φρικτὸν καὶ μέγα,
ἐξῆλθε μέχρι τοῦ νεκροῦ περὶ Σιγείου τόπον,
ὡς πᾶν τὸ στράτευμα φυγεῖν κατακλυσμὸν δοκοῦντας·
ἡ δὲ θρηνῶδες γοερὸν ὥς περ ἐκμυκωμένη,
πάλιν εἰς κοίτην τὴν αὐτῆς εὐθέως ὑπεστράφη.
ὅπερ καὶ θρῆνον Θέτιδος φασὶ καὶ Νηρηΐδων,
καὶ ὅτι κατὰ Ὅμηρον πρῶτον στοιχεῖον ὕδωρ,
ἐκ τούτου δὲ καὶ τὰ λοιπὰ γενέθλια στοιχεῖα.
Κατὰ τοσούτους λέγεται ἡ θάλασσα τοὺς τρόπους
μήτηρ εἶναι τοῦ ἥρωος ἐκείνου Ἀχιλέως.
Ὡς οὖν ἐξ Ἀγαμέμνονος τὴν κόρην ἀφηρέθη,
ἔνδακρυς πρὸς γενέθλιον ὕδωρ θαλάσσης βλέπων,
αὐτὸς ἐλάλει πρὸς αὐτόν· Ποῦ μοι τὰ τῆς μαντείας,
ἅ περ ὁ Χείρων ἔλεγεν ὁ πάππος μοι γενέσθαι
ἐκ τῆς παρ' ὕδωρ μαντικῆς καὶ λεκανομαντείας;
ἰδοὺ καὶ βραχυχρόνιος καὶ ἄτιμος ὑπάρχω·
ὁ Ἀγαμέμνων γὰρ λαβὼν ἔχει τὴν Βρησηΐδα·
ποῦ τοῦ Διός μοι ἡ τιμὴ, ἤ τοι τῆς εἱμαρμένης;
Τῆς ὁμιχλώδους Θέτιδος τὰς ἀνελεύσεις μάθε·
περίλυπος καὶ ἔνδακρυς καθήμενος ὁ ἥρως,

καὶ ταῦτα λογιζόμενος περὶ αὐτοῦ φρονίμως
ἀναθυμίασιν ὁρᾷ θαλάσσης ὁμιχλώδη,
περὶ ὀρῶν τοὺς πρόποδας, προλέγουσαν χειμῶνα,
ὅ περ ὁμάλισις ἐστὶ χειρὸς πρακτικωτάτης,
καὶ μήτηρ τούτου ὁ χειμών· λυσιτελῶν ἐκείνῳ·
ἡ γὰρ ἡμέρα πέφυκε καὶ μητρυιὰ καὶ μήτηρ,
τοῖς δυστιχοῦσι μητρυιά, τοῖς δ' εὐτυχοῦσι μήτηρ·
ἰδὼν οὖν τὸ κατάστημα τοῦτο τὸ ὁμιχλῶδες
πρὸς ἑαυτὸν τὰ σύμπαντα λέγων τὰ πεπραγμένα
εἰς τοῦτο τὸ κατάστημα χειμέριον ὁμίχλης,
εὔχεται τὸν οὐράνιον ἀέρα μεταβῆναι,
ὅπως κακῶς οἱ Ἕλληνες πάσχοντες ἐκ τῶν Τρώων,
εἰς παρακλήσεις ἔλθωσι τοῦ ἥρωος ἐκείνου·
ἡ δὲ Διὸς βοήθεια ἐκ Θέτιδος ὑπάρχει,
ὅτε τοῦτον ἐξέσωσε τῶν ἐπιβουλευόντων,
ὅπερ ἠλληγορήσαμεν ἐν κρίσει τῇ τοῦ μήλου,
ὅτε μετὰ διάρθρωσιν ἀέρος ἐκ τοῦ χάους,
παλιντροπία γέγονε καὶ σύγχυσις μεγάλη·
Ἥρας, τοῦ καταστήματος, ὡς εἶπον, τοῦ πυρώδους,
τοῦ Ποσειδῶνος, τοῦ ὑγροῦ φημὶ καὶ τῶν ὑδάτων,
καὶ Ἀθηνᾶς, τοῦ ζοφεροῦ ἀέρος καὶ προσγείου·
ὑφ' ὧν περ ἐκινδύνευσε τὸ καθαρὸν ἀέρος,
τὸ χλιαρὸν καὶ ἔνυδρον καὶ κατηυκρατωμένον,
ὁ Ζεὺς αὐτὸς ὁ μυθικός, δεθῆναι καὶ κρυβῆναι·
εἰ μὴ τὸν Ἑκατόγχειρον ἥλιον ἐκ θαλασσης,
τὸν εἰς πολλὰς ὑπάρχοντα λυσιτελῆ τὰς πράξεις,
συνέβη σὺν ὑγρότητι φανῆναι θαλασσίᾳ,
τὰ μὲν ὑγρὰ καθαίροντα τῇ ζέσει τῇ πυρφόρῳ,
ὑγρότητι συμμέτρῳ δὲ κιρνῶντα τὸ φλογῶδες·
ὅπερ ἐκεῖ γοῦν ἔφημεν ὑπάρχειν Ἀφροδίτην,
τὸ μῆλον σχοῦσαν ἔπαθλον, τὸν κόσμον τὸν ὡραῖον·

νῦν τοῦτον ἑκατόγχειρον Βριάρεων τὲ λέγει,
Διῒ παρὰ τῆς Θέτιδος σύμμαχον ἀναχθέντα.
Ἐπεὶ δὲ Σεπτεμβρίου μὲν ἦν ὀκτωκαιδεκάτη,
ὅτε ταῦτα μετηύχετο ὁ Ἀχιλεὺς γενέσθαι,
κατὰ δὲ τὸν Ὀκτώβριον ἔμελλε γεγονέναι
τὸ ὄμβριον κατάστημα, καὶ ψύξις τοῦ ἀέρος,
ὁ Ὅμηρος ὢν πάνσοφος ἐν τῷ τοὺς μύθους γράφειν,
καὶ περὶ ἀναβάσεως θέλων τοῦ Νείλου λέγειν,
ποιεῖ τὴν Θέτιν, τὸ ὑγρὸν κατάστημα, λαλοῦσαν,
ὁ Ζεὺς νῦν πρὸς τὴν Αἴγυπτον δαῖτα μεγάλην ἔχει·
ἤγουν ἀὴρ ὁ κάθυγρος ἐστὶν ἐν τῇ Αἰγύπτῳ·
ἔτι γὰρ ἦν ἀνάβασις τοῦ Νείλου Αἰγυπτίοις·
ἐκ τέλους Ἰουλίου γαρ δι' ὅλου Σεπτεμβρίου
γίνεται ἡ ἀνάβασις, τῷ δ' Ὀκτωβρίῳ λήγει,
καὶ γίνεται κατάστημα χειμέριον ἐνθάδε.
Μετὰ δ' ἡμέρας δώδεκα ἐλεύσεται ἐνθάδε
ὁ Ζεύς· οἷον περ σὺ ποθεῖς ἀέρα τῶν ἐνύγρων,
ὃν περ ἡ Θέτις τὸ ὑγρὸν δύναται καταπείθειν·
ἐξ ὀκτωκαιδεκάτης γὰρ μηνὸς τοῦ Σεπτεμβρίου
ἡμέραι δώδεκα εἰσὶν εἰς πρώτην Ὀκτωβρίου·
ὡς γοῦν μετὰ τὰς δώδεκα, ἤγουν τοῦ Ὀκτωβρίου,
χειμέριον κατάστημα συνέβη γεγονέναι,
ὅ περ πρὸς Ὄλυμπον Διὸς ἔλευσιν ὀνομάζει,
καὶ τῶν ἑτέρων τῶν θεῶν, ἤγουν λοιπῶν στοιχείων.
οὗ γὰρ ἀὴρ ὁ ἔνυγρος καὶ κατηυκρατωμένος,
ἐκεῖ καὶ ὕδωρ τε καὶ πῦρ ἐστὶ καὶ γῆς τι μέρος.
Αἰὲν ἐόντα λέγων δὲ Ὅμηρος τὰ στοιχεῖα,
τὸν κόσμον τοῦτον ἄφθαρτον φαίνεται δογματίζων
τοιούτου καταστήματος τῷ τότε γινομένου,
ὅ περ Διὸς πρὸς Ὄλυμπον ἔλευσιν ὀνομάζει,
ἐκ τῆς θαλάσσης πρὸς αὐτὸν ἀνῆλθε καὶ ἡ Θέτις.

νέφος παχὺ καὶ ἔνυδρον, μεμεστωμένον ὄμβρου,
καὶ τὸ μὲν λίαν πάχιστον καὶ τὸ βαρὺ τοῦ νέφους,
ὃ καὶ σκαιὰν τῆς Θέτιδος χεῖρα κατονομάζει,
τῶν κατωτάτων ἥπτετο μερῶν τῶν τοῦ ἀέρος,
ἅ περ αὐτὸς καὶ γόνατα Διὸς κατονομάζει·
τὸ δ' αὖ λεπτομερέστερον, χεὶρ ἡ δεξιωτάτη,
τῶν ἀνωτέρων ἥπτετο μερῶν τῶν τοῦ ἀέρος,
ἅ περ πανσόφως κέκληκε πάντως ἀνθερεῶνα·
ἐκεῖ γὰρ ἀναθρώσκοντα τὰ νέφη πνευματοῦνται.
Ἀναξαγόρας δ' ἐκ τῆς γῆς λεγέτω τοὺς ἀνέμους.
Ὁμήρου προδιδάξαντος πρὸ τοῦ Ἀναξαγόρου
πρό γε τετρακοσίων τε τῶν χρόνων καὶ πλειόνων,
τὸ ὑλικὸν μὲν αἴτιον γίνεσθαι τῶν πνευμάτων
ἐκ γῆς τε καὶ τοῦ ὕδατος· ὥς περ Ἀναξαγόρας·
τὸ ὑλικὸν καὶ πρακτικὸν πάλιν, τοῖς ἄνω τόποις,
ὡς νῦν διδάσκει συνετῶς, μύθους δοκῶν συγγράφειν.
Τοιούτου νέφους πανταχοῦ τῷ τότε συναχθέντος,
συνέβη πάντα ζοφερὸν τυγχάνειν τὸν ἀέρα,
ἄλυτον· ὅ περ καὶ Διὸς σιγὴν κατονομάζει.
Ὁ στεναγμὸς δὲ τοῦ Διὸς, ἡ κίνησις ὀφρύων,
ἡ Θέτιδος κατέλευσις ὡς πρὸς θαλάσσης τόπους,
Ἥρας τὸ φιλονείκημα, ἡ κέρασις Ἡφαίστου,
μέχρι τοῦ τέλους ἔχουσι τοιάνδ' ἀλληγορίαν.
Ὁ στεναγμὸς ὁ τοῦ Διὸς, ἀνέμου δηλοῖ πνεῦμα,
κινῆσαν τούτου τὰς ὀφρῦς, ἤγουν νεφῶν τὸ τάχος.
Ἡ Θέτιδος κατέλευσις, ὄμβρον δηλοῖ γενέσθαι,
ὅς τις καὶ συγκατάνευσις ἐστὶ τῆς βοηθείας.
Ἡ τοῦ Διὸς δὲ ἔλευσις πρὸς οἶκον τὸν οἰκεῖον,
τὸ πάλιν εἶναι καθ' αὑτὸν ὡς πρώην τὸν ἀέρα,
εἰς ὄμβρον ἐκλεπτύνοντα τὸ πάχος τὸ τοῦ νέφους.
Ἡ τῶν θεῶν ἀνάστασις ἐκ τῶν καθιδρυμάτων,

ἡ τῶν ϛοιχείων σύγχυσις καὶ τάραξις ὑπάρχει,
ἡ ἐκ τῆς συγκλονήσεως νεφῶν ἐγγινομένη·
ἅ περ σφοδρότερον αἰθὴρ ἡ Ἥρα συνεκλόνει.
ὅ περ καὶ ἔχθρα λέγεται τῆς Ἥρας πρὸς τὸν Δία·
αὕτη καθαίρει γὰρ ἀεὶ τὸ κάθυγρον ἀέρος.
Τὸ πτῆξαι δὲ καθίσασαν περίφοβον ἐκείνην,
τὸ, πάλιν τὸν ἀέρα δε νεφῶν συμπληρωθῆναι.
Ὁ ϛεναγμὸς δὲ τῶν θεῶν, κτύπος βροντῆς ὑπάρχει·
εἰ γὰρ καὶ Δία λέγυσιν αἴτιον βροντημάτων,
ἀλλ' εἰ μὴ νέφος κάθυγρον, ἔχον ξηρὸν ἀέρα,
τῷ βάρει μὲν συμπέσειε πρὸς ἄλλο πάλιν νέφος,
τῷ δὲ ξηρῷ βροντήσειεν, οὐκ ἂν βροντὴ συϛαίη·
ἀλλ' οὐδὲ σέλας ἀϛραπῆς τὸ σύνολον φανείη,
εἰ μὴ τὸ πνεῦμα λεπτυνθὲν ἐκδράμοι τῇ συντρίψει.
Ὁ παντεργάτης δ' Ἥφαιϛος, πῦρ τὸ θερμὸν ἀέρος,
μεταποιῶν ἀπήρξατο τὸ νέφος ἐρυθραίνειν,
ὅ περ τῆς Ἥρας λέγεται κρατὴρ· παρηγορία·
ἡ παντελὴς δὲ κάθαρσις ἡ κατηυκρατωμένη,
γέλως θεῶν καὶ τράπεζα, κρατὴρ καὶ πανδαισία·
καὶ μυσικὴ Ἀπόλλωνος, μυσῶν τε τραγῳδία,
διπλοειδὲς ποτήριον, νεφῶν ἡ ἐρυθρότης·
ἥ τις ποτὲ μὲν, ὄμβρυς τε καὶ πνεύματα σημαίνει,
ποτὲ δ' ἔμπαλιν γίνεται σημεῖον τῆς εὐδίας.
Βλέπε πῶς παίζων Ὅμηρος σπυδαῖα περιπλέκει·
θέλων καὶ περὶ ῥίψεως τῶν κεραυνῶν γὰρ γράφειν,
ἐξ ὧν τὸ πῦρ ἐφεύρηται τοῖς πρότερον ἀνθρώποις,
ἐν Λήμνῳ, κόσμῳ, σύμπαντες οὗ μένυσιν οἱ ὄχλοι,
οὓς περ καλεῖ καὶ Σίντιας· τοὺς εὑρετὰς τὺς πρώτυς·
εὑρόντες πᾶσαν τέχνην γὰρ ἐκ τοῦ πυρὸς ἐκεῖνοι,
πάντα τὸν βίον ἔβλαψαν καὶ πάντας τὺς ἀνθρώπυς·
πρὸ γὰρ τεχνῶν, οὐ πόλεμος, ὐ δόλος, ὐ δεσπότης

ἀλλ' ἐλευθέρως ἅπαντες ἔζων ἐν ὁμονοίᾳ·
Ἄλλοι δὲ Σίντιας φασὶ καλεῖσθαι τοὺς Λημνίους,
ὡς πρώτους πρὸς τὸν πόλεμον εὑρόντας ὁπλουργίας·
τέως βλέπε τὸν Ὅμηρον πῶς παίζων καὶ σπουδάζει·
θέλων γὰρ περὶ ῥίψεως τῶν κεραυνῶν συγγράφειν,
πῶς ὂν τὸ πῦρ ἀνωφερὲς, κάτω πρὸς γῆν ἐκρέει,
φέρει τὸ πῦρ, τὸν Ἥφαιστον λέγοντα πρὸς τὴν Ἥραν·
πείθου, μὴ μάχου τῷ Διῒ, δύναται γὰρ μεγάλα·
κἀμὲ γὰρ πρὶν βουλόμενον σοὶ συνεργῆσαι μῆτερ,
ἐν τῇ τοῦ κόσμου δηλαδὴ πρωτίστῃ διαρθρώσει,
κάθυγρος ὢν, ἀπέῤῥιπτε πρὸς Λῆμνον, ἤγουν κόσμον,
ἀπὸ πρωΐας τῶν καιρῶν μέχρι δυσμῶν ἡλίου,
ἐξ οὗ τὸ πῦρ ἐφεύρηται καὶ τέχναι τοῖς ἀνθρώποις.
Το κροῦμα νῦν τῆς μουσικῆς Ἀπόλλωνος μοι μάθε,
καὶ τραγῳδίαν τῶν μουσῶν μέχρι τοῦ τέλους πάντα.
Ὁ μὲν Ἀπόλλων. ἥλιος· ἀστὴρ εἷς τῶν πλανήτων·
μοῦσαι δ' ἀστέρες οἱ λοιποὶ τῶν συμπλανήτων τούτου·
ἑπτὰ δ' εἰσὶν οἱ σύμπαντες, ὧν περ αἱ κλήσεις αὗται.
Κρόνος πάντων ἀνώτερος· ὁ Ζεὺς δὲ δευτερεύει·
Ἄρης τρίτος· ὁ ἥλιος τέταρτος μέσος πάντων·
ἡ Ἀφροδίτη, καὶ Ἑρμῆς, ὑστέρα δ' ἡ σελήνη·
οὗτοι γοῦν δίκην μουσικῆς ἀρίστης ἑπταχόρδου,
ἕκαστος σφαίραις ταῖς αὐτῶν κινούμενοι κροτοῦσι
μέλος τι λιγυρώτατον ἀρίστης ἁρμονίας·
καὶ μᾶλλον ἀνατέλλοντες· κατάρχοντος ἡλίου·
τοῦτο γοῦν βούλεται εἰπεῖν ὁ Ὅμηρος ἐνθάδε,
ὅτι μετὰ τὴν ἔλευσιν τοῦν νέφους ἦν εὐδία,
εὐάρμοστος, ἀρκέσασα μέχρι δυσμῶν ἡλίου·
μετὰ τὴν νύκτα δ' ἕκαστον ἠρέμει τῶν στοιχείων.
οὗ περ αὐτοῖς ἐποίησεν τὸ πῦρ τὰς κατοικίας.
Ὁ παντεργάτης δ' Ἥφαιστος πάντα ποιῶν καὶ τρέφων·

τὸ πῦρ γὰρ κατὰ Ἕλληνας ἐν τῇ κοσμογενείᾳ
ἑκάςῳ κατεσκεύασε τοὺς τόπȣς κατ' ἀξίαν·
τὸ ὕδωρ ἐκλεπτῦναν γαρ, ἐποίησεν ἀέρα·
τοῦτον λεπτῦναν πλέον δὲ, ἐποίησεν αἰθέρα,
καὶ τοὺς ἀςέρας, μετ' αὐτόν· πυρώδεις τὴν οὐσίαν·
οὗτοι πάντες ἠρέμησαν ἐν τόποις τοῖς οἰκείοις,
καὶ Ζεὺς αὐτὸς ἠρέμησεν εὔδιος σὺν αἰθέρι.

---

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ Β. ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ

Τοῦ βῆτα ἡ ὑπόθεσις τὸν νοῦν ἔχει τοιόνδε·
οἱ ἄλλοι πάντες μὲν θεοὶ, τὰ σύμπαντα ςοιχεῖα,
ἐκάθευδον, ἡσύχαζον, ἦσαν ἠρεμηκότα·
ὁ Ζεὺς, δ' ἀὴρ, ἐφρόντιζε τιμῆσαι Ἀχιλέα·
ὁ ὕπνος ἐξ ἀέρος γαρ ὑγρότητος ὑπάρχει·
ἐξ ὕπνȣ δὲ οἱ ὄνειροι γίνονται τοῖς ἀνθρώποις·
ὁ ὄνειρος ἐδήλȣ δε τιμᾶν τὸν Ἀχιλέα·
Τῷ Ἀγαμέμνονι καὶ γὰρ ὄναρ ἐφάνη τότε·
ἐδόκησε τὸν Νέςορα τῇ κλίνῃ παραςάντα,
λέγειν. καθεύδεις βασιλεῦ; οὐ πρέπει σοι καθεύδειν·
ἄκουσον λόγων τῶν ἐμῶν. τὰ τοῦ Διὸς ἀγγέλλω·
τὰ εἱμαρμένα λέγω σοι τὰ μέλλοντα συμβῆναι·
καθόπλισον τȣ̀ς Ἕλληνας πανςρατιᾷ τȣ̀ς πάντας·
δῆλον, τὸ πᾶν σȣ ςράτευμα μετὰ τοῦ Ἀχιλέως·
νῦν γὰρ καιρὸς πορθῆσαι σε τὴν Τρωϊκὴν τὴν πόλιν,
ὁμοφρονοῦσιν οἱ θεοὶ τῆς Ἥρας παρακλήσει·
τὰ πάντα κατηυκράτωται τῷ καθαρῷ ἀέρι·
ἐκ τοῦ Διὸς δ' ἐπήρτηται τοῖς Τρώεσιν ἡ βλάβη·
τουτέςι, βλάβη τοῖς Τρωσὶν ἐξ εἱμαρμένης ἔςαι.

Τοῦτο τὸ ὄναρ ἅπασι τοῖς τῆς συγκλήτου λέγει,
καὶ βούλεται τὸ στράτευμα πρὸς πόλεμον ὁπλίζειν·
θέλων δὲ γνῶναι τοῦ στρατοῦ καλῶς τὴν προθυμίαν,
προλέγει πᾶσιν ἄρχουσι, τοῖς πρώτοις βουληφόροις·
ἐγὼ πειράζων τὸν στρατὸν, ὑποχωρεῖν κελεύσω,
ὑμεῖς δὲ λόγοις συνετοῖς, τούτους μὴ παρεᾶτε.
Ὁ Νέστωρ συναινέσας δὲ τοῖς βασιλέως λόγοις,
δεῦτε, φησὶν, ὁπλίσωμεν τὸ στράτευμα Ἑλλήνων·
καὶ πρῶτος ὥρμησεν ἐλθεῖν εἰς τὸν στρατὸν ἐκεῖνος,
καὶ μετ᾽ αὐτὸν οἱ βασιλεῖς καὶ τῆς συγκλήτου πάντες,
καὶ μετ᾽ αὐτοὺς, καὶ τὸ κοινὸν ὁρμᾷ τῶν στρατευμάτων,
ὡς βοτρυδὸν αἱ μέλισσαι χωροῦσι πρὸς τὰ ἄνθη·
πλησίον τῆς θαλάσσης δὲ συνήγοντο τὰ πλήθη,
μετὰ θορύβου καὶ κραυγῆς ὡς μέλλοντες ἐκπλέειν·
μόλις δ᾽ ἐννέα κήρυκες κατέπαυσαν ἐκείνους.
Καὶ Ἀγαμέμνων βασιλεὺς δημηγορῶν ἀνέστη,
ἐξ βασιλέων ταῖς χερσὶ σκῆπτρον αὐτοῦ κατέχων,
ἐξ ὧν αὐτὸς ἐκέκτητο πάντως τὴν ῥιζουχίαν·
ἐν τούτῳ στηριζόμενος λέγει πρὸς πάντας τάδε.
Ὦ Ἕλληνες ἡμίθεοι, θεράποντες πολέμου,
ἐπὶ ματαίᾳ ἤλθομεν ἐνταῦθα εἱμαρμένῃ·
πλείους γὰρ ὄντες δεκαπλῶς παρὰ τῶν Τρώων πλῆθος,
ἐννέα ματαιάζομεν ἐν χρόνοις πολεμοῦντες,
πρὸς τὰς πατρίδας πλεύσωμεν, τὴν Τροίαν οὐ πορθοῦμεν.
Οὕτως εἰπόντος ὥρμησε τὸ πλῆθος ἀποπλέειν,
εἰ μὴ κατέσχεν Ὀδυσσεὺς φρονήσει τῇ οἰκείᾳ
τοὺς εὐγενεῖς καὶ στρατηγοὺς ἐν πραοτάτοις λόγοις,
τοὺς δ᾽ ἀφανεῖς ἐν μάστιξι καὶ δημοτικωτέρους,
καὶ πάλιν ἀντανέστρεψε πρὸς τὴν βουλὴν ἐκείνους.
Ὡς δ᾽ ὁ Θερσίτης ὕβριζε μόνον τὸν βασιλέα,
ὃς ἦν φοξὸς καὶ παραβλὼψ, χωλὸς, κυρτὸς, ψεδνόθριξ,

τῷ σκήπτρῳ πλήξας καὶ αὐτὸν ὥς τε δακρύειν τοῦτον,
τοὺς δ' ἄλλους ἅπαντας γελᾷν, δημηγορεῖ τοιάδε.
Ὦ Ἀγαμέμνων βασιλεῦ, τὸ ϛράτευμα Ἑλλήνων,
πᾶσιν ἀνθρώποις βούλεται σὸν κράτος καταισχῦναι·
οὐ γὰρ πληρῶσαι θέλουσιν αὐτῶν τὰς ὑποσχέσεις,
ὡς καρτερεῖν τὴν πόρθησιν ἐνθάδε τὴν τῆς Τροίας,
ἀλλ' ὥς περ βρέφη κλαίουσιν ἐλθεῖν εἰς τὰς οἰκίας·
μείνατε χρόνον, ἀδελφοὶ, βραχύτατον ἐνθάδε,
ἕως τὴν Τροίαν λάβωμεν τὴν πόλιν τοῦ Πριάμȣ·
νῦν ὁ καιρὸς ἐφέϛηκε τοῦ χρόνȣ τοῦ δεκάτȣ,
ὅτε ταύτης ἡ πόρθησις γενήσεται τῆς Τροίας,
ὥς περ ὁ μάντις ἔλεγεν ἡμῖν ἐν τῇ Αὐλίδι,
ἐκ τῶν ϛρουθῶν καὶ δράκοντος πάντα καλῶς νοήσας.
Οὕτως εἰπὼν ὁ Ὀδυσσεὺς, τοῖς πᾶσιν ἐπῃνέθη,
καὶ μετ' αὐτὸν δημηγορεῖν ἀπήρξατο καὶ Νέϛωρ.
Παισὶ μικροῖς ἐοίκαμεν, οἷς πόλεμος οὐ μέλει·
φιλονεικοῦμεν μάτην γὰρ ἐπὶ ματαίοις λόγοις·
ἀλλ' Ἀγαμέμνον βασιλεῦ, βουλεύȣ νῦν ὡς πρώην·
ϛρατήγει καὶ παράτασσε τὸ ϛράτευμα πρὸς μάχας,
ἕνα καὶ δύο φθείρεσθαι τῶν μὴ θελόντων ἔα·
ἡμεῖς τῶν Τρώων λάβωμεν γυναῖκας αἰχμαλώτȣς·
ἀλλὰ βȣλεύȣ, βασιλεῦ, καὶ πείθȣ τοῖς φρονίμοις,
χώρισον πάντα τὸν ϛρατὸν πρὸς γενεὰς καὶ ἔθνη,
ὡς ἂν τὸ γένος βοηθῇ τῷ γένει τῷ οἰκείῳ·
τὸ δ' ἔθνος πάλιν ἔθνει δε· καὶ τότε γνώσῃ πάντως
τίς ἡγεμόνων ἄριϛος, τίς τῶν τῆς κάτω τύχης·
καὶ τότε γνώσῃ ἀκριβῶς, πῶς ȣ πορθεῖς τὴν Τροίαν
εἴ τε θεόθεν, ἢ κακῶν ὄντων τῶν ὑπὸ χεῖρα·
Ὁ βασιλεὺς ἐπῄνησε τοῦ γέροντος τοὺς λόγȣς,
καὶ τῆς ὀργῆς ἐμνήσθη δε τῆς πρὸς τὸν Ἀχιλέα,
ὡς γενομένης ἀπρεπῶς, κακῆς ἐξ εἱμαρμένης·

καὶ τὸν στρατὸν ἐκέλευσεν ὁπλίζεσθαι φαγόντας·
αὐτὸς δὲ θύσας βοῦν Διῒ, τῇ εἱμαρμένῃ τάχα,
ἑπτὰ τοὺς πρώτους ἄρχοντας καλεῖ πρὸς τὴν θυσίαν·
τὸν Νέστορα καὶ μετ' αὐτὸν Ἰδομενέα Κρῆτα·
εἶτα τοὺς δύο Αἴαντας μετὰ τοῦ Διομήδους,
καὶ Ὀδυσσέα μετ' αὐτούς· Μενέλαος δὲ μόνος
ἦλθεν αὐτοῖς αὐτόκλητος, στέργων τὸν βασιλέα·
θυσίας ἅμα καὶ εὐχῶν τότε δὲ γενομένων,
φαγόντες, Νέστορος βουλαῖς, ὥρμησαν πρὸς τὴν μάχην·
οἱ στρατηγοί δὲ τὸν στρατὸν παρέτασσον κοσμίως,
σὺν τῇ φρονήσει Ἀθηνᾶς. καὶ τῇ Αἰγίδι ταύτης,
ταῖς πολυπλόκοις μηχαναῖς αὐτῆς, ταῖς ὑπερτίμοις,
γλυκύτερος δ' ὁ πόλεμος τούτοις ἐφάνη τότε,
παρό περ ἕκαστον αὐτῶν ἐλθεῖν πρὸς τὴν πατρίδα·
αἱ πεδιάδες ἔλαμπον ὡς πῦρ ὑπὸ τῶν ὅπλων.
Ὥς περ ἀγέλαι τῶν χηνῶν, γεράνων, ἢ καὶ κύκνων
πέτονται περὶ Κάϋστρον τὸν ποταμὸν Ἀσίας,
οὕτως Ἑλλήνων ὁ στρατὸς Σκαμάνδρου πεδιάσι
πολὺς εἱστήκει καὶ λαμπρὸς ἐν ὅπλων ποικιλίᾳ,
καὶ πρόθυμοι πρὸς πόλεμον, ὡς μυῖαι πρὸς τὸ γάλα.
Ὁ Ἀγαμέμνων δ' ἐν αὐτοῖς ὁ βασιλεὺς εἱστήκει
τὴν κεφαλὴν καὶ ὀφθαλμοὺς ἔχων Διῒ ὁμοίους,
τῷ λογισμῷ παρόμοιος, φρόνιμος καὶ αἰδήμων·
τὴν ζώνην δὲ τῷ Ἄρεϊ, τὸ στῆθος Ποσειδῶνι,
πολεμικὸς καὶ τὸν θυμὸν ἔχων ὁπόταν δέῃ,
κατὰ τὴν θάλασσαν αὐτὴν, οὐ γὰρ ἀεὶ κινεῖται,
ἀλλ' ὅταν πνεύσας ἄνεμος ἐκείνην κυματώσῃ.
Ὥς περ δὲ ταῦρος μέγας τις ἀγέλης ὑπερέχει,
τοσοῦτον ἐμφανέστερος καὶ τῶν λοιπῶν ὑπῆρχε·
τοιοῦτον μὲν ἐποίησε τότε τὸν βασιλέα
ἡ εἱμαρμένη φαίνεσθαι πάντων ὑπερτεροῦντα.

Εἶτα πάλιν ὁ Ὅμηρος καὶ πρὸς τὰς μούσας λέγει,
τὴν γνῶσιν πάντως τὴν αὐτοῦ· τὴν ἐκ τῶν μαθημάτων·
εἴπατε, μοῦσαι, πρὸς ἡμᾶς πάντας τοὺς ἡγεμόνας,
τὸ πλῆθος σύμπαν γὰρ ἐγὼ, καὶ πάντας τοὺς ναυάρχους
οὐδ' ἂν περ δέκα στόματα καὶ δέκα γλώσσας εἶχον,
ἄῤῥηκτον δ' εἶχον τὴν φωνὴν καὶ σιδηρὰν καρδίαν,
τοὺς σύμπαντας ἂν ἴσχυσα πρεπόντως καταλέξαι,
εἰ μή περ ὑπεμνήσατε πάντας ὑμεῖς, ἐκ βίβλων.
Οὕτως ἐνταῦθα συμπληροῖ τὴν βῆτα ῥαψῳδίαν·
καὶ μετ' αὐτὴν κατάρχεται λέγειν τὴν Βοιωτίαν,
ἣν Βοιωτίαν ἔγραψα τοῖς τόποις τοῖς οἰκείοις,
τοὺς ἡγεμόνας λέγων σοι, καὶ τούτων ναυαρχίας,
καὶ κατ' ἐπαύξησιν, αὐτῶν μορφάς τε καὶ τὰ γένη·
μετὰ τὴν Βοιωτίαν δὲ κατάρχεται τοῦ γάμμα,
οὕτω ποιήσας τὴν ἀρχὴν ἀρξάμενος ἐνθένδε.

## ὙΠΟΘΕΣΙΣ ΤΗΣ Γ. ὉΜΗΡΟΥ ῬΑΨΩΙΔΙΑΣ

Ἐπεὶ δὲ παρετάξαντο μετὰ τῶν ἡγεμόνων,
οἱ Τρῶες ἐπορεύοντο κλαγγῇ τε καὶ θορύβῳ
δίκην γεράνων φευγουσῶν εἰς Αἴγυπτον ἐκ Θρᾴκης,
οὗ τοὺς Πυγμαίους κτείνουσι, τρώγουσαι τούτων στάχυς·
οἱ δ' Ἕλληνες ἐπήρχοντο καὶ σιωπῇ καὶ τάξει·
ὁ δὲ πολὺς κονιορτὸς πεζῶν καὶ τῶν ἱππέων,
ὥς περ ὁμίχλη σκότωσιν ἐποίησε βαθεῖαν.
Ὁ δὲ θεοῖς παρόμοιος Ἀλέξανδρος τὸ εἶδος,
ἤγουν, ὁ ὡραιότατος δίκην λαμπρῶν ἀστέρων,
ἢ μᾶλλον ὁ αὐτόχρημα γελῶν, ἐπιθυμίᾳ
πρῶτος τῶν ἄλλων προπηδῶν, τῶν Τρώων προεμάχει,

Ἑλλήνων τὸν βουλόμενον ζητῶν μονομαχῆσαι·
ἰδὼν δὲ τὸν Μενέλαον τοῦ ἅρματος πηδῶντα.
ὥς πέρ τις δράκοντα ἰδὼν, ἔφευγεν ὠχριάσας·
Τοῦτον ὁ Ἕκτωρ θυμωθεὶς, λόγοις λοιδόροις πλύνει·
ἀπατεὼν, γυναιμανὲς, εἴθε νεκρός μοι εἴης,
παρ᾽ ὃ δακτυλοδείκτημα, καὶ Τρώων πάντων ὕβρις·
ὄντως μεγάλως χαίρουσι τὸ στράτευμα Ἑλλήνων
τῷ λογισμῷ τῷ ἑαυτῶν ἄριστον σὲ δοκοῦντες,
ἀνθ᾽ ὧν ὁρῶσιν εὔμορφον ὡραῖον σοῦ τὸ εἶδος·
πῶς οὖν τοιοῦτος ὢν αὐτὸς, νύμφην ἀνδρῶν ἀρίστων
ἁρπάξας, βλάβην ἤγαγες σύμπαντι Τρώων γένει;
εἰ καρτερεῖς, πολέμησον Ἑλένης τῷ συνεύνῳ,
καὶ γνώσῃ τίνος ἥρπασας νεάζουσαν γυναῖκα·
οὐκ ὠφελήσει σοὶ οὐδὲν ἡ μουσικὴ θανόντι,
οὐ κάλλος, οὐ δὲ τρίχωσις, τὰ Ἀφροδίτης δῶρα·
εἴτ᾽ οὖν ἐπιθυμίας τε, εἴ τε καὶ τοῦ ἀστέρος.
Οἱ γεννηθέντες πάντες γαρ ἀστέρι Ἀφροδίτης,
καὶ μᾶλλον τῆς γενέσεως ὄντι μὴ παραινέτῃ
ἂν κεῖται μᾶλλον καὶ καλῶς οἷς περ ἁρμόζει τρόποις,
ὡραῖοι καὶ ἐπέραστοι γυναῖκές τε καὶ ἄνδρες·
ἂν ἐν τῇ πρώτῃ μᾶλλον δὲ ἢ εἰκοστῇ ὀγδόῃ
μοίρᾳ καρκίνου φαίνωσιν αὐτὴν τὴν Ἀφροδίτην,
θεαῖς αἱ ἄνδρες μίγνυνται, τουτέστι βασιλίσσαις,
ἢ ἰσοθέοις γυναιξὶν, ὡς Πτολεμαῖος γράφει,
γυναῖκες πάλιν δε θεοῖς, εἴ τε καὶ ἰσοθέοις.
Οὕτω μὲν Ἕκτωρ πρὸς αὐτὸν Ἀλέξανδρον ἦν λέγων·
εἰ Μενελάῳ πόλεμον συνήῤῥαξας, εὖ ἴσθι,
οὐδέν σοι ἡ γενέθλιος ὤνησεν Ἀφροδίτη·
ἀλλὰ δειλοὶ ὑπάρχουσιν, Ἀλέξανδρε, οἱ Τρῶες,
οἵ τινες οὐ κατέχωσαν βάλλοντές σε τοῖς λίθοις·
πρὸς τοῦτον δὲ Ἀλέξανδρος οὕτως ἀνταπεκρίθη·

Ἕκτορ, ἐπεί με ὕβρισας πρεπόντως, ἐπαξίως,
σὸς λόγος ὥς περ πέλεκυς κόπτει μου τὴν καρδίαν·
θάρσους ἐμπλήσας, πείθει με μάχεσθαι Μενελάῳ·
σὺ δὲ μὴ κατονείδιζε τὸ κάλλος καὶ τὴν τρίχα,
τὰ τῶν θεῶν δωρήματα, ἀστέρων γενεθλίων·
ἅ περ μοι κατωνείδισας τὴν κόμην καὶ τὸ κάλλος,
καὶ τὰ λοιπὰ τῶν ἀγαθῶν, ἀπόῤῥιπτα οὐκ ἔστιν·
ὅσα παράσχωσιν αὐτοὶ, θέλων οὐκ ἄν τις λάβοι.
Σεμνῶς ἐνταῦθα καὶ δεινῶς ἀνθύβρισεν ὁ Πάρις·
οὕτω σεμνῶς ὑβρίσας δε, οὐκ ἔδοξεν ὑβρίζειν·
μέλας, στραβός γαρ καὶ ψελλὸς ἦν Ἕκτωρ ὡς γνωρίζεις·
ἐν τῷ εἰπεῖν ὁ Πάρις δὲ θέλων δ' οὐκ ἄν τις λάβοι,
μονονουχὶ λέγει ταυτὶ τὰς ὕβρεις ἐπικρύπτων·
Ἕκτορ, καὶ σὺ ἂν ἤθελες τοιοῦτος γεγονέναι,
ἀλλ' εἱμαρμένην ἔσχηκας ἑτέραν· λοιπὸν παύου·
καὶ κάλλος μὴ καθύβριζε, μηδὲ τὴν τρίχωσίν μου·
εἰ βούλει δέ με μάχεσθαι μετὰ τοῦ Μενελάου,
τὸ Τρωϊκόν μεν στράτευμα παῦσον, καὶ τῶν Ἑλλήνων·
ἐγώ δε καὶ Μενέλαος μόνοι μονομαχῶμεν·
ὁ δὲ νικήσας ἅπαντα λαβέτω σὺν Ἑλένῃ,
οἱ δ' ἄλλοι παρερχέτωσαν εἰς τὰς αὐτῶν πατρίδας.
Οὕτως εἰπόντος Πάριδος, Ἕκτωρ τερφθεὶς τοῖς λόγοις
τοὺς Τρῶας μάχης ἔπαυε· μέσου κρατῶν τὸ δόρυ·
οἱ δ' Ἕλληνες τοξεύμασιν ἔβαλλον καὶ τοῖς λίθοις,
μέχρις ἐπέσχε βάλλοντας ἐκείνους Ἀγαμέμνων,
καὶ τότε τοῖς στρατεύμασιν Ἕκτωρ τοῖς δύο λέγει
γνώμην τὴν Ἀλεξάνδρειον περὶ μονομαχίας.
Πάντων ἡσυχασάντων δε, Μενέλαος ταῦτ' εἶπεν·
ὁ λόγος ἐστὶν ἀρεστὸς ὁ τῆς μονομαχίας,
ἀλλ' ὅρκοις βεβαιώσωμεν πρότερον τὰ τῆς μάχης·
παρέστω δὲ καὶ Πρίαμος αὐτὸς ἐν ταῖς θυσίαις·

ἄπιστος γὰρ Ἀλέξανδρος καὶ παραβάτης ὅρκων.
Ἐχάρησαν οἱ Ἕλληνες καὶ Τρῶες ἐπὶ τούτοις,
παῦσιν εὑρεῖν ἐλπίζοντες τοῦ χαλεποῦ πολέμου·
συντόμως ἐφωπλίζοντο· πλησίον δὲ ἀλλήλων
οἱ Ἕλληνες ἐκάθηντο καὶ Τρῶες δίκην φίλων·
ὁ Ἕκτωρ πέμπει φέρειν δὲ πάντα τὰ πρὸς θυσίαν,
καλέσαι τε τὸν Πρίαμον τοῖς ὅρκοις συμπαρεῖναι·
καὶ Ἀγαμέμνων ἔπεμψεν ἐκ πλοίων ἄρνα φέρειν·
ἡ Ἶρις τῇ Ἑλένῃ δὲ πᾶν τὸ συμβὰν μηνύει
τὸν περὶ ταύτης πόλεμον καὶ τὴν μονομαχίαν,
ὁμοιωθεῖσα θυγατρὶ Πριάμου Λαοδίκῃ·
τουτέστιν Ἶρις γέγονε τόξον τὸ νεφελῶδες,
ἐξ οὗ τὸ συμβησόμενον ἐνόησεν Ἑλένη·
ὡς εἴ περ τίς κατέλεξε πάντα καλῶς ἐκείνῃ,
ἦλθε δὲ πρὸς ἐνθύμιον εὐθὺς τοῦ Μενελάου,
καὶ τῆς πατρίδος τῆς αὐτῆς, ἀλλὰ καὶ γεννητόρων·
λεπτῷ δ' ἐπικαλύμματι κατακαλυψαμένη,
δυσὶ σὺν ἄλλαις ὥρμησε κλαίουσα πρὸς τὸν πύργον·
περὶ δὲ πύλας τὰς Σκαιὰς αὐτὴν διερχομένην
ἀπὸ τοῦ πύργου βλέποντες οἱ γέροντες τῶν Τρώων,
ἐκ γήρως μὲν ἀπόμαχοι, σύμβουλοι δὲ γενναῖοι,
Πριάμῳ συγκαθήμενοι καὶ ἀδελφοῖς Πριάμου,
καὶ Πάνθῳ καὶ Θυμοίτῃ τε καὶ Λάμπῳ, καὶ Κλυτίῳ.
καὶ σὺν τῷ Ἱκετάονι τῷ ἀδελφῷ τῷ ἕκτῳ,
ὁ Οὐκαλέγων τε αὐτὸς ἅμα καὶ ὁ Ἀντήνωρ,
ἐν ἠρεμαίᾳ τῇ φωνῇ ἀλλήλοις προσλαλοῦντες,
οὐ νέμεσις, ἐφθέγξαντο, διὰ τοιαύτην κόρην,
ἐπὶ πολὺ κακοπαθεῖν τοὺς Ἕλληνας καὶ Τρῶας.
λίαν ἐστὶ παρεμφερὴς αὐτῇ ἐπιθυμία·
ἀλλὰ καὶ κάλλος ἔχουσα τοιοῦτον, ἀπερχέσθω,
μὴ γένοιτο μετόπισθεν ἡμῖν καὶ τέκνοις βλάβη·

ταύτην δὲ Πρίαμος αὐτοῦ πλησίον ἑδριάσας,
ἀνερωτῶν ἐμάνθανεν Ἑλλήνων τοὺς ἀρίστους.
Πρῶτον, τὸν Ἀγαμέμνονα ὅν περ καὶ μακαρίζει,
τὸν Ὀδυσσέα, δεύτερον· τὸν Αἴαντα δὲ, τρίτον·
μόνη δ' ὑπέδειξεν αὐτῷ καὶ τὸν Ἰδομενέα·
τοὺς ἀδελφοὺς δὲ Κάστορα ταύτης καὶ Πολυδεύκην,
ἀποθανόντας οὐδαμοῦ προσβλέπειν δυναμένη
μὴ συστρατεῦσαι τοῖς λοιποῖς ἐδόκησεν Ἑλλήνων·
ἢ, δι' αὐτὴν αἰσχύνεσθαι φανῆναι τῷ πολέμῳ·
οἱ κήρυκες λαβόντες δὲ πάντα τὰ πρὸς θυσίαν,
καλοῦσι καὶ τὸν Πρίαμον· ὁ δ' ἀναβὰς εἰς ἅρμα,
ἦλθε περὶ τὸ στράτευμα Ἑλλήνων τε καὶ Τρώων.
Στάντων πρὸς τὴν θυσίαν δὲ νιψάντων καὶ τὰς χεῖρας,
ὁ Ἀγαμέμνων τῶν ἀρνῶν τὰς τρίχας ἀποκόψας,
Ἑλλήνων διενείματο καὶ Τρώων τοῖς ἀρίστοις·
ηὔχετο δὲ πρὸς οὐρανὸν τὰς χεῖρας ἀνατείνας.
Ἥλιε, γῆ, καὶ οὐρανὲ, καὶ ποταμῶν τὸ ὕδωρ,
καὶ οἱ παρ' Ἅδην τιμωροὶ δαίμονες τῶν ἀδίκων,
ὑμεῖς ἔφοροι γίνεσθε, καὶ φύλακες τῶν ὅρκων.
κἂν μὲν Ἀλέξανδρος αὐτὸς Μενέλαον φονεύσῃ,
Ἑλένην καὶ τὰ χρήματα ταύτης ἐχέτω πάντα·
ὑμεῖς δὲ πορευσόμεθα πάλιν πρὸς τὰς πατρίδας·
ἂν δ' ἀντιστρόφως γένοιτο, γενέσθω τοὐναντίον·
ἡμῖν τε πρέπουσα τιμὴ δοθήτω κατὰ νόμους,
τὸ τῶν χρημάτων ἥμισυ, δῆλον τῶν ἐν τῇ πόλει.
Οὕτως εἰπὼν, ἀπέσφαξε τοὺς ἄρνας Ἀγαμέμνων,
οἶνον δ' ἐπέχεεν αὐτοῖς· ηὔχετο πᾶς λαός δε,
χεθῆναι τὸν ἐγκέφαλον οὕτω τῶν ἐπιόρκων.
Ὁ δὲ Κρονίων οὐδαμῶς τούτων εὐχὰς ἐπλήρου,
ἡ σκοτεινὴ καὶ ἄδηλος ἅπασιν εἱμαρμένη·
ὁ Πρίαμος μερίδα δὲ λαβὼν ἐκ τῆς θυσίας,

ὀπισθοδρόμως ἤλαυνε πάλιν ὡς πρὸς τὴν Τροίαν
εἰπών· τὸν θάνατον αὐτῶν οἶδεν ἡ εἱμαρμένη.
ἐγὼ δ' οὐχ' ὑπομείναιμι βλέπειν τοῖς ὀφθαλμοῖς μου
Ἀλέξανδρον μαχόμενον μετὰ τοῦ Μενελάου·
οὕτως εἰπὼν ὁ Πρίαμος εὐθέως ὑπεχώρει.
Τὸν τοῦ μονομαχίου δὲ τόπον συγκατεμέτρουν
Ἕκτωρ ὁμοῦ καὶ Ὀδυσσεὺς, ἔβαλον δὲ καὶ κλήρους
τοῦ Μενελάου, Πάριδος, ἐν περικεφαλαίᾳ,
ὅς τις ἂν πρότερος αὐτῶν λάχοι τὸ βέλος πέμψαι·
Ἕκτωρ δὲ βλέπων ὄπισθε τοὺς κλήρους ἀνεκίνει·
καὶ πρότερος ἐξέδραμεν ὁ κλῆρος Ἀλεξάνδρου·
οὗτοι δὲ μέσον ἔστησαν ὅπλοις ηὐτρεπισμένοι.
Καὶ πρῶτος μὲν Ἀλέξανδρος τὸ σάκος Μενελάου
ἄπρακτος ἔμεινε βαλὼν, κλιθέντος τοῦ σιδήρου·
δεύτερος δὲ Μενέλαος πέμψας αὐτοῦ τὸ δόρυ,
ἔκοψε τὴν ἀσπίδα τε καὶ πᾶσαν πανοπλίαν,
πρὸς τὴν λαπάραν Πάριδος· κλινθεὶς δ' αὐτὸς συντόμως,
ἐξέφυγε τὸν θάνατον δόρατος Μενελάου·
Μενέλαος τῷ ξίφει δὲ πλήξας τὴν κεφαλαίαν,
ἐκ τῆς χειρὸς τετράκλαστον ἀπέβαλε τὸ ξίφος·
γυμναῖς ὁρμήσας τὸ λοιπὸν εἷλκε χερσὶν ἐκεῖνον,
στρέφων καὶ πρὸς τοὺς Ἕλληνας ἐκ περικεφαλαίας·
καὶ τοῦτον ἂν ἀπέκτεινε Μενέλαος εὐθέως,
εἰ μή πως ἔσωσεν αὐτὸν ἡ Ἀφροδίτη τότε,
τὸν λῶρον ἀποκόψασα τῆς περικεφαλαίας,
καὶ τοῦτον ἀφαρπάξασα πρὸς τὸν αὐτοῦ κοιτῶνα,
ᾗ τις συνέκλινεν αὐτῷ τότε καὶ τὴν Ἑλένην·
τῆς Ἀφροδίτης μάνθανε νῦν τὴν ἀλληγορίαν.
Οἱ Ἀφροδίτης ἔχοντες γενέθλιον ἀστέρα
κείμενον τόποις ἀγαθοῖς, σώζονται καὶ κινδύνων·
ἐπεὶ δὲ τὸ γενέθλιον τοιοῦτον Ἀλεξάνδρου.

οὕτως ἐξέφυγε σωθεὶς, τοῦ λώρου κεκομμένου,
ἐπεὶ δὲ δρᾷ καὶ ποθεινοὺς τοὺς οὕτω γεννηθέντας,
πολλὰ ζυγομαχήσασαν πρὸς ἑαυτὴν Ἑλένην,
τὸ κάλλος εἵλκυσεν αὐτὴν καὶ μετὰ ποίαν ἦτταν·
καὶ τούτῳ συγκατέκλινεν ὥς περ νενικηκότι·
ὁ δὲ Μενέλαος αὐτὸν ὡς λέων ἀνηρεύνα·
ἔλεγε τότε τοιγαροῦν αὐτὸς ὁ Ἀγαμέμνων·
ἡ νίκη, Τρῶες, φαίνεται τυγχάνειν Μενελάου·
δότε λοιπὸν τὰ χρήματα, δότε καὶ τὴν Ἑλένην,
καὶ τὴν τιμὴν τὴν πρέπουσαν, τὴν οὖσαν κατὰ νόμους,
τὸ τῶν χρημάτων ἥμισυ, δῆλον τῶν ἐν τῇ πόλει.

---

## ὙΠΟΘΕΣΙΣ ΤΗΣ Δ. ὉΜΗΡΟΥ ῬΑΨΩΙΔΙΑΣ

Οἱ δὲ Θεοὶ παρὰ Διῒ πρὸς γῆν κεχρυσωμένην
καθιδρυμένοι σύμπαντες, Ἥβης κιρνώσης νέκταρ,
ἐδημηγόρουν βλέποντες τὴν πόλιν τὴν τῶν Τρώων,
καὶ περὶ τῆς πορθήσεως αὐτῆς ἐζυγομάχουν·
τέως κατῆλθεν Ἀθηνᾶ τῷ τότε πρὸς τοὺς Τρῶας,
καὶ Πάνδαρον παρέπεισε Μενέλαον τοξεῦσαι·
ἑστώτων τῶν ἀρίστων δὲ κύκλῳ τοῦ Μενελάου,
καὶ τοῦ Μαχάωνος αὐτοῦ τὸ τραῦμα θεωροῦντος,
ἔνοπλον Τρώων τὸ πεζὸν ἐχώρει καθ' Ἑλλήνων·
ἀφεὶς δὲ τὸν Μενέλαον εὐθέως Ἀγαμέμνων,
τὸ στράτευμα καθώπλιζεν ἀθρόως πρὸς τὴν μάχην·
πεζὸς δὲ διερχόμενος πάντας τοὺς ἡγεμόνας,
τοὺς σπεύδοντας μὲν ὤτρυνεν ἐπαίνοις πρὸς τὴν μάχην
Ἰδομενέα, Αἴαντας, τὸν Νέστορα σὺν τούτοις·
τοὺς δὲ ῥαθύμους, αὐστηροῖς ἐπέπλησσε τοῖς λόγοις,

τὸν Μενεσθέα, καὶ αὐτὸν ἅμα τὸν Ὀδυσσέα,
καὶ Διομήδη σὺν αὐτοῖς υἱὸν τὸν τοῦ Τυδέως.
Τῶν Τρώων καὶ Ἑλλήνων δὲ τῷ τότε μισγομένων,
θόρυβος ἤρθη φοβερὸς καὶ κτύπος τῶν ἁρμάτων,
ὡς χειμερίων ποταμῶν ἐπιῤῥοὴ ῥαγδαίων
ἀπὸ πετρώδους ὑψηλοῦ κρημνιζομένων ὄρους.
Καὶ πρῶτος μὲν Ἀντίλοχος, βαλὼν ἐν τῷ μετώπῳ,
ἀνῄρηκεν Ἐχέπωλον υἱὸν τοῦ Θαλυσίου.
Ἀγήνωρ δ' Ἐλεφήνορα τὸν στρατηγὸν Εὐρίπου
ἕλκοντα τὸν Θαλύσιον καὶ μέλλοντα σκυλεύειν,
τρώσας δορὶ κατὰ πλευρῶν ἀπέκτεινεν εὐθέως.
Αἴας δ' ὁ μέγας ἐν δορὶ βαλὼν κατὰ τὸ στῆθος,
ἀνεῖλε Σιμοείσιον, νέον ὡραῖον, οἷον.
Ἄντιφος τοῦ Πριάμου δὲ νόθος υἱὸς ὑπάρχων
σύροντα Σιμοείσιον γυμνῶσαι πανοπλίας
Λεῦκον τὸν Ἰθακήσιον, κτείνει βαλὼν βουβῶνι.
Νόθον δὲ Δημοκόωντα πάλιν υἱὸν Πριάμου
ὁ Ὀδυσσεὺς ἀνῄρηκε βαλὼν, κατὰ τὸν κόρσην.
Ὁ Πείρως ὁ Ἰαμβράσου δὲ, ὃς ἦν ἀπὸ τῆς Αἴνου
ἡγεμονεύων τῶν Θρᾳκῶν τῶν παρελλησποντίων,
ἀπέκτεινε Διώρεα υἱὸν Ἀμαρυγκέως,
τῶν Ἐπειῶν τὸν στρατηγὸν, τουτέστι τῶν Ἠλείων,
λίθῳ τραχεῖ τὴν δεξιὰν κνήμην ἐκείνου κόψας,
εἶτα καὶ δόρατος πληγῇ ἔντερα τούτου χέας.
Τὸν Πείρωα δ' ἀπέκτεινε τοῦτον, ὁ Θόας πάλιν
ὑπὲρ μαζὸν τῷ δόρατι τὸ πρῶτον δορατίσας,
εἶτα καὶ τὴν γαστέρα δὲ τούτου τῷ ξίφει τύψας.
Οὗτοι μὲν πάντες ἔπεσον ἄνδρες ἐξ ἡγεμόνων·
τοῦ δὲ κοινοῦ πολυπληθεῖς ἦσαν νεκρῶν σωρεῖαι.
Τὰ μὲν τῆς ὑποθέσεως πάντα τῆς δέλτα τάδε·
τὴν δὲ θεῶν νῦν μάνθανε πᾶσαν ἀλληγορίαν.

Μὴ Χερουβὶμ, μὴ Σεραφὶμ ὧδε θεούς μοι νόει,
ὥς περ Ψελλὸς ἐδίδαξεν ὁ πάνσοφος ἐκεῖνος,
οὐκ οἶδα πῶς εἰπεῖν παίζων ἢ καὶ σπουδάζων ἄρα·
οὐδὲν γὰρ πρὸς τὸν Ὅμηρον ἅ περ φησὶν ἐκεῖνος·
ἀσύντροχα πρὸς δόξαν γὰρ εἰσὶ τὴν Ὁμηρείαν,
ὥς περ ζωὴ καὶ θάνατος καὶ τῶν ἀντιθετούντων.
Ὁ Ὅμηρος ἐνταῦθα γὰρ ἀστρολογῶν νῦν γράφει·
μετὰ τὴν ἧτταν Πάριδος τὴν παρὰ Μενελάου,
ἐπιβλαβὲς θεμάτιον ὑπῆρχε τῶν ἀστέρων,
τοὺς, οὕς περ λέγει καὶ θεοὺς ἐν γῇ κεχρυσωμένῃ,
ἐνιδρυμένους παρ' αὐτῷ τῷ ζωηφόρῳ κύκλῳ,
καὶ πίνοντας τοῦ νέκταρος Ἥβης οἰνοχοούσης·
ἀεὶ δὲ περιτρέχοντας τὸν ζοφερὸν τὸν κύκλον,
δύνοντας, ἀνατέλλοντας, πάσας ποιοῦντας στάσεις·
τουτων τῷ τότε τοιγαροῦν ὁ Κρόνος καὶ ὁ Ἄρης,
οἱ τῶν ἀστέρων κάκιστοι καὶ βλαπτικοὶ τῶν ἄλλων,
ἦσαν τετραγωνίζοντες ἀλλήλους ἐν τῇ φαύσει·
τὸ δὲ τοιοῦτο, κάκιστον θεμάτιον ὑπάρχει,
καὶ πόρθησιν ἐσήμαινεν ὅσον οὐκ ἤδη Τροίας·
τέως δὲ τότε γέγονε καί τις ἀστὴρ κομήτης,
ὅς τις σημεῖον πέφυκε γίνεσθαι καὶ πολέμων,
ὃν Ἀθηνᾶς κατέλευσιν Ὅμηρος εἶναι λέγει
ἐξ Ἥρας παροτρύνσεως· ἤγουν, Ἑρμοῦ ἀστέρος·
ταῦτα γὰρ περιττώματα τυγχάνουσιν ἀέρος,
ἀρεϊκὰ τυγχάνοντα καὶ τοῦ Ἑρμοῦ ἀστέρος·
οἱ Πυθαγόρου δὲ φασὶν ἀστέρας εἶναι τούτους,
ὡς τοὺς λοιποὺς τοὺς πλάνητας ἐν χρόνοις φαινομένους·
ἐπεὶ δὲ ταῦτα σήμαντρα τυγχάνουσι πολέμων,
ὁ Πάνδαρος ὡς εἴπομεν οὕτω κεκινημένος,
τοξεύει τὸν Μενέλαον πρὸς μέλος τοῦ ζωστῆρος,
καὶ τότε μὲν ὁ πόλεμος εὐθέως ἀνεῤῥάγη,

καὶ πέπτωκε σφαττόμενος ὁ δεῖνα τε καὶ δεῖνα,
ὧν πρὸ μικροῦ κατὰ λεπτὸν ἐγράψαμεν τὰς κλήσεις·
ὅσον οὐκ ἤδη δε λοιπὸν κατέπιπτε καὶ Τροία,
οὗ περ καιρῷ παραδρομὴν εἰς πόρθησιν ἐκείνης,
θεῶν βουλὴν ὠνόμασεν βλεπόντων πρὸς τὴν Τροίαν·
Δία δ᾽ ἐνταῦθα νόησον, ἀστέρα τὸν πλανήτην·
τὴν Ἥραν πάλιν, τὸν Ἑρμῆν· τὴν Ἀθηνᾶν, σελήνην,
εἷς γὰρ ἀστὴρ ὁ Ἡρακλῆς, Ἑρμῆς τε καὶ ἡ Ἥρα·
εἷς πάλιν καὶ ἡ Ἄρτεμις, ἡ Ἀθηνᾶ, σελήνη.

## ὙΠΟΘΕΣΙΣ ΤΗΣ Ε. ὉΜΗΡΟΥ ῬΑΨΩΙΔΙΑΣ

Τότε τῷ Διομήδει τε τόλμαν καὶ καρτερίαν
ἡ Ἀθηνᾶ παρέσχηκε δοξάζουσα τὸν ἄνδρα·
ἐκ περικεφαλαίας δὲ τούτου καὶ τῆς ἀσπίδος
πῦρ ἀφλεγὲς κατέκαιεν ὅμοιον τῷ κυνάστρου.
Μάθε τὸ ἀλληγόρημα τοῦτο μικρὸν ὑπάρχον·
ὁ Διομήδης θέλων δὲ τότε γνωσθῆναι πᾶσι,
κάτοπτρον κατεσκεύασεν ἀσπίδι καὶ τῷ λόφῳ,
πυρὸς ἐκπέμπων δόκησιν ἀκτῖσι ταῖς ἡλίου,
οἷον ἐνῆν καὶ Ἀχιλεῖ φόβηστρον πολεμίοις·
οὐ καυστικὸν δὲ κάτοπτρον οἷον τοῦ Ἀρχιμήδους,
ᾧ περ ὁ γέρων ἔφλεξεν ὁλκάδας τὰς Μαρκέλλου
ἐκ τῆς ἀνακλάσεως ἡλίου τῶν ἀκτίνων,
ἀλλ᾽ ἀφλεγές· εἰς πτόησιν ταγμάτων ἐναντίων·
οὕτω γὰρ δρᾷν κελεύουσι πάντες μηχανογράφοι,
Φίλων καὶ Φιλεταίριος, Ἰσόης, Ἀρχιμήδης,
Ἥρων καὶ Διονύσιος, Σώστρατος τὲ καὶ Πάππος,
ὁ Παλλαδᾶς, Ἀθήναιος σὺν τῷ Ἀπολλοδώρῳ,

Κτησίβιος, Ἀνθέμιος μετὰ τοῦ Πατροκλέους·
ἐξ ὧν περ ἀνεγνώκειμεν πολλὰς μηχανουργίας,
τοιαῦτα κάτοπτρα ποιεῖν λόφοις καὶ ταῖς ἀσπίσιν,
εἰ δυνατὸν καὶ θώραξιν, ἅμα καὶ σπάθαις τούτων,
ὅπως παντοίως ἔκπληξις εἴη τοῖς ἐναντίοις.
Τοιοῦτον ἔχων κάτοπτρον τοῖς ὅπλοις Διομήδης,
εἰς μέσον παρεισέδραμε τὸ στόμα τοῦ πολέμου.
Φηγέα δε τὸν Δάρητος ξίφει βαλὼν, ἀνεῖλε·
ὃς Δάρης πυρεργάτιδα μετήρχετο τὴν τέχνην,
οὓς ἱερεῖς ὁ Ὅμηρος εἶναι φησὶν Ἡφαίστου.
Ὁ δ' Ἀγαμέμνων δόρατι βαλὼν τῷ μεταφρένῳ
τῶν Βιθυνῶν ἀπέκτεινεν τὸν στρατηγὸν Ὀδίον.
Ἰδομενεὺς τὸν Φαῖστον δὲ τρώσας κατὰ τὸν ὦμον
ἐκ Σάρδεων ὑπάρχοντα φίλον υἱὸν τοῦ Βώρου.
Τὸν τοῦ Στροφίου δὲ υἱὸν, Σκαμάνδριον τὴν κλῆσιν,
Μενέλαος ἀνήρηκεν· ἄριστον κυνηγέτην,
φεύγοντα τὸ μετάφρενον τρώσας τῷ δορατίῳ.
Φέρεκλον δὲ τὸν ναυπηγὸν τῶν Ἀλεξάνδρου πλοίων,
δορὶ βαλὼν κατὰ γλουτὸν ὁ Μηριόνης κτείνει·
εὐθὺς γὰρ ἐξεπέρασε τὸ δόρυ πρὸς τὴν κύστιν.
Πήδαιον δὲ Ἀντήνορος νόθον υἱὸν ὁ Μέγης,
ἐξόπισθε τῆς κεφαλῆς τὸ στόμα περονήσας.
Εὐρύπυλος δ' Ὑψήνορα ξίφει τεμὼν τὴν χεῖρα,
παῖδα τὸν Δολοπίονος, Σκαμάνδρου ἱερέως,
ἀνδρὸς ἰχθῦς θηρεύοντος ἐν ποταμῷ Σκαμάνδρῳ.
Τὸν Διομήδη δὲ πολλοὺς ὡς πρὸς φυγὴν κλονοῦντα
πρὸς δεξιὸν ἐτόξευσε Πάνδαρος ὦμον τότε·
τὸ βέλος δὲ πρὸς τοὔμπροσθεν κοιλὸν ὀστοῦν ἐξῆλθε·
ὁ Σθένελος ἀνέσπασεν, ὁ δ' ἀγριάνας μᾶλλον
δορὶ βαλὼν ὑπὲρ μαζὸν Ἀστύνοον ἀνεῖλεν·

ἀνεῖλε καὶ Ὑπείρονα πλήξας τὴν ὠμοκλεῖδα,
ξίφει τεμών τε παρεκτὸς τῆς ῥάχεως τὸν ὦμον,
Ἄβαντα καὶ Πολύϊδον τοὺς ἀδελφοὺς ἀνεῖλεν,
υἱοὺς τοὺς Εὐρυδάμαντος· ἀνδρὸς ὀνειροκρίτου·
καὶ τοὺς υἱοὺς τοῦ Φαίνοπος, Θόωνα τὲ καὶ Ξάνθον,
Ἐχέμονα καὶ Χρόμιον υἱούς τε τοῦ Πριάμου,
ἀπέκτεινε καὶ Πάνδαρον βαλὼν περὶ τὴν ῥῖνα,
καὶ τὸν Αἰνείαν ἔθραυσε λίθῳ βαλὼν μεγάλῳ,
θλάσας αὐτοῦ κοτύλην τε, κόψας καὶ τὰς νευρώσεις.
Ἡ δὲ γενέθλιος αὐτὸν ἔσωσεν Ἀφροδίτη,
καὶ τόπος ὁ τῆς Ἴδης δὲ ὅπου αὐτὸς ἐσπάρη·
ἔφευγε γὰρ τοῖς δένδρεσιν ὡς σκέπη κεχρημένος·
ἅ περ φησὶν ὁ Ὅμηρος χεῖρας τῆς Ἀφροδίτης,
καὶ πέπλου πτύγμα φαεινοῦ σώσαντος τὸν Αἰνείαν.
Χειρὸς δὲ τρῶσιν νόησον εἶναι τῆς Ἀφροδίτης
ἢ ὅτι φεύγοντος αὐτοῦ, δραμὼν καὶ πρὸς τὸ ὄρος,
οὗ περ αὐτὸς ἐσώζετο τὴν ὕλην συνδονήσας,
εἰς πλείονα τὴν πτόησιν ἐνέβαλεν ἐκεῖνον,
ἢ ὅτι προθυμούμενον ἔπαυσε τοῦ πολέμου·
ὅθεν τὴν χεῖρα λέγουσι τρῶσαι τῆς Ἀφροδίτης·
τὴν πρακτικὴν γὰρ ἔσβεσεν ἐπιθυμίαν τούτου,
καὶ τὴν χροιὰν μετήλλαξε τῆς θέας τοῦ προσώπου·
ὅθεν οὐδ' αἷμα γέγραφε τοῦ τραύματος ῥυῆναι,
οἷον ἰχῶρα δὲ τινὰ τὸν ὦχρον οὕτω λέγων.
Τότε λοιπὸν ὁ Σαρπηδὼν ἀνήγειρε τοὺς Τρῶας·
κτείνει δὲ Δηϊκόωντα πρῶτος ὁ Ἀγαμέμνων,
ὄντα φίλον Αἰνείου μὲν, υἱὸν δὲ τοῦ Περγάσου,
τούτου τὸ σάκος ἐν δορὶ τεμὼν καὶ τὴν γαστέρα·
Θεραπευθεὶς Αἰνείας δὲ υἱὸς τοῦ Διοκλέους,
ἀπέκτεινε τὸν Κρήθωνα καὶ τὸν Ὀρσιλοχόν τε·

μικροῦ καὶ τὸν Μενέλαον ἔκτεινεν ἂν σὺν τούτοις,
εἰ μὴ συντόμως παρ' αὐτὸν Ἀντίλοχος παρέστη·
καὶ πέφευγεν Αἰνείας μέν· οὗτοι δ' ἀνεῖλον τότε,
ὁ μὲν τὸν Πυλεμένεα ἄρχοντα Παφλαγόνων,
ἔστῶτα τρώσας τῷ δορὶ κατὰ τὴν ὠμοκλεῖδα.
Ἀντίλοχος δὲ Μύδωνα ἡνίοχον τὸν τούτου
λίθῳ βαλὼν τὸ πρῶτον μὲν εἰς μέσον τὸν ἀγκῶνα,
εἶτα, κατὰ τὴν μήνιγγα πλήξας αὐτοῦ τῷ ξίφει.
Ὁ Ἕκτωρ δὲ σὺν Ἄρεϊ, θυμῷ μηχικωτάτῳ,
Μενέσθην καὶ Ἀγχίαλον ἔκτεινε πρώτῃ μάχῃ.
Ὁ Αἴας δὲ τὸν Ἄμφιον υἱὸν τὸν τοῦ Σελάγου,
κατὰ τὸ ὑπογάστριον τὸ δόρυ περονήσας,
ἀντιμαχῶν τῷ Ἕκτορι καὶ πᾶσι Τρωσὶ μόνος,
καὶ δόρατα δεχόμενος πλείονα καὶ χαλάζης,
ὅτε Τυδείδης ἦν τραπεὶς ὁ ἀριστεὺς ὁ μέγας
οὐκ αἰδεσθεὶς τὴν Ἀθηνᾶν τὴν τούτῳ συνεργοῦσαν,
καὶ πῦρ ὅπερ ἐξέπεμπεν ἐκ κεφαλῆς, καὶ ὤμων.
Ὁ Σαρπηδὼν Τληπόλεμον βαλὼν δὲ πρὸς αὐχένα,
τοῦ Ἡρακλέος τὸν υἱὸν κτείνει καὶ Ἀστυόχης·
αὐτὸς δ' ἐλειποψύχησε μηρῷ προβεβλημένος,
ἐκ Τληπολέμου τοῦ δορὸς, ἄμφω γὰρ ἧκαν ἅμα.
Ὁ Ὀδυσσεὺς ἀνεῖλε δὲ πολλοὺς ἐκ τῶν Λυκίων,
τὸν Κοίρανον, Ἀλάστορα, τὸν Χρόμιον σὺν τούτοις,
Ἄλκανδρον, καὶ Νοήμονα, Πρύτανιν, Ἅλιόν τε.
Ἕκτωρ δὲ τὸν Οἰνόμαον, τὸν Τρῆχον, τὸν Ὀρέστην,
τὸν Τεύθραντα καὶ Ἕλενον μετὰ τοῦ Ὀρεσβίου·
ἀλλ' ὅτε καὶ Περίφαντα υἱὸν τὸν Ὀχησίου
ἐφόνευσε σὺν Ἄρεϊ, θυμῷ μαχικωτάτῳ,
ὁ Διομήδης ἔφιππος πέλας ἐλθὼν ἐκείνου,
ἐς κενεῶνα τέτρωκεν, ὁρμαίνοντα θυμῶδες·
Τρῶες δ' ὡς εἶδον τὴν πληγὴν δορὸς πρὸς τὴν λαπάρην,

νομίσαντες τὸν θώρακα τμηθῆναι καὶ τὰς σάρκας,
ἤδη πεσεῖν δὲ καὶ νεκρὸν τὸν Ἕκτορα δοκοῦντες,
σμερδνὸν πάντες ἐβόησαν, ἀντήχησαν τὰ ὄρη.

---

## ῾ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ζ. ῾ΟΜΗΡΟΥ ῾ΡΑΨΩΔΙΑΣ

Τῶν Τρώων ἐμονώθη δὲ καὶ Ἀχαιῶν ἡ μάχη
ἤγȣν ἐρήμη γέγονε θεῶν τῆς συμμαχίας·
θεȣ̀ς ἐνταῦθα δὲ καλεῖ, τὰς ψυχικὰς δυνάμεις·
ἀφ᾽ ȣ̃ γὰρ Ἕκτορος θυμὸν κατέπαυσαν τὸν Ἄρην·
ἡ Διομήδȣς Ἀθηνᾶ, φρόνησις σὺν ἀνδρείᾳ,
χωρὶς θεῶν ἐμάχοντο Ἕλληνες τὲ καὶ Τρῶες·
ἀπῆν γὰρ Ἕκτορος θυμὸς καὶ δόλοι Διομήδȣς·
ἐξήπλωτο δ᾽ ὁ πόλεμος, ἐξήνθησεν ἡ μάχη,
μετὰ τῶν δύο ποταμῶν Σιμόεντος καὶ Ξάνθȣ.
Πρῶτος δ᾽ ὁ Τελαμώνιος Αἴας Ἑλλήνων πύργος
ἀνῄρηκεν Ἀκάμοντα υἱὸν τὸν τȣ̃ Εὐσώρȣ,
τὸν ἡγεμόνα Θρᾳκῶν τῶν ὄντων ἐκ τῆς Αἴνȣ,
δορὶ κατὰ τὸ μέτωπον ἐκεῖνον περονήσας.
Ὁ Διομήδης δ᾽ Ἄξυλον τὸν ἐξ Ἀρίσβης κτείνει,
υἱὸν ὄντα τȣ̃ Τεύθραντος, σύναιμον τῆς Τεκμήσσης,
ἄνθρωπον πολυχρήματον πάντας ξενοδοχȣ̃ντα,
αὐτὸν καὶ τὸν Καλήσιον δȣ̃λον ἀνεῖλε τȣ́τȣ.
Τὸν Δρῆσον καὶ Ὀφέλτιον Εὐρύαλος ἀνεῖλε,
καὶ Αἴσηπον καὶ Πήδασον ἅμα σὺν τȣ́τοις κτείνει
υἱοὺς τȣ̃ Βȣκολίωνος καὶ τῆς Ἀβαρβαρέης,
ὃς Βȣκολίων ἀδελφὸς ἦν νόθος τȣ̃ Πριάμȣ.
Ἀστύαλον παρέπεμψε πρὸς Ἅδην Πολυποίτης,
ὁ Τεῦκρος Ἀρετάονα, ὁ Ὀδυσσεὺς Πιδύτην,

Ἀντίλοχος τὸν Αὔληρον, Ἔλατον Ἀγαμέμνων,
περὰ Σατνίῳ ποταμῷ τὴν Πήδασον οἰκοῦντα·
ὁ Βοιωτός δε Λήϊτος τὸν Φύλακον ἀνεῖλε,
Μελάνθιον δ' Εὐρύπυλος· τὸν Ἄδραστον δὲ ζῶντα
κατέσχεν ὁ Μενέλαος τοῦ ἅρματος πεσόντα·
ἐν γὰρ τῷ φεύγειν, τοῦ ῥυμοῦ θραυσθέντος ἐν μυρίκῃ,
κατέπεσε τοῦ ἅρματος, οὕτω καὶ κατεσχέθη·
καὶ σώζειν τοῦτον ἔμελλε Μενέλαος οἰκτείρας,
ἀλλ' Ἀγαμέμνων ἔκτεινε λαπάραν δορὶ τρώσας·
Νέστωρ δ' ἐξάκουστον βοᾷ, λέγων Ἀργείοις τάδε·
τοὺς ἄνδρας, ἄνδρες, κτείνωμεν πρῶτον, ὡς ἔστι πρέπον,
εἶτα τὰς τούτων ἥσυχοι γυμνοῦτε πανοπλίας·
μὴ δὲ σκυλεύοντες νεκροὺς πολέμου ῥαθυμεῖτε.
Ἕκτωρ Ἑλένου δὲ βουλαῖς ἐλθὼν καὶ πρὸς τὴν Τροίαν,
τὰς γηραιὰς ἀθροίσασαν ἐκέλευσεν Ἑκάβην
ἐν τῷ ναῷ τῆς Ἀθηνᾶς θῦσαι λαμπρὰν θυσίαν,
βοῦς ἐξ ἀγέλης δώδεκα τῶν ἐνιαυσιαίων,
καὶ πέπλον ποικιλύφαντον ἀπὸ τῶν Σιδωνίων
θεῖναι τοῖς τοῦ ἀγάλματος γόνασιν, ὅπως παύσῃ
τὸν Διομήδη μάχεσθαι κατὰ τῶν Τρώων οὕτω.
Γλαῦκος τοῦ Ἱππολόχου δὲ σύμμαχος ὢν τῶν Τρώων,
καὶ Διομήδης ἀριστεὺς ὑπάρχων τῶν Ἑλλήνων,
τοὺς ἵππους ἀντεπήλαυνον ἀλλήλοις ὡς πρὸς μάχην,
ἐκ λόγων δὲ γνωρίσαντες εἶναι παππῷοι φίλοι.
Βελλοροφόντης γὰρ αὐτὸς, ὁ πάππος ὁ τοῦ Γλαύκου,
ὁ παριδὼν τὴν Ἄντειαν γυναῖκα τὴν τοῦ Προίτου,
κατ' ἄλλους δὲ Σθενέβοιαν, ἔρωτα σχοῦσαν τούτου,
ἀνὴρ ὁ συνετώτατος, ὁ Χίμαιραν φονεύσας,
θηρίον τὸ τρικέφαλον τῷ πτερωτῷ Πηγάσῳ,
ἤγουν ὁ τροπωσάμενος ἔθνη τριπλᾶ τῷ πλοίῳ
Σολύμους, Ἀμαζόνας τὲ, τοὺς τῆς ἐνέδρας τρίτους·

Σολύμους μὲν, ὡς λέοντας ὄντας γενναίους ἄνδρας,
ὡς χίμαιραν, ὡς αἶγά δε κρημνοβατοῦσαν πάντα,
τῶν Ἀμαζόνων τὸν στρατὸν, Ἄρεος θυγατέρων·
ὡς δράκοντα τὴν ἔνεδραν τῶν ἐλλαχώντων τοῦτον·
καὶ θυγατέρα δι' αὐτὸ λαβὼν τὴν Ἰοβάτου,
τὴν κλῆσιν τοῦ ὀνόματος ἔχουσαν Φιλονόην,
φίλος ὑπῆρχε τῷ Οἰνεῖ τῷ πάππῳ Διομήδους·
ἀλλήλοις ἀνταμείβουσιν αὐτῶν τὰς πανοπλίας.
ὁ Διομήδης μὲν χαλκῆν ἀντὶ χρυσῆς πρὸς Γλαῦκον,
ὁ Γλαῦκος δ' ἔμπαλιν χρυσῆν ὡς πρὸς χαλκῆν ἀμείψας·
ἡ εἱμαρμένη γὰρ τὸν νοῦν ἐδόξασε τοῦ Γλαύκου,
χάριν φιλίας τὴν χρυσῆν ὡς πρὸς χαλκῆν ἀλλάξας.
Ἕκτωρ δὲ μετὰ κέλευσιν τῆς, ἧς εἶπον, θυσίας,
ἦλθε καὶ πρὸς Ἀλέξανδρον πρὸς πόλεμον ὀτρύνων,
καὶ παροτρύνας καὶ αὐτὸν, οἴκοις ἰδίοις ἦλθεν,
ἰδεῖν αὐτοῦ τὴν σύζυγον, τὴν κλῆσιν Ἀνδρομάχην,
τὴν παῖδα Ἠετίωνος Κιλίκων βασιλέως,
καὶ σὺν τῇ Ἀνδρομάχῃ δὲ τὸν πεφιλμένον παῖδα,
ὃν Ἕκτωρ μὲν ὠνόμαζε Σκαμάνδριον τὴν κλῆσιν,
οἱ δ' ἄλλοι Ἀστυάνακτα, ῥύστης γὰρ Τρώων Ἕκτωρ·
τὴν δ' ἐν τοῖς οἴκοις οὐδαμῶς εὗρεν, ἀλλ' ἐπὶ πύργου
ἑστῶσαν καὶ δακρύουσαν ἐν τῷ νικᾶσθαι Τρῶας·
ἣν λογισμοῖς τοῖς πρέπουσι σωφρόνως νουθετήσας,
καὶ τοῦ παιδὸς ἁψάμενος ὡς πατρικῶς φιλήσων,
καὶ τοῦτον, ἐπευξόμενος, ὡς οἶδε πτοηθέντα,
τὴν πανοπλίαν τὴν αὐτοῦ, καὶ πρὸς τροφὸν στραφέντα,
γελάσας καὶ πρὸς γέλωτα κἀκείνην δε κινήσας,
ὥρμησε πρὸς τὸν πόλεμον θρῆνον λιπὼν κατ' οἴκους·
οὐδὲ γὰρ ἦν προσδόκιμος νοστῆσαι τοῦ πολέμου·
Ἕκτορος δὲ πρὸς πόλεμον ὁρμῶντος ἀποτρέχειν,
ἐν δόμοις οὐδ' Ἀλέξανδρος ἐβράδυνεν οἰκείοις·

ἀλλ' ὁπλισθεὶς ἐξέδραμεν ὥς περ στατός τις ἵππος,
πρὸς πεδιάδας ποταμῶν γαυρούμενος ἐκτρέχει,
ὑψῶν αὐτοῦ τὴν κεφαλήν, τινάσσων καὶ τὰς τρίχας·
οὕτως ἐξ ἀκροπόλεως ὁ Πάρις τότε τρέχων,
λαμπρὸς ἐν ὅπλοις καὶ φαιδρός, δίκην αὐγῆς ἡλίου,
τὸν Ἕκτορα προέφθακε πρὶν ἐξελθεῖν τῆς Τροίας·
ὅν περ ἐπαίνοις πρέπουσιν Ἕκτωρ εἰσδεδεγμένος,
ἐπεύξατο τοὺς Ἕλληνας τῆς Τροίας ἐξελάσαι.

## ὙΠΟΘΕΣΙΣ ΤΗΣ Η. ὉΜΗΡΟΥ ῬΑΨΩΙΔΙΑΣ

Συνάμα τούτῳ τῶν πυλῶν ἐξώρμησαν τῆς Τροίας
ἀμφότεροι πρὸς πόλεμον ἐμπείρως τεθηγμένοι.
Καὶ Πάρις μὲν ἀπέκτεινε Μενέσθιον ἐξ Ἄρνης,
υἱὸν τὸν Ἀριθόου τε καὶ τῆς Φιλομεδούσης,
ὃν σύμπαντες Ἀρίθοον ἐκάλουν κορυνήτην·
οὐ τόξοις γάρ, οὐ δόρατι καὶ στόματι μαχαίρας,
ἀλλὰ ῥοπάλῳ σιδηρῷ τὰς μάχας συνεκρότει.
Ἕκτωρ Ἠϊονέα δὲ βαλὼν πρὸς τὸν αὐχένα,
ὁ Γλαῦκος δὲ Ἰφίνοον τοῦ Δεξίου τὸν παῖδα
ἀνῄρηκε τῷ δόρατι βαλὼν κατὰ τὸν ὦμον.
Ἡ δὲ γλαυκῶπις Ἀθηνᾶ, ἡ φρόνησις Ἑλλήνων,
ἰδοῦσα τούτους κτείνοντας στρατὸν τὸν τῶν Ἑλλήνων,
ὁρῶσα καὶ τὸν ἥλιον νίκην Τρωσὶ διδόντα
τῷ πέμπειν κατὰ πρόσωπον Ἑλλήνων τὰς ἀκτῖνας,
ᾔτησε μονομάχιον Ἑλλήνων τε καὶ Τρώων·
καθιδρυνθέντων ἄμφω δὲ λοιπὸν τῶν στρατευμάτων,
αὐτὸς ὁ Ἕκτωρ ἀναστὰς μέσον τῶν στρατευμάτων
ᾔτησε τὸν βουλόμενον μονομαχεῖν Ἑλλήνων·

τῶν πάντων πτοηθέντων δὲ, Μενέλαος ὡπλίσθη
ὑβρίζων πάντας Ἕλληνας Ἕκτορα πτοηθέντας·
καὶ δὴ νεκρὸς ἂν ἔκειτο χερσὶ τοῖς Εκτορείαις,
εἰ μὴ κατέσχον ἅπαντες, ὁ δ' Ἀγαμέμνων πλέον.
Καὶ τότε Νέστωρ ἀναστὰς καὶ σχετλιάσας μέγα,
καὶ τὴν Ἐρευθαλίωνος εἰπὼν μονομαχίαν,
ὅν περ ἀνεῖλε νεαρὸς ὑπάρχων τῷ σαρκίῳ,
καὶ τέλος θεὶς τοῖς ῥήμασιν, εἰ νέος ἦν εἰσέτι
καὶ ἂν πρὸς μονομάχιον Ἕκτορι συνεπλάκη,
ἄνδρας ἐννέα πέπεικεν Ἑλλήνων ἀναστῆναι·
πρῶτον τὸν Ἀγαμέμνονα, δεύτερον Διομήδην,
εἶτα τοὺς δύο Αἴαντας καὶ τὸν Ἰδομενέα,
τὸν Μηριόνην μετ' αὐτοὺς, Εὐρύπυλον σὺν τούτοις,
καὶ Θόαντα, καὶ παίγνιον Ὁμήρου, Ὀδυσσέα,
οὗτοι πάντες ἀνέστησαν τάχα μονομαχῆσαι·
πάντων δὲ λόγοις Νέστορος κλήρους βαλόντων τότε
κυνῇ τοῦ Ἀγαμέμνονος, τοῦ Αἴαντος ἐξῆλθεν,
εἴ τε τυχαίως προσδραμὼν ἢ κατ' οἰκονομίαν·
ὁ Νέστωρ τότε γὰρ κινῶν ἐτύγχανε τοὺς κλήρους.
Ἐκ κήρυκος τὸν κλῆρον δὲ δεξάμενος ὁ Αἴας
ὥρμησε καθοπλίζεσθαι, τοῖς Ἕλλησι δὲ λέγει·
Ἕκτορα, φίλοι Ἕλληνες, δοκῶν νικῆσαι, χαίρω·
ἀλλ' ἕως οὗ ἐνδύομαι αὐτὸς τὴν πανοπλίαν,
τῇ ἀφανεῖ κατεύχεσθαι σύμπαντες εἱμαρμένῃ,
σιγῇ καὶ λάθρα καθ' αὐτοὺς, μὴ μάθωσιν οἱ Τρῶες·
εἴ τε καὶ φανερώτερον, φόβος οὐδεὶς ὑπάρχει·
οὕτως εἰπὼν καὶ ὁπλισθεὶς, κραδαίνων καὶ τὸ δόρυ,
τρανῶς ἐβάδιζε γελῶν ἐκπληκτικῷ προσώπῳ·
ὅν περ μεγάλως ἔχαιρον οἱ Ἕλληνες ὁρῶντες,
τρόμος πολὺς δὲ τοῖς Τρωσὶ καὶ Ἕκτορι σὺν τούτοις·
Αἴας δὲ φέρων θυρεὸν στήθει στεῤῥὸν ὡς πύργον,

τὸν ὅν περ κατεσκεύασε Τύχιος ὁ Ὑλαῖος,
ἑπτὰ βοῶν μὲν ἔχοντα βύρσας ὀχυρωτάτας,
ἄνω πασῶν δε τῶν βυρσῶν, σίδηρον ὥς περ βύρσαν·
ἔϛη πλησίον Ἕκτορος καὶ μάχην συνεκρότει.
Καὶ πρῶτος Ἕκτωρ μὲν βαλὼν τὴν Αἴαντος ἀσπίδα,
τὸν σίδηρον ἐξέκοψεν, ἕξ τε βοείας βύρσας·
ἐν βύρσῃ τῇ ἑβδόμῃ δὲ τὸ δόρυ κατεσχέθη·
δεύτερος Αἴας δὲ βαλὼν, κόπτει καὶ τὴν ἀσπίδα,
καὶ θώρακα τὸν Ἕκτορος, μικρȣ̃ καὶ τὴν λαπάραν,
εἰ μή πȣ κλίνας τὸ πλευρὸν ἐξέφυγε τὸν μόρον·
ἐξπάσαντες δὲ δόρατα, συνέπεσον ἀλλήλοις·
καὶ πλήττει πάλιν Ἕκτωρ μὲν τȣ̃ Αἴαντος τὸ σάκος,
καὶ τὸν χαλκὸν οὐκ ἔκοψε· κλίνεται δὲ τὸ ξίφος·
Αἴας πηδήσας πλήττει δε τὴν Ἕκτορος ἀσπίδα·
καὶ τὴν ἀσπίδα κόπτει μὲν, καὶ μέρος τȣ̃ τραχήλȣ·
κρουνοί δ' ἐχώρȣν αἵματος· Ἕκτωρ δ' ȣ̓χ ὑπεχώρει·
ἄρας δὲ λίθον μέλανα μέγα τραχὺν τῷ τότε,
πρὸς ὄμφαλον τȣ̃ Αἴαντος πάλιν τὸ σάκος βάλλει·
καὶ πλεῖον γέγονεν ȣ̓δέν· ἤχησε δὲ τὸ σάκος·
δεύτερος Αἴας δὲ βαλὼν μείζονα τȣ́τȣ λίθον
ϛρογγύλον, ἔπεμψε ϛεῤῥῶς, καὶ λύει τὴν ἀσπίδα,
λύει καὶ γόνυ Ἕκτορος· ὁ δ' ὕπτιος ἡπλώθη
ἀσπίδι τȣ́τȣ ϛηριχθεὶς, τὸν δ' ὤρθωσεν Ἀπόλλων·
Αἴαντος κατὰ πρόσωπον ἥλιος γὰρ ἐκλάμπων,
αὐτὸν ἐκώλυσεν ἰδεῖν τὴν Ἑκτορείαν πτῶσιν·
τὸν Ἕκτορα δ' ἀνήγειρεν, Αἴαντος ȣ̓κ ἰδόντος·
καὶ τότε δὴ καὶ ξίφεσιν ἔτρωσαν ἂν ἀλλήλȣς,
εἰ μὴ Ταλθύβιος αὐτȣ̀ς εἶρξε καὶ ὁ Ἰδαῖος·
ἡ νὺξ γὰρ κατελάμβανεν, ἡμέρας πληρουμένης·
οὕτω μονομαχήσαντες, ἔδον ἀλλήλοις δῶρα·
ὁ Ἕκτωρ μὲν τῷ Αἴαντι ξίφος σὺν ξιφοθήκῃ,

καὶ πᾶσι παραρτύμασι καὶ τῇ σκευῇ τῇ τούτου·
ὁ Αἴας δὲ τῷ Ἕκτορι κοκκοβαφῆ ζωστῆρα,
καὶ τούτῳ τῷ ζωστῆρι μὲν Ἕκτωρ ἐξ Ἀχιλέως
θανὼν, δεθεὶς ἐσύρετο μετὰ μικρὸν τὸν χρόνον,
Αἴας δ᾽ ἀνεῖλεν ἑαυτὸν τοῦ Ἕκτορος τῷ ξίφει·
ἀλλὰ ταυτὶ μὲν ὕστερα· τότε δὲ χωρισθέντες,
Αἴας ἀπῆλθεν Ἕλλησι, τοῖς δὲ Τρωσὶν ὁ Ἕκτωρ.
Ὁ δ᾽ Ἀγαμέμνων θύσας βοῦν, εὐώχει τοὺς ἀρίστους·
ἐτίμα δὲ τὸν Αἴαντα ῥάχιν βοὸς παρέχων·
μετὰ τροφὴν ὁ Νέστωρ δὲ δημηγορεῖ γενέσθαι
συναγωγὴν τὴν αὔριον, Ἑλλήνων τῶν σφαγέντων
καὶ τάφον ἕνα, καὶ πυρὰν μίαν κοινὴν ἁπάντων,
καὶ πόλιν εἰς ἀσφάλειαν τῶν ζώντων καὶ τῶν πλοίων.
Ἀντήνωρ λέγει δὲ Τρωσὶν Ἑλένην ἀποδοῦναι,
μηδὲ ματαίως μάχεσθαι πατήσαντας τοὺς ὅρκους·
Ἀλέξανδρος δ᾽ ἀντέλεξεν οὐχὶ διδοὺς Ἑλένην·
ὅσα δ᾽ ἐξ Ἄργους ἔλαβε χρήματα δοῦναι λέγων,
καὶ ἔτι τούτων πλείονα· Πρίαμος δ᾽ ἔφη τότε·
νῦν μὲν δειπνοποιήσασθε· καὶ φυλακὴν ποιεῖσθε·
τῇ αὔριον Ἰδαῖος δὲ τοῖς Ἕλλησι λεγέτω
ὅσα φησὶν Ἀλέξανδρος τανῦν περὶ Ἑλένης·
καὶ παῦσιν αἰτησάσθω δε πολέμου παρ᾽ ἐκείνων,
ὡς κλαύσωμεν καὶ καύσωμεν νεκροὺς τοὺς πεπτωκότας.
Ἐλθόντος τῇ ἐπαύριον παρ᾽ Ἕλληνας Ἰδαίου,
καὶ καταγγείλαντος αὐτοῖς τὴν γνώμην τὴν τῶν Τρώων,
ἤρεσε μόνον, τὸ νεκρῶν στρατοῖς τοῖς ἀμφοτέροις·
ἐφ᾽ ἁμαξῶν δ᾽ ἀθροίσαντες, καίουσιν ἄμφω τούτους,
τοὺς ἑαυτῶν ἑκάτεροι δακρύσαντες ὡς δέον·
Ἕλληνες δὲ διέπραξαν ὥς περ ὁ Νέστωρ εἶπεν·
καὶ τάφον ἕνα καὶ πυρὰν δειμάμενοι καὶ πόλιν,
τὴν ἥν περ ἀπηργάσαντο μονοημέρῳ τάχει,

ὥς περ ὁ Σαρδανάπαλος Ταρσὸν καὶ Ἀγχιάλην
ὁ Ἀσυρίων βασιλεὺς παῖς Ἀνακυνδαράξου.
Ὁ Ποσειδῶν ὁ λέγων δὲ Διῒ περὶ τοῦ τείχους,
ὅτι τὸ τεῖχος ἔκτισαν ἄνευ θεῶν θυσίας,
καὶ τοῦ Διὸς οἱ λόγοι δὲ ταῦτα δηλοῦσιν εἶναι.
Ἐν τροπικοῖς οἱ Ἕλληνες ἦσαν πυργοποιοῦντες,
οὐχὶ χρηστὸν θεμάτιον κρατήσαντες ἀστέρων,
ὅθεν συντόμως ἔμελλε καταπεσεῖν τὸ τεῖχος
ἐπιφοραῖς ὑδάτων τε καὶ κύμασι θαλάσσης
μετὰ τὴν ὑπονόστησιν Ἑλλήνων πρὸς Ἑλλάδα·
ἐπεὶ βρονταὶ γεγόνασι, τούτου δὲ πυργουμένου,
αἱ δὲ βρονταὶ πεφύκασιν ὑδάτων καὶ ἀέρος,
εἰκότως ἄγει λέγοντα Διῒ τὸν Ποσειδῶνα·
ὅτι δ' εἰσὶν εὐέμπτωτα τὰ τροπικοῖς πραχθέντα
πᾶς ἀστρολόγος ἐκβοᾷ, καὶ καταρχαῖς ὁ Ἄμμων·
ἡλίου δ' ὄντος ἐν ζυγῷ τῶν τροπικῶν ζωδίων,
ἐπύργωσαν οἱ Ἕλληνες ἐκείνην τὴν πολίχνην
ἐν Ὀκτωβρίῳ τῷ μηνὶ, κατὰ φωνὴν Λατίνων·
εἰ δ' ἦν τῷ τότε τροπικοῖς οὖσα καὶ ἡ σελήνη
χωρὶς ἄλλης κακώσεως καὶ βλάβης τῶν ἀστέρων,
ἤρκεσαν ἂν κατάπτωσιν οὗτοι ταχέως πρᾶξαι.
Μετὰ δυσμὰς ἡλίου δὲ τοῦ τείχους πληρωθέντος,
ἐγίνοντο βουσφάγια καὶ δεῖπνοι τῶν Ἑλλήνων·
ἐλθόντων ἐκ τῆς Λήμνου δὲ καὶ πλοίων οἰνοφόρων,
ἅ περ ὁ Εὔηνος υἱὸς Ἰάσονος ἦν πέμψας,
ἔπινον ἐξωνούμενοι. δαιννύμενοι παννύχως·
ὁμοίως καὶ οἱ Τρῶες δὲ πάλιν κατὰ τὴν Τροίαν·
ὁ δ' οὐρανὸς παννύχιον ἐξαίσιον ἐβρόντα·
ὡς ὠχριᾶν τοὺς σύμπαντας τῷ φόβῳ ψυχουμένους·
εἶτα τῇ εἱμαρμένῃ δὲ θύσαντες κοιμηθῆναι.

## ʽΥΠΟΘΕΣΙΣ ΤΗΣ Θ. ʽΟΜΗΡΟΥ ʽΡΑΨΩΔΙΑΣ

Ἡμέρα μὲν ἐξήπλωτο πάσης τῆς γῆς τὸ πλάτος,
ὁ Ζεὺς δὲ πᾶσι τοῖς θεοῖς ἐδημηγόρει λέγων·
μή τε θεά τις θήλεια, μή τε θεῶν ἀῤῥένων
τοῖς Ἕλλησιν ἢ Τρώεσσι νῦν βοηθὸς γενέσθω,
εἰ μὴ τὴν ἀγανάκτησιν ποθεῖ τὴν ἡμετέραν·
ἢ γὰρ εἰς οὐρανὸν ἔλθοι πληγεὶς εὐπρεπεστάτως,
ἢ ῥίψω πρὸς τὸν Τάρταρον ὡς γνώσῃ μου τὸ κράτος·
εἰ βούλεσθε δ' ἀπόπειραν λαβεῖν μου τῆς ἰσχύος,
σειρὰν χρυσῆν κρεμάσαντες, πάντες καθέλκετέ με·
ἀλλ' οὐ καθέξετε πρὸς γῆν· ἐγὼ δ' ἄν περ ἑλκύσω,
ἀνάξω γῆν καὶ θάλασσαν, τοσοῦτον γὰρ ἰσχύω.
Ταῦτα τοιαύτην ἔχουσι σοφὴν ἀλληγορίαν·
μετὰ βροντὰς, ἃς εἴπομεν, ἐκείνας τὰς παννύχους,
ἡμέρας ἦν ὁ οὐρανὸς μέσως τεθολωμένος·
μὴ καθαρὸς, μὴ δ' ἔνομβρος, ἀλλ' ὥς περ εἶπον μέσος·
ὅ περ καὶ ἄκραν σιωπὴν θεῶν κατονομάζει·
ὅ περ καὶ κώλυμα φησὶν ἀμφῶν τῆς βοηθείας·
μετὰ μικρὸν δὲ κινηθεὶς, βραχὺ φαιδρὸς ἐφάνη·
ὅ περ καὶ λόγους Ἀθηνᾶς, καὶ γέλων Διὸς λέγει·
τὴν ἐπὶ πλεῖον κίνησιν, ἵππους δὲ λέγει τούτου·
τὴν περὶ Ἴδην στάσιν δὲ, πύκνωσιν πάλιν νέφους
ἐκ τῶν ἐνύδρων τῶν ἀτμῶν τῆς πιδακώδους Ἴδης.
Ἐπεὶ οὖν ἦσαν εὐτελῆ τὸ τὰ τοιαῦτα γράφειν
εἰς ὄγκον, εἰς ἀξίωμα καὶ μέγεθος, τὸν λόγον
ὁ Ὅμηρος ὁ πάνσοφος ῥητορικῶς ἀνάγων,
μιγνὺς τοῖς ῥητορεύμασι καὶ τὴν φιλοσοφίαν,
ποιεῖται νῦν τὴν σύγκρισιν στοιχείων τῶν τεσσάρων·
καὶ θέλων πάντων κρείττονα δεικνύειν τὸν ἀέρα,

ὡς τοῦ πυρώδους τὸ φαιδρὸν συγκρύπτοντα νεφώσει,
ὡς ἀνασπῶντα τοὺς ἀτμοὺς ἐκ γῆς καὶ τῆς θαλάσσης
σὺν τῷ ἡλίῳ, τῇ χρυσῇ συρᾷ τῇ λελεγμένῃ,
αὐτοῦ δὲ πρὸς τὸ κάταντες γῆς μὴ καθηλκομένου,
ἀνθρωποπρεπωδέστερον νῦν προσωποποιήσας,
ὡς βασιλέα τῶν θεῶν πλάττει δημηγοροῦντα
μεγαληγόρῳ τῇ φωνῇ καὶ λέγοντα τοιαῦτα.
Τοιοῦτο τὸ κατάστημα τῷ τότε μὲν ὑπῆρχεν·
οἱ δ' Ἕλληνες ὡπλίζοντο, τὸ πρῶτον ἐμφαγόντες.
ὁμοίως καὶ οἱ Τρῶες δὲ καὶ τῶν πυλῶν ἐξῆλθον,
πεζὸς λαός τε καὶ ἱππεῖς, καὶ μάχην συνεκρότουν·
καὶ μέχρι μεσημβρίας μὲν ἰσοπαλὴς ἡ μάχη,
ἐξ ἀμφοτέρων τῶν μερῶν πολλῶν ἀναιρουμένων·
ἡ εἱμαρμένη τότε δε κλίνει ζυγὸν Ἑλλήνων,
ἤγουν τροπὴν ἐδήλωσεν τῷ γένει τῶν Ἑλλήνων,
βροντῆς καταῤῥαγήσης γὰρ μεγάλης ἐξαισίας,
ἀργὴς κατήχθη κεραυνὸς στρατῷ τῷ τῶν Ἑλλήνων·
λοιπὸν σὺν δέει σύμπαντες τῆς μάχης ὑπεχώρουν,
Ἰδομενεὺς, Ἀτρείδης τε καὶ Αἴαντες οἱ δύο,
ὁ Νέστωρ ἄκων ἔμενε· τοῦ ἵππου τοξευθέντος
ἐξ Ἀλεξάνδρου πρὸς αὐτῆς τῆς κορυφῆς τὰς τρίχας,
καὶ δὴ μικρὸν ὑφ' Ἕκτορος νεκρὸς ἂν ἦν ὁ γέρων,
εἰ μή περ τοῦτον κατιδὼν ὁ Διομήδης τότε,
τὸν Ὀδυσσέα φεύγοντα κέκραγε συνεργῆσαι·
ὡς δ' οὐδαμῶς ἠδύνατο πείθειν ἀνθυποστρέφειν,
μόνος σταφεὶς ἐξέσωσεν ἅρματι τῷ οἰκείῳ·
τὸ ἅρμα δὲ τοῦ γέροντος Σθένελος, Εὐρυμέδων
κομίζοντες ἐξήνεγκαν εἰς τὸν στρατὸν Ἑλλήνων·
αὐτὸς δὲ σὺν τῷ γέροντι τοῦ Ἕκτορος ἀντίος
ἐλθὼν ἀπέκτεινε δορὶ ἡνίοχον ἐκείνου,
Ἡνιοπέα, πρὸς μαζὸν βαλὼν κατὰ τὸ στῆθος,

Ἕκτορι δ' Ἀρχιπόλεμος ἡνίοχος ἀνῆλθε,
καὶ Διομήδους μέλλοντος ἀνδραγαθεῖν καὶ πάλιν,
βροντὴ φρικώδης σὺν αὐτῇ καὶ κεραυνὸς ἀργήτης,
πρὸ τῶν ποδῶν ἐκπέπτωκε τῶν ἵππων Διομήδους·
οἱ ἵπποι πτοηθέντες δὲ κρύπτονται πρὸς τὸ ἅρμα,
ἐκ τῶν χειρῶν δὲ Νέστορος ἔπεσον τὰ ἡνία·
καὶ πρὸς φυγὴν παρήλασε πείσας τὸν Διομήδην·
ὡς δ' Ἕκτωρ ἀνεβόησε, φεύγεις υἱὲ Τυδέως,
ὁ Διομήδης ἔμελλε πάλιν τοὺς ἵππους στρέφειν,
καὶ τούτῳ συνεισφέρεσθαι πρὸς πόλεμον καὶ μάχην.
Τρισσάκις ὥρμησεν αὐτὸ ποιῆσαι Διομήδης,
καὶ τρὶς ἐξ Ἴδης οὐρανὸς ἐβρόντησε μεγάλως,
νίκην σημαίνων τοῖς Τρωσίν· Ἕκτωρ βοῶν δὲ μέγα
τοὺς ἑαυτοῦ παρώτρυνεν ἐμβαίνειν πρὸς τὸ τεῖχος,
καὶ πῦρ ζητεῖν ὡς πρήσωσιν Ἑλλήνων τὰς ὁλκάδας,
καὶ πρὸς τοὺς ἵππους τοὺς αὐτοῦ τὸν Ξάνθον καὶ τὸν Λάμπον,
εἴ τε μὴν καὶ πρὸς τέσσαρας ἵππους τοιάδε λέγει·
νῦν μοι τὴν ἐπιμέλειαν ἀπόδοτε, ὦ ἵπποι,
ἥν περ ἐμοῦ ἡ σύζυγος ὑμῶν ἐπεμελεῖτο,
παρὸ ἐμοῦ· διδοῦσα μοι σῖτον φαγεῖν καὶ οἶνον,
ὁπόταν ἤθελον αὐτός· ὅθεν σπουδάσατέ μοι
ὡς τὴν χρυσῆν τοῦ Νέστορος κρατήσωμεν ἀσπίδα,
καὶ Διομήδους θώρακα ἐξ ὤμων τῶν ἐκείνου·
εἰ ταῦτα λάβω, φεύγουσιν Ἕλληνες νῦν Ἑλλάδι.
Ἡ λαλιὰ τῆς Ἥρας δὲ καὶ στόνος Ποσειδῶνος,
πνευμάτων κίνημα δηλοῖ παὶ μύκημα θαλάσσης·
οἱ Ἕλληνες δὲ φεύγοντες ἐπλήρωσαν τὸν τόπον,
ὅσον ὑπῆρχεν ἐξ αὐτῆς τῆς τάφρου πρὸς τὸ τεῖχος,
ἔνδον ἀπὸ τοῦ τείχους δὲ πάλιν, ὡς πρὸς τὰ πλοῖα,
ὃ λέγεται πωμήριον κατὰ Λατίνων γλῶσσαν·
καὶ δὴ πυρὶ κατέφλεξεν Ἕκτωρ Ἑλλήνων νῆας,

εἰ μὴ τὸν Ἀγαμέμνονα Ἥρα, ψυχὴ οἰκεία,
παρώτρυνεν ὀνείδεσι στῆσαι τοὺς πεφευγότας,
λέγοντα πάντας Ἕλληνας, Ἕκτορος οὐκ ἀξίους,
καί γε καταμεμφόμενον πολλὰ τῇ εἱμαρμένῃ.
Τούτου δὲ σχετλιάζοντος διὰ τὰς ἀτυχίας,
ἐλάφου μόσχον ἀετὸς ἀπέρριψε βαστάζων·
οἱ δ' Ἕλληνες θαρσήσαντες ἐπ' ἀγαθῷ σημείῳ,
κατὰ τῶν Τρώων ὥρμησαν καὶ μάχην συνεκρότουν.
Πρῶτος δὲ πάντων ἤλασε τοὺς ἵππους Διομήδης,
καὶ κτείνει παῖδα Φράδμονος, Ἀγέλαον τὴν κλῆσιν,
φεύγοντα, τὸ μετάφρενον δόρατι περονήσας·
καὶ μετ' αὐτὸν καὶ οἱ λοιποὶ χωροῦσι κατὰ Τρώων,
Ἀτρεῖδαι τε καὶ Αἴαντες, Ἰδομενεὺς σὺν τούτοις,
ὁ Μόλου Μηριόνης τε μετὰ τοῦ Εὐρυπύλου·
ἦλθε καὶ Τεῦκρος ἔννατος, τόξοις ηὐτρεπισμένος,
καὶ περιβλέπων ἔκτεινε τοξεύμασι τοὺς Τρῶας·
τοξεύων δ' ὑπεκρύπτετο τῇ Αἴαντος ἀσπίδι,
ὥς πέρ τις παῖς κρυπτόμενος ταῖς μητρικαῖς ἀγκάλαις.
Ὀκτὼ μὲν οὖν ἀνῄρηκεν οὗτος ἐκ τοξευμάτων·
Ὀρσίλοχον καὶ Ὄρμενον, Δαίτορα, Ὀφελέστην,
Χρόμιον καὶ Μελάνιππον, σὺν τούτοις Λυκοφόντην,
καὶ τούτου τὸν ἀκόλουθον, τὸν Πολυαιμονίδην·
ὁ Ἀγαμέμνων τοῦτον δε βλέπων ἐχάρη μέγα,
καὶ δωρεὰς ὑπέσχετο δοῦναι λαμπρὰς ὑστέρως·
ὁ δε, κατὰ τοῦ Ἕκτορος τόξευμα πέμψας ἄλλο,
ἀποτυχὼν, ἀπέκτεινε νόθον υἱὸν Πριάμου,
Καστιανείρης παλλακῆς ὄντα, τῆς ἐξ Αἰσύμης,
τὴν κλῆσιν Γοργυθίωνα, βαλὼν κατὰ τὸ στῆθος·
ὁ δ' ἔκλεινε τὴν κεφαλὴν ὡς ἔνδροσος κωδεία·
Τεῦκρος δὲ πάλιν ἀστοχεῖ καθ' Ἕκτορος τοξεύσας,
ἡλίου βλάψαντος αὐτὸν, παρὰ μαζὸν βαλὼν δε,

κτείνει τὸν Ἀρχεπτόλεμον ἡνίοχον ἐκείνȣ·
πέπτωκε δ' ἐκ τȣ̃ ἅρματος, ταράσσονται οἱ ἵπποι·
τȣ́τȣ συμβάντος Ἕκτωρ δὲ συντόμως ἐλυπήθη,
καὶ τȣ̀ς μὲν ἵππȣς ἀδελφῷ διδοῖ τῷ Κεβριόνῃ,
αὐτὸς δ' ἀπὸ τȣ̃ ἅρματος μέγα βοῶν κατῆλθε·
καί γε τὸν Τεῦκρον μέλλοντα πάλιν τοξεύειν τȣ̃τον,
πρὸς ϛῆθος καὶ τὸν τράχηλον λίθῳ βαλὼν μεγάλῳ,
φοράδην ἔπεισεν αὐτὸν ἀχθῆναι πρὸς τὰς ῆας,
Ἀλάϛορος βαϛάζοντος τȣ̃τον καὶ Μηκιϛέως·
καὶ πάλιν Τρῶες τρέπȣσιν Ἕλληνας πρὸς τὰν νῆας.
Ἡλίȣ βοηθήσαντος Τρώων παντὶ τῷ δήμῳ,
ὁ Ἕκτωρ δ' ἔχων ὄμματα Γοργȣ̃ς τῆς Νηρηΐδος,
καλῶς τȣ̀ς ἵππȣς ἔϛρεφεν αὐτȣ̃ τȣ̀ς καλλιτρίχȣς.
Ὁ ἔλεος τῆς Ἥρας δε καὶ Ἀθηνᾶς οἱ λόγοι,
ὥς περ φησὶ δι' Ἡρακλῆν ἐξ Ἅδȣ σεσωσμένον,
καὶ ὅ περ λέγει πλήρωμα Θέτιδος ἱκεσίας,
καὶ ζεῦξις ἡ τȣ̃ ἅρματος τῆς Ἀθηνᾶς καὶ Ἥρας,
ἀποϛολή τε Ἴριδος πρὸς τὸ κωλῦσαι πάντας,
καὶ τȣ̃ Διὸς ἡ δίφρευσις πρὸς ȣ̓ρανὸν ἐξ Ἴδης,
ἐκ Ποσειδῶνος λύσις τε Ζηνὸς ἅρματος ἵππων,
καὶ τὰ τοιάδε σύμπαντα, τοιῶσδε συνεγράφη.
Ὁ Ὅμηρος ὡς χρονικὸς, ὡς συγγραφεὺς τῶν τότε,
ἅπαν μὲν γράφει τὸ πραχθὲν καὶ τὸ συμβὰν τῷ τότε.
τὰ δέ γε περιπέζια καὶ τῶν εὐτελεϛέρων
τρόπων, ὡς πρὸς ἀξίωμα καὶ μέγεθος τȣ̃ λόγȣ,
σεμνῶς συγγράφει καὶ δεινῶς· δεινὸς ὢν λογογράφος.
Μετὰ βροντὰς, ἃς εἶπον γὰρ καὶ τȣ̀ς δεινȣ̀ς ἀργῆτας,
πνεῦμα λεπτὸν ἀπήρξατο καθαίρειν τὸν ἀέρα·
μετὰ μικρὸν ἐφάνη δε τῷ ȣ̓ρανῷ ἡ Ἶρις,
εἶτα καὶ νέφος κάθυγρον ἐξαναχθὲν ἐξ Ἴδης,
τὸν ȣ̓ρανὸν ἐπλήρωσεν· εἶτα ῥαγέντος ὄμβρȣ.

ὁ λύσις ἐστὶ τῶν Διὸς ἁρμάτων Ποσειδῶνι,
χρυσοειδὴς ὁ οὐρανὸς ἐκ πνεύματος ἐφάνη,
οἷα συμβαίνει γίνεσθαι πάντως ὀμβροευδίαις,
καὶ μᾶλλον καταστήμασι φθινοπωρινωτάτοις.
Ταῦτα μὲν ἦν ἐκ τῶν πεζῶν καὶ τῶν ἀσφελαστάτων,
ὅθεν τὴν ἀνακάθαρσιν ἐκείνην τοῦ ἀέρος
Ἥραν καλεῖ καὶ Ἀθηνᾶν καὶ ἔλεος Ἑλλήνων,
καὶ ζεῦξιν Ἥρας, Ἀθηνᾶς ἁρμάτων χρυσαμπύκων·
ὁ Ἡρακλῆς, ὁ ἥλιος ἐστὶν ἐν τοῖς ἐνθάδε,
ὡς κλέος Ἥρας καὶ τῆς γῆς, ὃν Εὐρυσθεὺς ἐκπέμπει,
ἡ σφαῖρα ἡ οὐράνιος, ἥ τις εὐθέως θέει,
ἄθλους τελέσαι δώδεκα, τὸν χρόνον ἐκπληρῶσαι,
δώδεκα περιτρέχοντα τμήματα τῶν ζωδίων.
Κριὸν, Ταῦρον, καὶ Δίδυμον, Καρκῖνον, Λέοντά τε,
Παρθένον ἅμα καὶ Ζυγὸν, Σκορπίον καὶ Τοξότην,
Αἰγόκερων, Ὑδρόχουν τε καὶ σὺν αὐτοῖς Ἰχθύας·
οὓς ἄθλους ἀπεργάζεται τρέχων οἰκείους δρόμους,
δυσμόθεν πρὸς ἀνατολὰς τῆς σφαίρας ἐναντίως·
οὗτος οἰκεῖος δρόμος γὰρ τυγχάνει τῶν πλανήτων·
ἔστι καὶ δρόμος ἕτερος τούτων τῶν ἀνοικείων,
ὃν καθ' ἑκάστην τρέχει μὲν ἐξ ἕω πρὸς τὴν δύσιν,
ἄκων περιφερόμενος σφαίρᾳ τῇ οὐρανίῳ,
δύνων καὶ ἀνερχόμενος ποιῶν τὰς νυχθημέρους,
τὰς ἅς περ δύσεις, κάθοδον πρὸς Ἅδην εἶναι λέγει·
Ἅδου δὲ κύνα, τὸ ὑγρόν· καὶ τῶν ὑδάτων φύσιν·
ἐξ ὧν περ ἀπαρύεται ἥλιος γῆς ἐκτρέχων·
ἐκ γοῦν τοῦ λέγειν Ὅμηρος ἐξ Ἀθηνᾶς τοιαῦτα,
ὡς εἰ μὴ τοῦτον ἔσωζον οὐκ ἂν ἀνῆλθεν αὖθις,
ἐξ ἀναθυμιάσεων δοκεῖ κινεῖν τὴν σφαῖραν,
ὡς οἱ λοιποὶ φιλόσοφοι, πλὴν Ἀριστοτελείων·
Ἀριστοτέλης δ' ἄναρχον εἶναι τὴν σφαῖραν λέγων.

αὐτοκινήτως ὑφ' αὐτῆς κινεῖσθαι δογματίζει.
Τῆς ἱκεσίας Θέτιδος ἡ πλήρωσις τυγχάνει,
τὸ γεγονέναι κάθυγρον τὸν οὐρανὸν, ὡς εἶπον·
τὰ δ' ἄλλα πάντα σοι σαφῆ· μακρηγορεῖν οὐ πρέπει.
Μετὰ γοῦν τὸ κατάστημα τοῦτο νυκτὸς ἐλθούσης,
Ἕκτωρ ἐδημηγόρησε τροφὰς ἐκ Τροίας ἆξαι,
ὅσα τε τούτοις ἕτερα τῶν χρειωδῶν ὑπάρχει·
ἔξωθεν δὲ τῆς πόλεως πάντας δειπνοποιεῖσθαι,
πυρκαϊὰς ἀνάπτειν τε μέχρι καὶ τῆς ἡμέρας,
μὴ κατὰ νύκτα φύγωσιν Ἕλληνες ταῖς ὁλκάσι·
τοῖς κήρυξι δ' ἐκέλευσε συλλέγειν κατὰ Τροίαν.
τοὺς παῖδας καὶ τοὺς γέροντας εἰς φυλακὴν τῶν πύργων,
τῶν γυναικῶν ἑκάστην δε πῦρ ἔχειν ἐν οἰκίαις,
καὶ φυλακὴν καὶ προσοχὴν ἀκριβεστάτην εἶναι,
μὴ λάθῃ λόχος, ἔνεδρα, δραμεῖν ὡς πρὸς τὴν πόλιν,
καὶ ταύτην ἐκπορθήσωσιν, ἀπόντων στρατευμάτων·
οὕτως εἰπόντος Ἕκτορος, ἀπεπληροῦντο πάντα·
μέσον δὲ τοῦ Σκαμάνδρου καὶ τοῦ τείχους τῶν Ἑλλήνων
οἱ Τρῶες ἦσαν καίοντες πυρκαϊὰς χιλίας·
ἄνδρες δ' ἦσαν πεντήκοντα πυρκαϊᾷ ἑκάστῃ.
τῶν ἐγχωρίων τὸ ποσὸν Τρώων ἐνταῦθα γράφει,
πεντήκοντα χιλίους σοι λέγων τοὺς πάντας εἶναι,
πλὴν μέν τοι τῶν συμμάχων τε καὶ τῶν ἐπικουρούντων·
οὗτοι γὰρ τριπλασίονες τῶν ἐγχωρίων ἦσαν·
ὅταν δ' ὁ Μέμνων ἅμα τε καὶ Πολυδάμας ἦλθε,
τίς ἀριθμήσει τὸν στρατὸν τὸν συνηγμένον τότε;

## ὙΠΟΘΕΣΙΣ ΤΗΣ Ι. ὉΜΗΡΟΥ ῬΑΨΩΔΙΑΣ

Οὕτως οἱ Τρῶες μὴ φυγεῖν τοὺς Ἕλληνας ἐτήρουν·
Ἕλληνες πάντες δὲ φυγῇ κατείχοντο καὶ φόβῳ·
πένθος δ' ἀνυπομόνητον εἶχε τοὺς ἀριστέας·
καθάπερ ὁ Βορέας δε πνεύσας ὁμοῦ καὶ Νότος
ταράσσουσι τὴν θάλασσαν, ὑψοῦται δὲ τὸ κῦμα,
οὕτως μερίμναις καὶ αὐτοὶ διπλαῖς ἐκυματοῦντο·
ὁ βασιλεὺς μεγάλως δε τῇ λύπῃ βεβλημένος,
ἁπανταχοῦ διήρχετο τοῖς κήρυξι κελεύων,
καλεῖν εἰς τὸ συνέδριον ὀνομαστὶ τοὺς πάντας·
ἄνευ βοῆς τῶν πάντων δε τότε συνηθροισμένων,
καὶ περὶ τὸ συνέδριον ἐν θλίψει καθεσθέντων,
ὁ Ἀγαμέμνων ἀναστὰς δάκρυα χέων λέγει·
ὦ στρατηγοὶ καὶ βασιλεῖς Ἑλλήνων πεφιλμένοι,
ὁ Ζεὺς, ἡ εἱμαρμένη, με μεγάλως ἀεὶ βλάπτει·
λοιπὸν, ὦ φίλοι, φεύγωμεν πλοίοις εἰς τὰς πατρίδας,
οὐκέτι τὴν πλατύοδον πορθήσομεν γὰρ Τροίαν·
πάντων ἡσυχαζόντων δε, φησὶν ὁ Διομήδης.
Οὕτω δοκεῖς ἀπόλεμον τὸ γένος τῶν Ἑλλήνων;
εἴ περ αὐτὸς, ὦ βασιλεῦ, ἀνθυποστρέφειν θέλεις,
ἀπέρχου, πάρεστιν ὁδός· πλησίον τῆς θαλάσσης
ὁλκάδες, ἅς περ ἤγαγες πολλὰς ἐκ τῆς Μυκήνης·
ἄλλοι δὲ καρτερήσουσιν εἰς πόρθησιν τῆς Τροίας·
εἰ δὲ καὶ οὗτοι θέλουσι, φευγέτωσαν οἱ πάντες·
ἐγὼ δὲ, καὶ ὁ Σθένελος ἐγκαρτεροῦμεν μόνοι.
Πάντες μὲν οὖν ἐβόησαν θαυμάσαντες τὸν λόγον·
ἀνέστη καὶ ὁ Νέστωρ δε καὶ τοῦτον ἐπαινέσας,
λόγον παρέῤῥιψε δεινῶς, ῥητορικῷ τῷ τρόπῳ,
τὴν ἔριν Ἀγαμέμνονος σύρων καὶ Ἀχιλέως·

εἶπε γάρ· ὅς τις ἔρωτα μάχης ἐμφύλȣ τρέφει,
χωρὶς ὑπάρχει συγγενῶν, ἄδικος τὲ καὶ πένης·
ἀλλὰ πεισθῶμεν νῦν νυκτὶ νυκτερινὸν φαγόντες,
φύλακας δὲ χωρίσωμεν ἔξω πρὸς τάφρον μένειν·
σὺ, βασιλεῦ, πρὸς τράπεζαν κάλει δὲ τȣ̀ς ἀρίϛȣς,
καὶ συμβȣλεύȣ μετ' αὐτῶν· χρεία βȣλῆς μεγάλης·
ἐγγὺς γὰρ οἱ πολέμιοι πυρκαίοντες παννύχως·
ἡ νὺξ δὲ σώσει τὸν ϛρατὸν ἢ φθείρει πάντως αὔτη.
Οὕτως εἰπόντος, ὥρμησαν εἰς φυλακὴν ἐνόπλως
φύλακες ἑπτακόσιοι, ἑπτὰ δὲ ϛρατηλάται,
Ἀσκάλαφος, Ἰάλμενος, ἅμα καὶ Θρασυμήδης,
ὁ Μηριόνης, Ἀφαρεὺς, Δηΐπυρος σὺν τȣ́τοις,
καὶ Λυκομήδης Κρέοντος φίλος υἱὸς ὑπάρχων·
ἐλθόντες δ' ἐκαθέσθησαν τείχȣς καὶ τάφρȣ μέσον,
καὶ πῦρ ἀνάψαντες ἐκεῖ, νυκτερινῶς σιτȣ̃νται.
Ὁ βασιλεὺς καλέσας δὲ τȣ̀ς πρώτȣς τῆς συγκλήτȣ,
ἁβραῖς τραπέζαις καὶ τροφαῖς δέχεται βασιλείοις·
μετὰ τροφὴν ἀνέϛη δὲ Νέϛωρ βȣλεύων τάδε·
ἐξευμενίσαι τῷ ϛρατῷ παντὶ τὸν Ἀχιλέα,
ἐν λαμπροτάταις δωρεαῖς καὶ λόγοις πραοτάτοις·
συγκατετέθη τȣ̃ λοιπȣ̃ τοῖς λόγοις Ἀγαμέμνων,
ἑπτὰ μὲν δȣ̃ναι τρίποδας, μήπω πρὸς πῦρ τεθέντας,
ἑξήκοντα νομίσματος χρυσίȣ χιλιάδας,
λέβητας εἴκοσι πρὸς πῦρ καὶ πρὸς λȣτρὰ χρησίμȣς,
ἵππȣς ἐκκρίτȣς ἀθλητὰς δώδεκα νικηφόρȣς,
ποικιλεργȣ̀ς ὡραίας δὲ κόρας ἑπτὰ Λεσβίδας,
σὺν αἷς καὶ Ἱπποδάμειαν ὀγδόην, τὴν Βρισέως·
ὀμόσας, τί τὸ σύνολον αὐτῇ μὴ συνειδέναι.
Ταῦτα δοθῆναι Ἀχιλεῖ καθυπεσχέθη τότε·
μετὰ δὲ Τροίας πόρθησιν καθυπισχνεῖτο πάλιν
πλοῖον χρυσȣ̃ τε καὶ χαλκȣ̃ πλῆρες αὐτῷ δοθῆναι,

καὶ αἰχμαλώτους Τρωϊκὰς εἴκοσι τῶν ὡραίων·
εἰς Ἄργους δ' ὑποστρέψαντες, γαμβρὸν αὐτὸν ποιῆσαι·
ἰσότιμον ποιῆσε τε Ὀρέστῃ τῷ φιλτάτῳ,
λαβόντα τούτου τῶν τριῶν ἣν θέλει θυγατέρα,
τὴν πρώτην τὴν Χρυσόθεμιν, εἴ τε τὴν Λαοδίκην,
εἴ τε τὴν Ἰφιάνασσαν, φερνὴν δ' αὐτῷ δοθῆναι
πόλεις ἑπτὰ πρὸς θάλασσαν κειμένας τὰς ἁπάσας,
Πήδασον, Αἴπειαν, Φηρὰς, Ἄνθειαν καὶ Ἐνόπην,
τὴν βοτανώδη τε Ἱρὴν, ἅμα καὶ Καρδαμύλην.
Ἐν τούτοις πρέσβεις πέμπουσιν ὡς πρὸς τὸν Ἀχιλέα,
Φοίνικα καὶ τὸν Αἴαντα μετὰ τοῦ Ὀδυσσέως,
καὶ κήρυκας Ταλθύβιον ἅμα καὶ Εὐρυβάτην,
ὅπως τοῖς δώροις τὴν ὀργὴν πείσωσιν ἀποθέσθαι·
πολλὰ δ' εἰπόντος πρὸς αὐτὸν πρῶτα τοῦ Ὀδυσσέως,
ὁ Ἀχιλεὺς ἀντέλεξε σφοδρῶς τε καὶ ταχέως·
καὶ Φοίνικος δακρύοντος ἐλεεινολογίαις,
καὶ τὴν φυγὴν τὴν ἐκ πατρὸς τοῦ ἑαυτοῦ λαλοῦντος,
διὰ τὴν μίξιν παλλακῆς τῆς τοῦ πατρὸς συμβᾶσαν·
καὶ πῶς αὐτὸν ἀνέθρεψεν ἐκ βρεφικῶν σπαργάνων,
καὶ δεομένου καὶ αὐτοῦ τὴν μῆνιν ἀποῤῥίψαι,
λέγοντος μετατρέπεσθαι καὶ τοὺς θεοὺς θυσίαις,
ἤγουν ἐν λόγοις ἐπῳδῶν τὴν φύσιν τῶν στοιχείων,
ἢ εἱμαρμένην φυσικὴν, ὡς Πτολεμαῖος γράφει·
διττὰς αὐτὸς γαρ βούλεται τὰς εἱμαρμένας εἶναι,
θείαν, τὴν ἀμετάτρεπτον, καὶ τὴν φυσικωτάτην,
ἣν περ καὶ μετατρέπεσθαι φησὶν, ὡς κλημακτῆρας·
ὁ μὲν γὰρ ὄμβρους τῶν σοφῶν, ὁ δ' ἔπαυσεν ἀνέμους
Ὀρφεὺς καὶ Πυθαγόρας τε σὺν τῷ Ἀναξαγόρᾳ,
Ἐμπεδοκλῆς Μελίτωνος, ὁ καὶ κωλυσανέμας,
ὁ πανδαὴς Δημόκριτος, ὁ Τυανεὺς ὑστέρως.
Τοιαῦτα καὶ τοῦ Φοίνικος δάκρυσι δεομένου,

ὡς τοῦ θυμοῦ κατάπαυσιν ποιήσαιτο τοῖς δώροις,
καὶ τιμηθῇ τὰ μέγιστα τοῖς σύμπασιν Ἀργείοις·
μὴ ἄνευ παρακλήσεως μόνος ἐλθὼν ὕστερος,
πάθῃ ταὐτὸν ὃ πέπονθε Μελέαγρος ἐκεῖνος.

Οὗτος υἱὸς ὑπάρχων γὰρ Οἰνέως καὶ Ἀλθαίας,
ὡς ἀνεῤῥάγη πόλεμος χάριν τοῦ χοίρου τότε
Ἀμβρακιώταις καὶ αὐτῶν τῶν Αἰτωλῶν τῷ γένει,
ἀφεὶς τὴν μάχην ὡς θλιβεὶς ἐκ τῆς μητρὸς Ἀλθαίας,
τῇ ἑαυτοῦ συνέδρευε συζύγῳ Κλεοπάτρᾳ·
Κουρῆτες, Ἀκαρνᾶνες δὲ, ἤγουν Ἀμβρακιῶται,
τοὺς οὕς περ μετεκάλεσε Καῖσαρ Νικοπολίτας,
νικήσας τὸν Ἀντώνιον ἐκεῖ καὶ Κλεοπάτραν,
ἔβαλλον πύργους Αἰτωλῶν ἤγουν τῶν Ναυπακτίων,
ἔβαλλον πύργους Αἰτωλῶν καὶ πύλας τὰς ἐκείνων·
τὴν Καλυδῶνα. Ναύπακτον, αὐτὴν πυργομαχοῦντες·
πάντες λοιπὸν οἱ τῆς βουλῆς καὶ μαγιστᾶνες πάντες,
καὶ ἱερεῖς οἱ τῶν θεῶν, οἱ προὔχοντες ἁπάντων,
καὶ ἀδελφαὶ καὶ ἀδελφοὶ, καὶ ὁ πατὴρ ὁ τούτου
γονυκλινοῦντες καὶ πολλὰ δῶρα διδόντες τούτῳ,
γῆν περισσὴν φυτεύσιμον, καὶ γῆν τῶν ἀροσίμων,
ὡς πρὸς τὴν μάχην ἐξελθεῖν οὐκ ἔπεισαν ἐκεῖνον·
ὕστερον βαλλομένου δὲ καὶ τοῦ κοιτῶνος τούτου
ἐν λίθοις καὶ τοῖς βέλεσι, καὶ πυργομαχομένου,
τοῖς τῆς ἰδίας γυναικὸς θρήνοις ἐμβὰς πρὸς μάχην,
καὶ συμβολῇ πολέμου δὲ τρέψας τοὺς Ἀκαρνᾶνας,
τὴν δωρεὰν οὐκ ἔλαβεν· οὐ γὰρ ἐξῆλθε τότε,
ὅταν αὐτὸν οἱ σύμπαντες ἦσαν γονυκλιτοῦντες.

Τοιαῦτα καὶ τοῦ Φοίνικος τῷ τότε δεομένου,
καὶ Μελεάγρῳ μὴ παθεῖν τὰ ἶσα παραινοῦντος,
καὶ πρὸς αὐτὸν ὁ Ἀχιλεὺς τούς δε φησὶ τοὺς λόγους·
παύου τροφεῦ μου γηραιὲ, παύου τροφεῦ μου Φοῖνιξ,

μὴ τὴν καρδίαν τὴν ἐμὴν σοῖς λόγοις τήκειν θέλε.
χάριν ποιῶν τῷ βασιλεῖ· τοῦτον οὐ χρὴ φιλεῖν σε,
ὅπως μὴ μισηθείης μοι πάμπολλα σε φιλοῦντι.
καλὸν ὑπάρχει σὺν ἐμοὶ θλίβειν τὸν θλίβοντά με·
ἀλλὰ, σὺ μεῖνον μεθ᾽ ἡμῶν, αὐτοί δ᾽ ἀπογγελοῦσι.
Πρὸς οὓν τοὺς λόγους τὸ λοιπὸν τούτους ὁ Αἴας εἶπεν·
ἀπέλθωμεν· εἰς μάτην γαρ ὡς ἔοικε ληροῦμεν·
οὗτος σκληρύψυχος ἐστὶ διὰ γυναῖκα ποίαν·
ἑπτὰ δὲ νῦν παρέχομεν ἀρίστας ἀντ᾽ ἐκείνης,
καὶ σὺν αὐταῖς ἐκείνην τε· οὗτος δ᾽ ὀργὴν οὐ παύει.
Ταῦτα τοῖς πᾶσιν Ἕλλησι λέγουσιν ἀπελθόντες,
ἅ περ αὐτοῖς ὁ Ἀχιλεὺς πρεσβεύουσιν ἀντεῖπε·
πρὸς ταῦτα Διομήδης τε φησὶ πρὸς τὸν Ἀτρέως.
Ὦ βασιλεῦ, μὴ ὤφελες ἄνδρα τῶν ἀλαζόνων
παρακαλεῖν πρὸς πόλεμον, τὸν Ἀχιλέα λέγω·
ἀεὶ τῶν ἀλαζόνων γαρ ὑπάρχοντα τὸν ἄνδρα,
τανῦν ἀλαζονέστερον ἐποίησας καὶ πλέον·
καταληφθήτω μὲν αὐτὸς, ἡμεῖς δὲ κοιμηθῶμεν,
οἴνου καὶ σίτου καὶ τροφῆς ἁπάσης κορεσθέντες·
ὅταν δ᾽ αὐγάζειν ἄρξηται τὸ φῶς τὸ τῆς ἡμέρας,
σπουδάζων πάντα τὸν στρατὸν παράταττε πρὸς μάχην·
καὶ σὺ σὺν τοῖς προμάχοις δε μάχου καὶ πρωτοστάταις.
Πάντες ἐπήνεσαν λοιπὸν τοὺς λόγους Διομήδους,
καὶ παρελθὼν ἐν ταῖς σκηναῖς ἕκαστος κατηυνάσθη.

## ὙΠΟΘΕΣΙΣ ΤΗΣ Κ. ὉΜΗΡΟΥ ῬΑΨΩΔΙΑΣ

Ἄλλοι μὲν πάντες ἀριστεῖς ἐκάθευδον παννύχως,
ὁ δ' Ἀγαμέμνων ἄγρυπνος ὑπῆρχε ταῖς φροντίσιν,
ἀπὸ καρδίας συνεχῶς δίκην βροντῆς στενάζων·
πυρκαϊὰς δὲ βλέπων μὲν ἐν τοῖς Τρωσὶν ἀπείρους,
ἀκούων δὲ καὶ σύμφωνον μέλος αὐλῶν, συρίγγων,
καὶ τῶν ἀνδρῶν τὸν θόρυβον, ἐθαύμαζε μεγάλως·
στραφεὶς δὲ πρὸς τοὺς Ἕλληνας καὶ βλέψας πρὸς τὰ πλοῖα,
ἀνέσπα τρίχας κεφαλῆς τῆς ἑαυτοῦ προῤῥίζους·
λοιπὸν οὖν ἔδοξεν αὐτῷ πολλὰ λογιζομένῳ
ἐλθεῖν ὡς πρὸς τὸν Νέστορα χάριν βουλῆς γενναίας·
δέρμα λαβὼν δὲ λέοντος γνώρισμα καὶ σημεῖον,
λαβὼν καὶ δόρυ τὸ αὐτοῦ συνάμα καὶ τὸ ξίφος,
ἔμελλε πρὸς τὸν Νέστορα ποιεῖσθαι τὴν πορείαν,
ὡς ἴδωσι τοὺς φύλακας τοὺς ὄντας περὶ τάφρον,
μὴ καταῤῥαθυμήσωσι καὶ κρατηθῶσιν ὕπνῳ.
Ὁμοίως καὶ Μενέλαος ἄγρυπνος ὢν φροντίσι,
πτοούμενος μὴ πάθῃ τι τὸ στράτευμα Ἑλλήνων,
νώτοις παρδάλεως δορὰν εἰς γνώρισμα φορέσας,
καὶ περικεφαλαίαν δὲ πρὸς κεφαλὴν ἁρμόσας,
καὶ δόρυ φέρων τῇ χειρὶ δραμὼν, ὡς ἐξεγείρων
τὸν βασιλέα, εὕρηκεν οὕτως ηὐτρεπισμένον·
ὃν ἀδελφὸν Μενέλαον ὁ βασιλεὺς ἐκπέμπει,
Ἰδομενέα καὶ αὐτὸν τὸν Αἴαντα καλέσαι,
εἰπὼν ὅποι διέρχοιτο καλεῖν ἐγρηγορέναι,
ἀπὸ πατρὸς καὶ γενεᾶς καλοῦντα τὸν καθένα,
μηδὲν σοβαρευόμενον, τοὺς σύμπαντας τιμῶντα·
αὐτὸς δ' ἐλθὼν ὁ βασιλεὺς, οὗ περ κατῴκει Νέστωρ,
ἀνήγειρε τὸν Νέστορα, καὶ σὺν ἐκείνῳ πάλιν

τὸν Ὀδυσσέα πρῶτα μὲν, εἶτα καὶ Διομήδην·
ὁ Διομήδης Μέγητα καὶ τὸν Λοκρὸν ἐγείρει·
ὡς δὲ παρὰ τοὺς φύλακας ἦλθον εἰς τάφρον πάντες,
τοὺς τῶν φυλάκων ἀρχηγοὺς καθεύδοντας οὐχ' εὗρον,
ἐνόπλους πάντας ὄντας δὲ, πάντας ἐγρηγορότας·
οὓς περ ὁ γέρων κατιδὼν, οὓς περ θαρσύνας, χαίρων,
τὴν τάφρον διεπέρασε σὺν τοῖς λοποῖς στρατάρχαις,
καὶ σὺν αὐτοῖς ὁ Νέστορος υἱὸς, καὶ Μηριόνης·
πάντων ἑδριασθέντων δὲ πάλιν φησὶν ὁ Νέστωρ.
Ὦ ἄνδρες φίλοι Ἕλληνες, τίς τῶν θρασυκαρδίων
κατάσκοπος τολμήσειε γενέσθαι πρὸς τοὺς Τρῶας,
ἐπὶ τιμαῖς μεγάλαις τε καὶ δώροις ἁρμοδίοις;
πάντων ἡσυχαζόντων δὲ, φησὶν ὁ Διομήδης·
ἐγὼ κατάσκοπος θαῤῥῶ τοῖς Τρώεσσι γενέσθαι,
ἂν περ ἀνὴρ τίς ἕτερος ἐστὶν ἀκολουθῶν μοι·
πολλῶν προθυμησάντων δὲ, κρίνει τὸν Ὀδυσσέα·
καὶ ὁπλισθέντες ὥρμησαν χωρεῖν κατὰ τῶν Τρώων·
ἐρωδιὸς ὁ δεξιὸς, ἤγουν ἐκ τῆς ἑῴας,
πετάσας τούτοις ἀφανὴς, ἔκλαγξε δι' ἀέρος·
οὗτοι δ' ἐχάρησαν λοιπὸν ἐπ' ἀγαθῷ σημείῳ·
Ζωΐλος γέρων δὲ μαθὼν τὴν οἰωνοσκοπίαν,
πρὸς τὰς εὐτραπελίας δὲ καὶ φάμουσα νοῦν ἔχων,
ληρεῖ κἀνταῦθα φληναφῶν, ἀλλ' ἐατέον τοῦτον.
Ἕκτωρ δ' ἐπίσης Ἕλλησι κατάσκοπον ἐκπέμπει,
Δόλωνα κήρυκος υἱὸν, ἄνδρα τινὰ τῶν Τρώων,
δώσειν εἰπὼν σὺν ἅρματι τοὺς ἵππους Ἀχιλέως·
ὃν περ κρατοῦσιν Ὀδυσσεὺς ἅμα καὶ Διομήδης·
ἐξ οὗ μαθόντες ἅπαντα βουλεύματα τῶν Τρώων,
γελῶσι πρῶτα μὲν τρανῶς δι' ἵππους Ἀχιλέως
ἐκείνῳ παρὰ Ἕκτορος δῶρον ὑποσχεθέντας·
εἶτα δὲ κτείνουσιν αὐτὸν, οὗ περ καὶ συναντῶσι,

καὶ τὴν δορὰν τὴν λύκειον ἐκείνου καὶ τὰ τόξα,
ὑποστροφαῖς ὡς λάβωσιν, ἔθεντο πρὸς μυρίκην·
ἔπειτα λόγους ὁδηγοὺς ἔχοντες τοὺς ἐκείνου,
ἐλθόντες εἰς τὸ στράτευμα τῶν Τρώων, ἀναιροῦσι
δώδεκα Θρᾴκας ἀρχηγοὺς τοὺς ὑπεροχωτάτους,
καὶ σὺν αὐτοῖς τὸν Ῥῆσον δὲ τὸν τούτων βασιλέα,
χρυσῆν αὐτοῦ τὴν σύμπασαν ἔχοντα πανοπλίαν,
ἅρμα χρυσοκατάδετον, ἵππους ἀπαραμίλλους,
χιόνος λευκοτέρους μὲν, ἀνέμων ταχυτέρους·
οὓς καὶ λαβόντες, ἤγαγον εἰς τὸν στρατὸν Ἑλλήνων,
καὶ τούτους μὲν ἀπήγαγον εἰς φάτνας Διομήδους·
τὰ τόξα δὲ τοῦ Δόλωνος καὶ τὴν δορὰν τοῦ λύκου
ὁ Ὀδυσσεὺς κατέθηκεν ὁλκάδι τῇ οἰκείᾳ·
αὐτοὶ δ' ἐμβάντες ἔπλυναν θαλάσσῃ τὸν ἱδρῶτα·
εἶτα δὲ καὶ λουσάμενοι θερμὸν. ἀλλ' ἐν ταῖς σκάφαις,
οὔπω γὰρ ἦσαν γνώριμοι τοῖς παλαιοῖς λουτρῶνες,
ἐλαίῳ τε χρισάμενοι μετὰ λουτρὸν ῥοδίνῳ,
εἰς βρῶσιν κατεκλίθησαν· ἔστησαν δὲ κρατῆρα,
ἐξ οὗ περ ἀρυόμενοι, ἔθυον τῇ φρονήσει.

## ῾ΥΠΟΘΕΣΙΣ ΤΗΣ Λ. ῾ΟΜΗΡΟΥ ῾ΡΑΨΩΔΙΑΣ

Ἡμέρα μὲν ἐξέτρεχεν ἐκ Τιθωνοῦ τῆς κοίτης·
ἤτοι μετὰ τὴν θέσιν δὲ πάντων τῶν πωλουμένων,
τὸ πρωϊνὸν κατάστημα ὁ Τιθωνὸς καλεῖται·
ἡμέρα μὲν ἐπλάτυνεν ἀνθρώποις καὶ στοιχείοις,
ἡ εἱμαρμένη δὲ δεινὴν ἀνήγειρε τὴν μάχην,
ἐν Ὀδυσσέως τῇ νηῒ μέσον πασῶν ἑστώσῃ·
δεινὴ δὲ γέγονε βοὴ τῆς μάχης κροτουμένης·

τοῖς δ' Ἕλλησι δ' ὁ πόλεμος γλυκύτερος ἐφάνη
τοῦ ὑποστρέφειν ἐν ναυσὶν εἰς τὰς αὑτῶν πατρίδας·
ὁ βασιλεὺς δ' ἐβόησεν ὁπλίζεσθαι τοὺς πάντας·
ὡπλίσθη τότε καὶ αὐτὸς τὴν πᾶσαν πανοπλίαν,
πρῶτον ὑποδυσάμενος ἐν τοῖς ποσὶ κνημίδας,
δεύτερον ἐν τοῖς στήθεσιν ἐνδὺς τερπνὸν χιτῶνα,
τὸν, ὃν Κινύρης ἔδωκεν ὡς μὴ στρατεύσῃ Τροίᾳ·
οὗ τινος δέκα μὲν γραμμαὶ ἦσαν ἐξ ὀρειχάλκου,
ἀπὸ χρυσοῦ δὲ, δώδεκα, εἴκοσι κασσιτέρου,
ἐξ ὀρειχάλκου δράκοντας εἶχεν ἐγγεγραμμένους,
ὡς πρὸς τὸν τράχηλον αὐτοῦ δοκοῦντας ὑφαπλοῦσθαι·
ἐξ ἑκατέρου μέρους τρεῖς· Ἴρισι παρομοίους·
τοῖς ὤμοις περιέθηκε ξίφος τῶν χρυσοήλων,
καὶ ξιφοθήκην ἀργυρᾶν χρυσοῖς ἐν κρεμαστῆρσιν·
ἔλαβεν ἀμφιβρότην δε πολεμικὴν ἀσπίδα,
μανδύα δίκην σκέπουσαν ἔμπροσθεν ὀπισθίως,
δέκα μὲν ἔχουσαν τροχοὺς καὶ κύκλους χαλκηλάτους·
εἴκοσι δὲ τοὺς ὀμφαλοὺς, ὅλους ἐκ κασσιτέρου·
ἐν μέσοις δὲ τοῖς ὀμφαλοῖς τοῖς χαλκοτεύκτοις τούτοις,
ἄλλος ἦν μέγας ὀμφαλὸς μέλανος ὀρειχάλκου·
ἦσαν ἐν τῇ ἀσπίδι δε ταύτῃ ζωγραφηθέντα,
Γοργὼν ἄγριον βλέπουσα, καὶ Δεῖμος τε καὶ Φόβος·
ὁ κρεμαστὴρ ἦν ἀργυροῦς ἐκείνης τῆς ἀσπίδος,
εἰς δράκοντα τρικέφαλον καλῶς ἐξειργασμένος·
τῇ κεφαλῇ δε κάλλιστον ἐπέθηκε τὸ κράνος·
οὕτω τοῖς πᾶσιν ὁπλισθεὶς, καὶ δόρατα λαμβάνει·
βροντή δ' εὔδιος γέγονεν, ὁ Ἀθηνᾶ καὶ Ἥρα,
σημεῖον νίκης τῆς αὐτοῦ καὶ τῆς ἀνδραγαθίας·
οἱ πλείους μὲν ἀπέβησαν τῶν ἵππων, τῶν ἁρμάτων·
μετὰ βοῆς ἐξώρμων δε πεζοὶ συντεταγμένοι·
μεγάλως δὲ προέφθασαν πρὸς τάφρον τοὺς ἱππέας·

οἱ δὲ ἱππεῖς κατόπισθεν ἐχώρουν βραδυτέρως·
ἡ εἱμαρμένη δὲ δεινὴν ἀνήγειρε τὴν μάχην,
ἐξ οὐρανοῦ δ' ἐψέκασεν ὄμβρος αἱμάτων τότε.
Ἐκ τοῦ ἑτέρου μέρους δὲ ὡπλίσθησαν οἱ Τρῶες·
περὶ τὸν Πολυδάμαντα καὶ Ἕκτορα τὸν μέγαν,
καὶ τὸν Αἰνείαν καὶ αὐτοὺς τοὺς τρεῖς Ἀντηνορίδας,
Ἀκάμαντα καὶ Πόλυβον, Ἀγήνορα σὺν τούτοις.
πρὸ πάντων πρῶτος Ἕκτωρ δὲ φέρων στρογγύλον σάκος,
ἐξώρμα καὶ προέτρεχε πρὸς συῤῥαγὴν πολέμου.
Ὥς περ δ' ὁ Κύναστρος ἀστὴρ λάμπει λαμπρὸν ἐκ νέφους,
καὶ πάλιν ἀφανίζεται κρυπτόμενος τῷ νέφει,
οὕτως ὁ Ἕκτωρ ἔμπροσθε ποτὲ καθεωρᾶτο.
ποτὲ δ' ἐν τοῖς στρατεύμασιν ἐκείνου τοῖς ὑστέροις,
κελεύων, παροτρύνων τε πάντας ὡς πρὸς τὴν μάχην,
διατασσόμενος καλῶς πᾶσι τὰ τοῦ πολέμου·
ὡς ἀστραπὴ δ' ἀπέλαμπεν αὐτοῦ τῇ πανοπλίᾳ.
Ὥς περ δ' ἐν θέρει θερισταὶ στάντες ἐξεναντίας
ἐρίζουσι θερίζοντες στάχυς κριθῶν ἢ σίτων,
εἰς γῆν δὲ τὰ χειρόβολα συνεχεστέρως πίπτει·
οὕτω Τρῶες καὶ Ἕλληνες συνέκοπτον ἀλλήλους·
φυγῆς δ' οὐκ ἦν ἀνάμνησις, ἰσοκεφάλως δ' εἶχον·
οἱ Τρῶες δὲ καὶ Ἕλληνες ἐξώρμων ὡς περ λύκοι,
Ἔρις δ' ἡ πολυστένακτος ἔχαιρεν εἰσορῶσα,
θεοὶ δ' οἱ ἄλλοι σύμπαντες ἦσαν ἀποδημοῦντες·
Ἐκεῖ γὰρ οὐ κατίσχυε φρόνησις. πανουργία,
οὐδ' εὑρεσιλογία τις Ἑρμαϊκῶν ἐκ δώρων.
οὐ δὲ θεός τις ἕτερος τὴν μάχην παρακρούων·
καὶ μέχρι μεσημβρίας μὲν ἰσοπαλὴς ἡ μάχη,
καθ' ὃν καιρὸν ἐπιθυμεῖ γεύσασθαι τῶν βρωμάτων
ἀνὴρ δρυτόμος κοπιῶν, τέμνων ἐκ δένδρων ξύλα·
εἶτα δὲ γίνεται τροπὴ στρατεύματι τῶν Τρώων.

Ὁ Ἀγαμέμνων πρῶτος μὲν Βιήνορα φονεύει·
εἶτα τὸν Ὀϊλέα δὲ τρώσας δορὶ μετώπῳ,
καὶ τούτους μὲν κατέλειψεν ἐκεῖσε κατακεῖσθαι,
τοὺς λάμποντας ἐν στήθεσι χιτῶνας ἀποδύσας·
τὸν Ἴσον τε καὶ Ἄντιφον κτείνει τοὺς Πριαμίδας,
πλήξας τὸν μὲν, δορὶ μαζόν· ξίφει δὲ οὗς Ἀντίφου·
σπουδαίως δ' ἀπεγύμνωσε καὶ τούτων πανοπλίας·
ὡς λέων δὲ συνέτριψεν ἐν κρατεροῖς ὀδοῦσιν
ἐλάφου τέκνα νήπια, ἡ δὲ πλησίον οὖσα,
αὐτοῖς οὐκ ἔχει βοηθεῖν, ἀλλὰ πρὸς ὄρη τρέχει·
οὕτω καὶ τούτοις βοηθεῖν οὐ τις εἶχε τῶν Τρώων,
ἀλλὰ καὶ οὗτοι φεύγοντες ἦσαν ὑπὸ Ἑλλήνων·
εἶτα καὶ τὸν Ἱππόλοχον καὶ Πείσανδρον ἀνεῖλεν,
τοῦ Ἀντιμάχου τοὺς υἱοὺς, τοῦ πρὶν ποτὲ τῇ Τροίᾳ
σπεύδοντος τὸν Μενέλαον ἐν δόλοις κατακτεῖναι,
τὸν Πείσανδρον παρ' ἅρματι δορὶ βαλὼν τῷ στήθει,
Ἱππόλοχον δ' ἀπέκτεινεν ἅρματος ἀποβάντα
τὰς χεῖρας καὶ τὸν τράχηλον καὶ πόδας ξίφει κόψας,
τὸν δ' ὅλμον ἤτοι θώρακα κυλίεσθαι παρῆκε·
νῦν γὰρ αὐτὸς μὴ πλανηθῇς ὅλμον τὴν ἴγδην λέγειν,
ὡς οἱ σοφοὶ σχολιασταὶ τῶν λέξεων Ὁμήρου·
ἀλλ' ὅλμον νῦν τὸν θώρακα λέγε, καθὼς περ εἶπον.
Τούτους μὲν οὕτως ἔκτεινεν ὡς εἶπον Ἀγαμέμνων·
πρὸς τε τοὺς ἄλλους ὥρμησε καὶ τὴν πληθὺν τῶν Τρώων·
οὐ τοὺς πεζοὺς μὲν οἱ πεζοὶ, ἱππεῖς δ' ἱππεῖς ἀνῄρουν·
ὁ Ἀγαμέμνων δ' εἵπετο σπουδαστικῶς κελεύων·
ἀεὶ δὲ τὸν ὀπίσθιον ἀνῄρει τῶν φευγόντων·
ὥς περ δὲ πῦρ ἐφευρηκὸς ὕλην πλειόνων ξύλων,
εἰ τῶν ἀνέμων τὴν πνοὴν κέκτηται συνεργοῦσαν,
εὐθὺς ῥιπτεῖ κατὰ τῆς γῆς θάμνους προῤῥίζους ὅλας·
οὕτως Ἀτρείδης ἔῤῥιπτε τὰς κεφαλὰς τῶν Τρώων,

εἰς γῆν συρόντων ἅρματα κενὰ τῶν ἵππων τότε·
τὸν Ἕκτορα δ' ἐξήγαγεν ἐκ τῆς ἀνδροκτασίας,
καὶ τȣ̃ πολέμȣ τȣ̃ δεινȣ̃ ὁ Ζεὺς, ἡ εἱμαρμένη·
φυγὴν δ' οἱ Τρῶες εἵλοντο καθάπερ τινὲς βόες,
ἃς ἐν τῷ μέσῳ τῆς νυκτὸς ἐφόβησεν ὁ λέων·
τῇ μὲν, δεικνύων ὄλεθρον· τῇ δὲ, λαβὼν αὐχένα,
λαφύσσων αἷμα σὺν αὐτοῖς τοῖς ἅπασιν ἐγκάτοις·
καθώς περ δὲ τὴν τίκτȣσαν ὀξὺ τιτρώσκει βέλος,
ὃ πέμπȣσιν Εἰλείθυιαι τῆς Ἥρας θυγατέρες,
τȣ́τȣ αἱ κακοπάθειαι γέννας, ἃς ἀὴρ αὔξει,
καὶ γὰρ αἱ κακοπάθειαι τῆς γέννας ἐξ ἀέρος,
τὴν γέννησεν ἐσχήκασιν, ὅτι τὸ βρέφος ἔνδον
ἀέρος ἐπισπώμενον αὐξάνει τὰς ὀδύνας,
ὡς μείζονος αὐξύσεως ἔνδον μεταλαμβάνον·
ȣ̔́τω τὸν Ἀγαμέμνονα τὸ τῆς ὀδύνης βέλος
ἐτίτρωσκεν, ἐδάμαζε, κατέτηκεν, ἐλύπει·
οἱ Τρῶες δὲ καὶ Ἕλληνες ἰσοπαλεῖς ὑπῆρχον,
εὐδοκησάσης ȣ̔́τω πῶς ἐξ ὕψȣς εἱμαρμένης,
Ἴριδος τότε τὸ λοιπὸν ἐξ ȣ̓ρανȣ̃ φανείσης·
Ἕκτωρ δ' ὁρμήσας τὸν ϛρατὸν πρὸς πόλεμον καὶ μάχην,
ἀνέῤῥωσε τὴν δύναμιν ἐκείνων πρὶν φευγόντων.
  Τῆς μάχης συῤῥαγείσης δε πάλιν ὁ Ἀγαμέμνων
ἀνεῖλεν Ἰφιδάμαντα· πλήξας αὐχένα ξίφει.
  Κόων δὲ τȣ́τȣ ἀδελφὸς δορὶ πρὸς τὸν ἀγκῶνα
ἔτρωσεν Ἀγαμέμνονα, διῆλθε δὲ τὸ δόρυ·
μέγιϛα δειλιάσας δὲ, ὅμως ȣ̓χ ὑπεχώρει,
ἀλλ' ἐφορμήσας καὶ αὐτὸν τὸν Κόωνα ἀνεῖλεν·
ὀδυνηθεὶς τὴν χεῖρα δε, τȣ̃ ἅρματος ἀπέβη·
καὶ πρὸς τὰς νῆας ἤλαυνε, τοῖς ἄλλοις παραγγείλας.
  Ἕκτωρ δ' ἀγείρας τὸν ϛρατὸν τῶν Τρώων καθ' Ἑλλήνων,
πρὸς πόλεμον ἐξώρμησεν· ἴσος σφοδρῷ ἀνέμῳ,

ὃς ἐμπεσὼν εἰς θάλασσαν μεγάλα κυματίζει·
καθώς περ δέ τις κυνηγὸς τȣ̀ς κύνας παροτρύνει
εἰς χοῖρον ἀγριώτατον, εἰς λέοντά τε μέγαν,
ȣ̔́τως ὁ Ἕκτωρ ὤτρυνε κατ' Ἀχαιῶν τȣ̀ς Τρῶας·
ἀπέκτεινεν Ἀσαῖον δε, Αὐτόνοον, Ὀπίτην,
Ὀφέλτιον, Ἀγέλαον καὶ Δόλοπα Κλυτίδην,
Ἱππόνοον καὶ Αἴσυμνον ἀπέκτεινε καὶ Ὦρον,
τȣ̀ς πάντας τȣ́τȣς ϛρατηγȣ̀ς Ἑλλήνων ἡγεμόνας.
Πληθὺν δ' ὥς περ ὁ Ζέφυρος τὰ νέφη συνταράσσει,
ἀργέτȣ Νότȣ πνέοντος ἀπὸ θατέρȣ μέρȣς,
ȣ̔́τω πυκνῶς αἱ κεφαλαὶ κατέπιπτον ἐκ τȣ́τȣ.
Ὁ Διομήδης ἔκτεινε τότε δε τὸν Θυμβραῖον,
ὁ Ὀδυσσεὺς Μολίονα τȣ́τȣ δὲ δȣ̃λον κτείνει.
υἱȣ̀ς δύο τȣ̃ Μέροπος ἀνεῖλε Διομήδης·
ὁ Ὀδυσσεὺς Ἱππόδαμον μετὰ τȣ̃ Ὑπερόχȣ·
οἱ δ' Ἕλληνες ἀνέπνεον τὸν Ἕκτορα φυγόντες.
Πάλιν Ἀγάϛροφον δορὶ βαλὼν πρὸς τὸ ἰσχίον,
ὁ Διομήδης ἔκτεινεν· Ἕκτωρ δ' ἰδὼν ἐκείνȣς
μέγα κραυγάζων κατ' αὐτῶν σὺν τοῖς Τρωσὶν ἐχώρει.
Τυδείδης τȣ̃τον δὲ βαλὼν τῇ περικεφαλαίᾳ,
κἂν περ ȣ̓κ ἐξεπέρασε τὸ δόρυ τριπλȣ̃ν ȣ̓̃σαν,
ὅμως πλέθρον ἐποίησε δραμεῖν ἐξοπισθίως,
καὶ πρὸς τὰ γόνατα πεσεῖν, ὄμματα σκοτωθέντα·
ὁρμῶντος τȣ̃τον κτεῖναι δὲ τότε τȣ̃ Διομήδȣς,
αὐτὸς ὁ Ἕκτωρ ἐπιβὰς ἐφ' ἅρματος ἦν φεύγων·
ὁ Διομήδης δ' ἀπειλῶν ἐκόμπαζε τοῖς λόγοις·
εἰ ἐκαρτέρησας ἐμὲ, κακῶς ἂν ὤλȣ κύων·
ἔσωσε δέ σε ἥλιος ὢν κατὰ πρόσωπον μȣ·
τέλος αὐτὸν Ἀγάϛροφον γυμνȣ̃ντα πανοπλίας,
πρὸς τὸν ταρσὸν τὸν δεξιὸν Ἀλέξανδρος τοξεύει·
τὸ βέλος δ' ȣ̔̃τος ἐκβαλὼν, ἤλαυνε πρὸς τὰς νῆας,

μόνον δὲ περιέκλεισαν οἱ Τρῶες Ὀδυσσέα·
ὥς πέρ δε κύνες θαλεροὶ πρὸς κάπρον ἀφορμῶσιν,
ὃ δ' ἐκ τῆς ὕλης εἰσπηδῶν ὀδόντας κροταλίζει·
οὕτως οἱ Τρῶες ὥρμησαν ἐπὶ τὸν Ὀδυσσέα·
δορὶ κατ' ὤμων δὲ βαλὼν, κτείνει τὸν Δηϊπίτην·
εἶτά δε καὶ τὸν Θόωνα καὶ Ὀρμενὸν ἀνεῖλε·
δορὶ δὲ κατὰ πρότμησιν, ὃν ὀμφαλὸν καλοῦσι,
τρώσας καὶ Χερσιδάμαντα κτείνει σὺν τοῖς ἑτέροις·
ἀπέκτεινε καὶ Χάροπα υἱὸν τὸν τοῦ Ἱππάσου·
Σῶκος δ' ὁ τούτου ἀδελφὸς καταπλευρίως τρώσας,
ἀπέπαυσε τοῦ μάχεσθαι τότε τὸν Ὀδυσσέα·
ἡ πανουργία γὰρ αὐτοῦ καὶ φρόνησις τὸ πλέον,
τὸ ξίφος οὐ κατέλειψε πηχθῆναι τοῖς ἐγκάτοις,
κἂν ἀνῃρέθη καὶ αὐτὸς αὐτῷ πληγεὶς τὴν ῥάχιν·
ἐξ Ὀδυσσέως δε πλευρῶν Τρῶες ἰδόντες αἷμα,
ὅ περ αὐτῷ προσέφερεν τὸ ξίφος τὸ τοῦ Σώκου,
ὥρμησαν πάντες ἐπ' αὐτόν· ὁ δ' ἐξοπίσω φεύγων
τρὶς μὲν ἐβόησε τρανῶς ὡς τύχῃ βοηθείας·
Μενέλαος ἀκούσας δὲ σὺν Αἴαντι παρέστη,
καὶ τοῦτον μέλλοντα θανεῖν ἐξέσωσαν ἐκ Τρώων·
ὥς περ δὲ θῶπες ἕπονται ἐλάφῳ βεβλημένῳ
ἐκφεύγοντι τὸν τρώσαντα μέχρι δύναμιν ἔχει,
τοῦ τόξου δὲ δαμάσαντος μὴ δυναμένῳ τρέχειν,
δαρδάπτουσιν ἐν ὄρεσιν οἱ ὠμοφάγοι θῶπες·
ὑπέτρεσαν δὲ λέοντα ποθὲν ἰδόντες μέγα·
οὕτως οἱ Τρῶες Ὀδυσσεῖ ἐπηκολούθουν πάντες·
ἦλθε δ' ὁ Αἴας πρὸς αὐτοὺς, ὃν κατιδόντες Τρῶες
ὑπέπτηξαν ὡς λέοντα θῶπες ἰδόντες ὄρει.
Ὁ Αἴας δε τοῖς Τρώεσιν ὡς λέων ἐκπηδήσας,
ἀπέκτεινε τὸν Δόρυκλον νόθον υἱὸν Πριάμου,
καὶ Πάνδοκον, καὶ Λύσανδρον, καὶ Πύρασον, Πυλάρτην.

Ὡς δὲ χειμάῤῥους ποταμὸς ἐξ ὄμβρων πλημμυρίσας,
δρῦς κατασύρει μετ' ἀφροῦ καὶ πεύκας τῇ θαλάσσῃ,
οὕτω τῷ τότε παρορμῶν ὁ Αἴας συνεκλόνει
ἱππεῖς, καὶ ἵππους καὶ πεζοὺς, πάντας ὁμοῦ συγκόπτων·
ἀριστεροῖς ὁ Ἕκτωρ δὲ τὴν μάχην συνεκρότει
ὄχθαις Σκαμάνδρου ποταμοῦ, θόρυβος ὅπου μέγας,
ὅπου περ ἔπιπτον ἀνδρῶν αἱ κεφαλαὶ πρὸς πλέον,
περὶ τὸν μέγαν Νέστορα καὶ τὸν Ἰδομενέα.
Ἀλέξανδρος τοξεύει δὲ Μαχάονα τῷ τότε,
καὶ παύει τοῦτον τόλμης τε καὶ τῆς ἀνδραγαθίας,
βαλὼν κατ' ὦμον δεξιὸν ἐν τριβελεῖ τῷ βέλει,
ὃν Νέστωρ ἐν τῷ ἅρματι ἐκβάλλει τοῦ πολέμου.
Ὁ Κεβριόνης δὲ ἰδὼν τοὺς Τρῶας κλονουμένους,
ἡνιοχῶν τῷ Ἕκτορι φησὶν ὡς πρὸς ἐκεῖνον·
ἡμεῖς μὲν πρὸς τὰ ἔσχατα στρεφόμεθα τῆς μάχης,
οἱ δ' ἄλλοι Τρῶες συμμιγῶς, ἱππεῖς, πεζοὶ καὶ ἵπποι
συγκόπτονται παρ' Αἴαντος· ἔγνων καλῶς ἐκεῖνον·
φέρει περὶ τοὺς ὤμους γὰρ οὗτος πλατὺ τὸ σάκος·
ἐκεῖ γοῦν ἄρτι καὶ ἡμεῖς ἐλαύσωμεν τὸ ἅρμα,
ὅπου πεζοί τε καὶ ἱππεῖς πολέμῳ βαρυτάτῳ
ἀλλήλους κατασφάττουσι, βοὴ δ' ἐστὶ μεγάλη·
οὕτως εἰπὼν ἐξήλασε διὰ νεκρῶν τὸ ἅρμα
συγκόπτων τούτους τοῖς τροχοῖς καὶ τοῖς ποσὶ τῶν ἵππων·
καὶ τῶν λοιπῶν ἐπήρχετο τάξεις Ἑλλήνων Ἕκτωρ,
ἐν ξίφει τὲ καὶ δόρατι καὶ λίθοις βαρυτάτοις
βαλλόμενος τοῖς Ἀχαιοῖς, ὠθέμενος μικρόθεν·
τοῦ Αἴαντος δ' ἐξέφευγε τὴν κατὰ χεῖρας μάχην·
ὁ Ζεὺς, ἡ εἱμαρμένη, δὲ τὸν Αἴαντα δειλαίνει·
ἔστη δὲ μόνος ἐκπλαγεὶς καὶ θεὶς ὀπίσω σάκος,
φεύγει περιβλεψάμενος ἐν ἠρεμαίᾳ βάσει·
ὥς περ δ' ἀποδιώκουσιν ἐκ τῶν βοῶν τῆς μάνδρας

κύνες καὶ ἄνδρες λέοντα διάπυρον καὶ μέγαν·
ὃ δ' οὐ πληροῦν τί δύναται, καὶ γὰρ τὰ ξίφη τρέμει,
τὰ κατ' αὐτοῦ κινούμενα καὶ δᾴδας καιομένας,
πρωῒ δ' ἐξέφυγεν αὐτοὺς θυμῷ λελυπημένῳ·
οὕτως ὁ Αἴας ἔφευγε λυπούμενος ἀμέτρως.
ὥς περ δ' εἰς ἄρουραν ἐλθὼν ὄνος βιάζει παῖδας,
εἰς ὃν περ κατεάγησαν πλήθη πολλὰ ῥοπάλων.
ὁ δὲ, ῥοπάλων παιδικῶν, ἐσθίει, μὴ φροντίζων·
μόλις δ' ἐξέλασαν αὐτὸν ἀφ' οὗ περ ἐχορτάσθη·
οὕτω τῶν Τρώων ἔνυσσαν τὸν Αἴαντα τὰ ξίφη·
σὺν τοῖς Τρωσὶ δ' ἐπίκουροι μέσον τὸ σάκος τούτου
τοῖς δόρασι τιτρώσκοντες κατόπιν ἠκολούθουν·
οὗτος δ' ὑπέστρεψε ποτὲ καὶ μάχην συνεκρότει,
ποτέ δε πάλιν ἔφευγεν, εἶργε δ' ὡς εἶχε Τρῶας·
μέσος αὐτὸς ἱστάμενος Ἑλλήνων τὲ καὶ Τρώων,
τὰ ξίφη δὲ καὶ δόρατα καὶ βέλη τὰ παντοῖα,
ἄλλα τῷ σάκει τούτου μὲν ἦσαν ἐκπεπαρμένα,
πολλά δ' εἰς γῆν ἐπέπηκτο θέλοντα τοῦτον τρῶσαι·
τοῦτον δὲ βιαζόμενον τοῖς βέλεσιν ὡς εἶδε,
στὰς παρ' αὐτὸν Εὐρύπυλος, πέμπει τὸ δόρυ τούτου,
καὶ Ἀπισάονα βαλὼν ἀνεῖλε τὸν Φαυσίου·
ὁρμήσας τοῦτον δὲ γυμνοῦν αὐτοῦ τῆς πανοπλίας,
τὸ δεξιὸν τοξεύεται μηρὸν ἐξ Ἀλεξάνδρου·
καὶ τὸ τοῦ βέλους ξύλον μὲν εὐθέως ἀπεκλάσθη,
τὸν δὲ μηρὸν Εὐρύπυλος ὀδυνηθεὶς μεγάλως,
ἔφευγε πρὸς τοὺς Ἕλληνας μέγα βοῶν καὶ κράζων.
Ὦ στρατηγοὶ. συστράφητε πάντες οἱ τῶν Ἑλλήνων,
καὶ στάντες βοηθήσατε· ὁ Αἴας κινδυνεύει.
πνιγόμενος τοῖς βέλεσιν· οὐ δὲ φυγεῖν δοκεῖ μοι·
Οὕτως εἶπεν Εὐρύπυλος, οἱ δ' ἔστησαν πλησίον,
αὐτῶν τοῖς ὤμοις θέμενοι ἕκαστος τὰς ἀσπίδας,

ἐκτείναντες τὰ δόρατα· ἦλθε δ' αὐτὸς ὁ Αἴας,
ὥς περ καρκῖνος ὄπισθεν ποιȣ́μενος τὴν βάσιν·
ἐπάν δ' αὐτοῖς προσήγγισεν, εὐθέως μετεϛράφη.
ȣ̔́τως οἱ μὲν ἐμάχοντο θερμῶς καὶ διαπύρως.
Νέϛορος δὲ Μαχάονα ἐξάγοντος πολέμȣ,
ὁ Ἀχιλεὺς τὸν Πάτροκλον πέμπει μαθεῖν τίς εἴη·
ὁ δὲ πρὸς Νέϛορος σκηνὰς παραδραμὼν εὐθέως,
ἐκείνȣς πίνοντας εὑρὼν, Μαχάονα γνωρίζει.
πολλὰ δὲ παρὰ Νέϛορος νουθετηθεὶς πρεπόντως,
ἢ πεῖσαι λόγοις ἐξελθεῖν εἰς μάχην Ἀχιλέα,
εἴτ' ȣ̓̃ν αὐτὸν, φορέσαντα τὴν τȣ́τȣ πανοπλίαν·
τȣ̃τον τοῖς λόγοις ἔπεισεν, ὃς ὑποϛρέφων πάλιν,
εὑρὼν Εὐρύπυλον μηρὸν τῷ βέλει τοξευθέντα,
καί περ σπȣδάζων πρὸς αὐτὸν ἐλθεῖν τὸν Ἀχιλέα
ὅμως αὐτὸν ἰάτρευσε· τὸ βέλος ἐκβαλών γαρ,
ἐν χλιαρῷ τῷ ὕδατι ἀπένιψε τὸ αἷμα·
τρίψας δὲ ῥίζαν τὴν πικρὰν τὴν τȣ̃ Ἀριϛολόχȣ,
τὴν παυϛικὴν τῶν ὀδυνῶν ἐνέβαλε τῷ ἕλκει·
ἣ τις πάσας ἀπέπαυσεν ἐκείνας τὰς ὀδύνας·
τὸ ἕλκος ἐξηράνθη μὲν, ἐπαύθη δὲ τὸ αἷμα·

## ʽΥΠΟΘΕΣΙΣ ΤΗΣ Μ. ʽΟΜΗΡΟΥ ʽΡΑΨΩΔΙΑΣ

Οὕτω σκηναῖς ὁ Πάτροκλος Εὐρύπυλον ἰᾶτο·
οἱ δ' Ἕλληνες ἐμάχοντο καὶ Τρῶες κατὰ πλήθη·
τὸ τῶν Ἑλλήνων ἔμελλε τεῖχος δὲ καταπίπτειν·
ἐκτίσθη παρὰ γνώμην γὰρ θεῶν τῶν ἀθανάτων,
εἰς κάκιϛον θεμάτιον ἐν τροπικοῖς, ὡς εἶπον,
διὸ καὶ ȣ̓ μακρόχρονον ἔμελλε πεφυκέναι·

μετὰ γὰρ ὑπονόστησιν Ἑλλήνων εἰς πατρίδας,
ὁ Ποσειδῶν, Ἀπόλλων τε, τὸ ὕδωρ καὶ ὁ χρόνος,
ὅς τις ἐκ τῆς κινήσεως πληροῦται τοῦ ἡλίου,
τὴν σφαῖραν περιτρέχοντες ἐν δρόμοις τοῖς οἰκείοις
πρὸς τὴν ἑῴαν ἐκ δυσμῶν, οἵ περ πλανήτων δρόμοι,
ἔμελλον βουλευόμενον τὸ τεῖχος ἀφανίσαι·
τόσους ἐξ Ἴδης ποταμοὺς πληρώσαντες ὑδάτων,
τὸν Ῥῆσον τὸν Ἑπτάπορον, Ῥόδιον, Κάρησόν τε,
τὸν Γρήνικον, καὶ Αἴσηπον, Σκάμανδρον καὶ Σιμοῦντα·
ὅπου πολλαὶ μὲν ἔπεσον ἀσπίδες καὶ κυνέαι,
ὅπου περ πίπτει θερισθὲν γένος ἀνδρῶν ἡρώων·
τούτους τοὺς πάντας ποταμοὺς ἀναστομώσας χρόνος,
ἐννεαημέρως ἔπεμπε ῥέοντας πρὸς τὸ τεῖχος,
ὀμβροῦντος ἅμα σὺν αὐτοῖς καὶ οὐρανοῦ, Διός δε,
καὶ Ποσειδῶνος πλήττοντος τὰ τείχη τῇ τριαίνῃ,
ἤγουν καὶ τρικυμίας δε μεγάλους τῆς θαλάσσης,
ποιησαμένης προσβολὰς, τὸ τεῖχος ἠφανίσθη.
Ταῦτα μὲν οὕτως ἔμελλον ὑστέρως γεγονέναι·
τότε δὲ πόλεμος σφοδρὸς ἐῤῥάγη πρὸς τὸ τεῖχος,
ἐκτύπει δὲ βαλλόμενα ξύλα τῶν πυργωμάτων,
Ἀργεῖοι δὲ τὸν Ἕκτορα δεινῶς ἐπτοημένοι,
καὶ δαμασθέντες μάστιγι, δεινῇ τῇ εἱμαρμένῃ,
συγκεκλεισμένοι ταῖς ναυσὶν ἄκοντες ἐκαρτέρουν·
ὁ δὲ Τρωσὶν ἐκέλευε τὴν τάφρον ὑπερβαίνειν·
οἱ ἵπποι δ᾽ ἐχρεμέτιζον τοῖς χείλεσι τῆς τάφρου,
περᾶν γὰρ ἐδειμαίνοντο τῶν κατακρήμνων οὖσαν,
πυκνοὺς, ὀξεῖς τε σκόλοπας ἔχουσαν πεπηγμένους,
ὅπου περ ἵππος οὐκ εἰσβῇ εὔτροχον ἅρμα σύρων.
Ὁ Πολυδάμας Ἕκτορι τότε δὲ συμβουλεύει
πεζεύσαντας τοὺς σύμπαντας πανόπλως ὡπλισμένους,
καὶ φραξαμένους πυργηδὸν, χωρεῖν ὡς πρὸς τὸ τεῖχος·

ȣ̔́τως εἰπόντος ἅπαντες ἀπέβησαν τῶν ἵππων,
πρώτȣ πρὸ πάντων Ἕκτορος ἅρματος ἀποβάντος.
εἰς πέντε ϛραταρχίας δὲ καλῶς συντεταγμένοι,
οἱ πλεῖϛοι μὲν καὶ ἄριϛοι καὶ πνέοντες πολέμȣ,
καὶ τεῖχος ῥῆξαι σπεύδοντες καὶ μάχεσθαι τοῖς πλοίοις,
μετά τε Πολυδάμαντος, Ἕκτορος, Κεβριόνȣ·
οἱ δὲ μετὰ τȣ̃ Πάριδος, Ἀγήνορος, Ἀλκάθȣ,
μετὰ δ᾽ Ἑλένȣ ἕτεροι, Ἀσίȣ, Δηϊφόβȣ,
ἄλλοι μετ᾽ Ἀρχιλόχȣ τε, Ἀκάμαντος, Αἰνείȣ·
οἱ πέμπτοι δὲ τὰ ξενικὰ καὶ τὰ τῶν ἐπικȣ́ρων
σὺν Σαρπηδόνι ϛρατηγῷ, Ἀϛεροπαίῳ, Γλαύκῳ,
συνασπισμὸν ποιήσαντες, πύκνωσιν τῶν ἀσπίδων,
ὤμων, δοκȣ̃ντες Ἕλληνας πάντας ναυϛάθμοις κτεῖναι·
βȣλαῖς δὲ Πολυδάμαντος πάντων πεζῶν χωρȣ́ντων,
Ἄσιος μόνος τῶν λοιπῶν ἱππεὺς ἁρματηλάτης,
θρασὺς, ἐχώρει σοβαρὸς ὡς πρὸς αὐτὸ τὸ τεῖχος·
πρὸς πλοίων δὲ ἀριϛερὸν ὥρμησαν ȣ̃ται μέρος,
ὅπȣ περ ἦσαν φεύγοντες Ἕλληνες ἐκ πεδίȣ·
ȣ̃τος ἐκεῖ παρήλαυνε τὸ ἅρμα καὶ τȣ̀ς ἵππȣς,
κομπαϛικῶς· οἱ δ᾽ ἤρχοντο κατόπισθεν βοῶντες·
ἤλπιζον γὰρ οἱ ἄφρονες Ἕλληνας παραυτίκα
πάντας ὁρμῆσαι πρὸς φυγὴν, μὴ δ᾽ ὑποϛῆναι τȣ́τȣς·
εὗρον ἠνεωγμένας δὲ πύλας Ἑλλήνων τείχȣς,
ἄνδρες αὐτὰς κατεῖχον δὲ, σώζοντες πεφευγότας·
εὗρον καὶ δύο ϛρατηγȣ̀ς τῶν Λαπιθῶν ἐν πύλαις·
Τὸν μέγαν Πολυποίτην τε καί γε τὸν Λεοντέα,
τὸν μὲν, Ἱπποδαμείας τε υἱὸν καὶ Πειριθόȣ,
τὸν Λεοντέα παῖδα δὲ Κορώνȣ, Κλεοβȣ́λης·
ȣ̃τοι πρὸ τῶν πυλῶν ἦσαν τῶν ὑψηλῶν ἑϛῶτες·
ὡς ὑπερμήκεις κραταιαὶ καὶ τῶν εὐρίζων δρῦες,
αἵ περ ἀνέμȣς ὄρεσι καὶ ὄμβρȣς καρτερȣ̃σιν,

οὕτω καὶ οὗτοι ταῖς χερσὶ θαῤῥοῦντες ἐκαρτέρουν·
οἱ δὲ περὶ τὸν Ἄσιον, Ἰαμενὸν, Ὀρέστην,
Ἀδάμαντα, καὶ Θόωνα μετὰ τοῦ Οἰνομάου,
εἰς ὕψος ἀνατείναντες ἀσπίδας βοοδέρμους,
μετὰ μεγάλης τῆς κραυγῆς ἐχώρουν πρὸς τὸ τεῖχος.
Ὁ μέγας Πολυποίτης δὲ μετὰ τοῦ Λεοντέως,
μέχρι τινὸς ὑπάρχοντες, ἔνδον ἑστῶτες τείχους,
ὑπὲρ τῶν πλοίων πολεμεῖν τοὺς Ἕλληνας παρώρμων·
ἀφ' οὗ τοὺς Τρῶας εἶδον δὲ πρὸς πύλας ὁρμηθέντας,
τοὺς Ἕλληνας δὲ φεύγοντας μετὰ κραυγῆς μεγάλης,
ἔμπροσθεν στάντες τῶν πυλῶν τὴν μάχην συνεκρότουν.
Ὥς περ ὁ χοῖρος ἄγριος τρεφόμενος ἐν ὄρει
ἐκδέχεται τὸν θόρυβον κυνῶν τε καὶ ἀνθρώπων,
σύῤῥιζον δὲ συγκατασπᾷ τὴν ὕλην πλαγιάζων,
κρότον καὶ κτύπον ἄπειρον ἐκ τῶν ὀδόντων πέμπων,
οὕτως καὶ τούτων ὁ χαλκὸς ἐκράτει βαλλομένων·
κτύπος ὑπῆρχε δὲ πολὺς ἀσπίδων καὶ θωράκων,
καὶ περικεφαλαίων δὲ συχνάκις βαλλομένων,
ἐκ τῶν ξιφῶν καὶ τῶν πετρῶν καὶ τῶν βελῶν ἁπάντων
δίκην χιόνος συνεχοῦς χειρῶν ἐκπεμπομένων,
ἄλλοι παρ' ἄλλας πύλας δὲ τὴν μάχην συνεκρότουν·
πρὸς πᾶν τὸ τεῖχος δὲ τὸ πῦρ ἔλαμπεν ἐκ τῶν ὅπλων.
Ὁ Πολυποίτης τότε δὲ τῇ περικεφαλαίᾳ
δορὶ βαλὼν τὸν Δάμασον, ἐδάμασεν αὐτίκα·
ἔπειτα καὶ τὸν Πύλωνα καὶ Ὄρμενον ἀνεῖλεν.
Ὁ Λεοντεὺς δ' Ἱππόμαχον βαλὼν κατὰ ζωστῆρα,
ἑλκύσας καὶ τὸ ξίφος δὲ, κτείνει τὸν Ἀντιφάτην·
ἔπειτα καὶ τὸν Μένωνα, Ἰαμενὸν, Ὀρέστην,
ἕως τούτους ἀπέκτεινον οἱ περὶ Πολυποίτην,
τοῖς σὺν τῷ Πολυδάμαντι καὶ Ἕκτορι ἀρίστοις,
μέριμνα γίνεται πολλὴ περὶ τὴν τάφρον οὖσι·

τέρας ἐφάνη γὰρ αὐτοῖς ἀπὸ τῶν ἀπαισίων,
δράκοντα φέρων ἀετὸς ζῶντα, δηχθεὶς ἐκ τούτου,
μέσω τῶν Τρώων ἔῤῥιψε καὶ κλάγξας ὑπεχώρει·
φόβος δὲ μέγας τοῖς Τρωσὶν ἡ τοῦ συμβάντος θέα.
Τοῦ Πολυδάμαντος λοιπὸν νοήσαντος τὸ τέρας,
ὅτι Τρωσὶ γενήσεται δεινὴ παλιντροπία,
Τρῶες δὲ πέσωσι πολλοὶ χερσὶ ταῖς τῶν Ἑλλήνων,
καὶ λέγοντος πρὸς πόλεμον τὸν τότε καταλεῖψαι,
ὠργήσθη καὶ καθύβρισεν Ἕκτωρ πικρῶς ἐκεῖνον·
μετὰ κραυγῆς δ' ἐξώρμησεν ὡς πρὸς αὐτὸ τὸ τεῖχος,
καὶ ξυλοπύργους πρὸς αὐτὸ στήσαντες δὴ τὸ τεῖχος,
τοὺς κρόσσας τε καὶ γρόμφας τε καὶ σκρόφας καλουμένας,
τοὺς προμαχῶνας πρὸς τὴν γῆν κατέβαλον τοῦ τείχους·
καὶ πάντα τὰ κριώματα μοχλεύοντες ἐῤῥίπτουν·
οἱ δ' Ἕλληνες συμφράξαντες ἀσπίσι προμαχῶνας,
ἔβαλλον Τρῶας, ἐξ αὐτῶν ὁρμῶντας πρὸς τὸ τεῖχος·
ἁπανταχοῦ τῶν πύργων δε ὁ Αἴας περιτρέχων,
σὺν τῷ Λοκρῷ τῷ Αἴαντι κελεύων καὶ προστάσσων,
παρώτρυνε τοὺς Ἕλληνας ἐμβάλλων προθυμίαν,
λόγοις μὲν ἄλλον στερεοῖς, ἄλλον ἐν πράοις λόγοις·
αἱ τῶν πετρων δε χάλαζαι τῶν Τρώων τῶν Ἑλλήνων
ὑπὲρ χιόνα κρύπτουσαν γῆν, ὄρη, καὶ λιμένας.
Ὁ Σαρπηδὼν παρήνει δε τότε τῷ Γλαύκῳ λέγων,
ὡς πρέπει τὸν τιμώμενον ἄρχοντα στρατιώτην,
τὸν ὄντα πρῶτον χρήμασι καὶ κτήμασι τοῖς ἄλλοις,
εἶναι καὶ πρὸς τὸν πόλεμον πρωτεύοντα τῶν ἄλλων,
ὅπως μὴ λέγῃ τις αὐτὸν εἰς μάτην δοξασθῆναι·
εἴ περ γὰρ τόν δε πόλεμον, ὦ Γλαῦκε, πεφευγότες
ἐμέλλομεν ἀθάνατοι καὶ ἄνευ γήρως εἶναι,
οὐκ ἂν μαχόμενος αὐτὸς ὑπῆρχον ἐν τοῖς πρώτοις,
ἀλλ' οὐδὲ σὲ παρώρμων ἂν εἰς πόλεμον καὶ μάχην·

ἐπεὶ δὲ τρόποι μὲν εἰσὶ μυρίοι τοῦ θανάτου,
οὕς περ οὐκ ἔστι δυνατὸν ἄνθρωπον πεφευγέναι,
καρτερικῶς μαχόμενοι. κτείνωμεν ἢ κτανθῶμεν.
Οὕτως εἰπὼν παρώτρυνεν αὐτὸν καὶ τοὺς Λυκίους·
καὶ πρὸς αὐτὸν ἐξώρμησαν τὸν πύργον Μενεσθέως·
ὁ Μενεσθεὺς δὲ πτοηθεὶς ἑώρα πρὸς τοὺς πύργους,
τίς ἄρα τούτῳ στρατηγὸς ἀνὴρ προσβοηθήσει·
πλησίον δὲ τοὺς Αἴαντας ἰδὼν, ἀλλὰ καὶ Τεῦκρον,
βοῶν αὐτοὺς οὐκ ἴσχυε ποιῆσαι κατακοῦσαι·
εἰς οὐρανὸν ὁ κτύπος γὰρ ὁ τότε διϊκνεῖτο
πύργων, πυλῶν καὶ τῶν τειχῶν, συχνάκις βαλλομένων,
καὶ περικεφαλαίων δὲ συνάμα ταῖς ἀσπίσι·
πέμψας Θοώτην ἔπειτα, τὸν Αἴαντα καλεῖ δὲ,
ὅς περ ἐλθὼν σὺν ἀδελφῷ τῷ Τεύκρῳ τῷ τοξότῃ,
τὰ τόξα τούτου φέροντος Πανδίωνος τῷ τότε,
πρὸς πύργον δ' ἀναβαίνοντας τετυχηκὼς Λυκίους,
λίθῳ τραχεῖ τὸν Ἐπικλῆ τὸν Σαρπηδόνος φίλον,
βαλὼν ἐξ ὕψους ἔῤῥιψεν ἀπὸ τοῦ πύργου κάτω·
θλάσας ὁμοῦ τὴν κεφαλὴν καὶ περικεφαλαίαν·
Ὁ Τεῦκρος δὲ βραχίονι τὸν Γλαῦκον ἐκτοξεύει,
πρὸς τεῖχος ἀνερχόμενον, ὃς πέφευγε πηδήσας,
ὡς μή τις ἐγκαυχήσεται τῶν Ἀχαιῶν τῇ τρώσει·
ὁ Σαρπηδὼν δ' Ἀλκμαίονα τρώσας δορὶ φονεύει,
τὸν προμαχῶνα τὲ χερσὶν ἑλκύσας ἀποκόπτει·
ἀπογυμνοῖ τὸ τεῖχος δὲ πᾶσιν ὁδὸν ποιήσας.
Τοῦτον ὁ Τεῦκρος δὲ βαλὼν βέλει πρὸς τελαμῶνα,
πρὸς τελαμῶνα δὲ φημὶ τοῦ θυρεοῦ, ἀσπίδος,
ὁ Αἴας τὴν ἀσπίδα δὲ τῷ δόρατι τρυπήσας,
μικρόν τι παρεξέωσαν ἀπὸ τοῦ προμαχῶνος·
οὗτος δὲ πάλιν σὺν αὐτοῖς ὥρμησε τοῖς Λυκίοις·
καὶ συγκροτοῦσι καρτερὰν καὶ στεῤῥοτάτην μάχην.

Καθά περ δύο ἄνδρες δὲ πρὸς ἐπικοίνῳ τόπῳ,
ερίζουσιν ἐν ταῖς χερσὶν κατέχοντες τὰ μέτρα,
οὕτω καὶ οὗτοι ἤριζον ἕνεκα δὴ τοῦ τείχους·
οὐδ' οὕτως ἠδυνήθησαν Ἕλληνας ἐκφοβῆσαι·
καθώς περ δὲ φιλάληθος γυνὴ χειρωνακτοῦσα,
τὸ τάλαντον ἐπέχει μὲν, ἰσάζουσα δ' ἀνέλκει,
ἐν ᾧ σταθμὸν ἐνέβαλε συνάμα τοῖς εἰρίοις,
ὅπως τοὺς παῖδας θρέψειεν ἐκ τῆς μισθοδοσίας,
οὕτως ἐταλαντεύετο καὶ τούτοις ἴση μάχη·
ὡς πόκον φέρει δὲ ποιμὴν ἀμογητὶ προβάτου,
οὕτως ὁ Ἕκτωρ ἔφερε τὸν λίθον τὸν ῥηθέντα·
ἁπανταχοῦ δ' οἱ πύργοι τε καὶ πάντες προμαχῶνες
ἐβάπτοντο τοῖς αἵμασιν Ἑλλήνων τε καὶ Τρώων·
οἱ Τρῶες δὲ, τοῦ Ἕκτορος κελεύοντος ἐκείνοις,
ὁμοῦ πάντες ἀνέβαινον κλίμαξι πρὸς τὸ τεῖχος,
καὶ πύργοις, οἷς περ εἴπομεν, ξυλίνοις ὑποτρόχοις·
Ἕκτωρ δὲ λίθον μέγιστον ἄρας εἰς ὕψος τότε,
οἷον ἐκ γῆς πρὸς ἄμαξαν μόλις ἂν θῶσι δύο,
μέσας τὰς πύλας ἔβαλλε, τὰς στρόφιγγας ἐκκόπτει·
ὁ λίθος ἔσω πέπτωκε, ἐκρότησαν αἱ πύλαι·
σανὶς δὲ πᾶσα τῶν πυλῶν τμηθεῖσα διεσπάρει·
δύο δὲ δόρατα κρατῶν, τῷ θωρακί τε λάμπων,
δεινὸς κατὰ τὸ πρόσωπον, πῦρ ὀφθαλμῶν ἐκπέμπων,
ὁ Ἕκτωρ εἰσεπήδησεν ἔνδον τοῦ τείχους τότε·
ὅν περ οὐκ ἄν τις ἴσχυσεν ἄνευ θεῶν κωλῦσαι,
καὶ τοῖς Τρωσὶν ἐκέλευσεν ἐμβαίνειν πρὸς τὸ τεῖχος.
Οὗτοι μὲν οὖν εἰσέβαινον ἐκ τῶν πυλῶν καὶ πύργων,
πρὸς δὲ τὰς νῆας ὁ στρατὸς ἦν φεύγων τῶν Ἑλλήνων,
βοὴ δ' ἤρθη καὶ θόρυβος, κατάπαυσιν οὐκ ἔχων.

## ʽΥΠΟΘΕΣΙΣ ΤΗΣ Ν. ʽΟΜΗΡΟΥ ʽΡΑΨΩΙΔΙΑΣ

Ὁ Ζεὺς, ἡ εἱμαρμένη, δὲ σὺν Ἕκτορι τοὺς Τρῶας,
ἀφ' οὗ πρὸς ναῦς προσήγαγεν, ἐκεῖσε καταλείπει,
ἀδιαλείπτως πολεμεῖν καὶ πόνους ὑπομένειν·
μέχρι γὰρ πλοίων κατελθεῖν ἦν εἱμαρμένη Τρῶας,
οὐ μὴν καὶ περαιτέρω δε, ὅθεν φησὶ τοιαῦτα·
αὐτὸς ἑώρα Θρᾷκας δὲ ἄρδρας μαχιμωτάτους,
ἤγουν τοὺς ἐν ἑτέροις δὲ πολέμους καθεώρα·
καὶ Σκύθας τοὺς ἀμέλγοντας τὸ γάλα τὸ τῶν ἵππων,
οὓς περ Ἀβίους τε καλεῖ καὶ τῶν δικαιοτάτων,
ζῶσι σκηνήτην βίον γὰρ οὐ τῶν πολυχρημάτων,
καὶ πρὸς ἀλλήλους δὲ πολλῇ χρῶνται δικαιοσύνῃ,
ὑπὲρ ἡμᾶς τοὺς τῷ Χριστῷ τάχα δεδουλωμένους·
κλέπτης αὐτοῖς οὐδείς ἐστιν ὡς κλέψαι τί θρεμμάτων.
ὁ λόγος βεβαιότερος τούτοις ἐστὶ τῶν ὅρκων,
οὓς ἂν ὁ Καλχηδόνος τε ὀμόσῃ καὶ Κυζίκου.
ὁμονοοῦσιν ἅπαντες καὶ ζῶσι κοινοβίως·
πολλὰ τῆς δικαιότητος τούτοις ἐστὶ σημεῖα.
Ὁ ἐκ θαλάσσης Ποσειδῶν ὁ βοηθὸς Ἑλλήνων,
τοιουτοτρόπως βοηθεῖν τοῖς Ἕλλησιν ἐλέχθη·
νέφος παχύ τι πυκνωθὲν ἤρθη πρὸς Σαμοθρᾴκην,
πρὸς ὄμβρον τοῦτο δὲ ῥαγὲν, ἀνέμους τε κινῆσαν,
κατεναντίους ταῖς ναυσὶν ἔσχε μὴ φεύγειν τούτους·
ἐκ τότε γὰρ οἱ Αἴαντες θαῤῥήσαντες μεγάλως,
γενναιοτέρως τοῖς Τρωσὶ τὴν μάχην συνεκρότουν·
οὐκ ἔτι γὰρ ὑπώπτευον ναυσὶ τοὺς ἄλλους φεύγειν,
φυγῆς τόπον οὐκ ἔχοντες κἀκεῖνοι συνεμάχουν.
Οὕτω λοιπὸν οἱ Αἴαντες μετὰ τῶν ἀριστέων
συνασπισμὸν ποιήσαντες, πυκνώσαντες τοὺς λόχους,

τὰς περικεφαλαίας δε, τὰ δόρατα, τὰ σάκη,
τοὺς Τρῶας καὶ τὸν Ἕκτορα γενναίως ἐκαρτέρουν·
οἱ Τρῶες πάντες δὲ ὁμοῦ τύπτουσι πρῶτοι τούτους·
ὁ δ' Ἕκτωρ πάντων πρώτιστος ὥς περ στρογγύλος λίθος,
ὅν περ χειμάῤῥους ποταμὸς ἐξ ὄρους ἀποκόψει,
πρὸς τὸ πρανὲς ἐξ ὄρους δε κυλίεται σὺν κτύπῳ,
κόπτων τὴν ὕλην, κατακλῶν, ἀναπηδῶν εἰς ὕψος,
ἕως οὗ πρὸς ἰσόπεδον φθάσῃ, καὶ λεῖον τόπον,
τότε δ' οὐκ ἔτι δύναται κυλίεσθαι καὶ θρώσκειν·
οὕτως ὁ Ἕκτωρ ἀπειλῶν ἐκόμπαζε μεγάλως,
εὐκόλως διελεύσεσθαι σκηνὰς τὰς τῶν Ἑλλήνων,
σκηνὰς ὁμοῦ καὶ νῆας τε μέχρι θαλάσσης κτείνων.
Τοιαῦτα μὲν ἐκόμπαζε μέχρι τινὸς τοῦ χρόνου·
ἀλλ' ὅτε δὴ προσήγγισεν Αἰάντων παρατάξει,
καὶ τῶν σακῶν τὴν πύκνωσιν εἶδε καὶ τῶν δοράτων,
οἷα στεῤῥὸν εὐάρμοστον πύργον πυκνοῖς τοῖς λίθοις,
τὰ κράνη δὲ καὶ θώρακας καὶ ξίφη τεθηγμένα,
καὶ σιδηρᾶν τὴν ἀστραπὴν ἐκπέμποντα τῇ στίλψει,
ἔστη μὴ θέλων ἔγγιστα, οἱ δ' Ἕλληνες ἀντίοι,
τοῖς ξίφεσι καὶ δόρασι τιτρώσκοντες ἐκεῖνον
ἀφ' ἑαυτῶν ἀπήλασαν· σύντρομος δ' ὑπεχώρει,
τοῖς δὲ Τρωσὶν ἐβόησεν· ὀλίγον καρτερεῖτε·
οὐ πρὸς μακρὸν οἱ Ἕλληνες κωλύσουσί με χρόνῳ,
κἄν περ κατεπυκνώθησαν ὥς περ στεῤῥότης πύργου·
ἀλλὰ νομίζω πρὸς τροπὴν τῷ δόρατι κινήσω·
οὕτως εἰπὼν ἀνήγειρε τῶν Τρώων προθυμίαν.
Ὁ Μηριόνης τότε δε περιπατοῦντα Γαῦρον
Δηΐφοβον ἐφόβησε δορὶ βαλὼν ἀσπίδα,
τὸ πρόσθιον δὲ δόρατος συνθλάσας τοῦ οἰκείου,
πρὸς τὴν σκηνὴν ἀφώρμησεν ἄλλο κομίσαι δόρυ,
οἱ δ' ἄλλοι πάντες σὺν βοῇ τὴν μάχην συνεκρότουν.

Ὁ Τεῦκρος δὲ τὸν Ἴμβριον πρῶτος τῶν ἄλλων κτείνει,
υἱὸν ὄντα τȣ̃ Μέντορος, γαμβρὸν δὲ τȣ̃ Πριάμȣ,
Μηδεσικάστην εἶχε γὰρ νόθην Πριάμȣ κόρην·
τȣ̃τον τρώσας ἀπέκτεινε πρὸς ȣ̃ς τῷ δορατίῳ.
Καθὰ δὲ δένδρον μέλινον ἱστάμενον ἐν ὄρει
ἤχει πεσὼν κατὰ τῆς γῆς τεμνόμενον σιδήρῳ,
ȣ̃τω καὶ ȣ̃τος ἔπεσεν, ἤχει δ' αὐτȣ̃ τὰ τεύχη·
ὡς δὲ φονεύσας, ὥρμησεν ἐκεῖνον καὶ γυμνῶσαι,
Ἕκτωρ τὸ δόρυ κατ' αὐτȣ̃ βαλὼν ἐκπεφευγότος,
στήθει βαλὼν ἀπέκτεινεν Ἀμφίμαχον Κλεάτȣ·
ἐξώρμησε καὶ κράνος δὲ τὸ τȣ́τȣ καθαρπάξαι,
Αἴας δὲ τȣ̃τον τῷ δορὶ πρὸς ὀμφαλὸν ἀσπίδος,
τρώσας δυνάμει κραταιᾷ παρέτρεψεν ὀπίσω·
τȣ̀ς δὲ νεκρȣ̀ς οἱ Ἕλληνες ἀνείλοντο τȣ̀ς δύο,
Ἀμφίμαχον μὲν Στίχιος μετὰ τȣ̃ Μενεσθέως,
τὸν Ἴμβριον δ' οἱ Αἴαντες βαστάζοντες ἐγύμνȣν.
Ὡς δ' ἐκ κυνῶν ἁρπάξαντες αἶγα λέοντες δύο,
ταῖς σιαγόσιν ἔχοντες φέρȣσιν ἀνὰ θάμνȣς,
ȣ̃τω καὶ δύο Αἴαντες ἐκτείνοντες πρὸς ὕψος
τὸν Ἴμβριον τȣ̃ Μέντορος υἱὸν, ἐσύλων τεύχη·
ὁ δὲ Λοκρὸς ἀπέκοψε τὴν κεφαλὴν ἐκείνȣ,
καὶ δίκην σφαίρας ἔπεμψε πρὸς Ἕκτορος τȣ̀ς πόδας.
Ὁ Ποσειδῶν ὠργίσθη δὲ χάριν τȣ̃ Ἀμφιμάχȣ,
καὶ συνεργῶν τοῖς Ἕλλησιν, ἐχόλα κατὰ Τρώων·
Κτέατον δὲ μυθεύονται υἱὸν τȣ̃ Ποσειδῶνος,
ἀνθ' ȣ̃ τȣ́τον συνέλαβε πρὸς θάλασσαν ἡ μήτηρ·
ἐπεὶ γȣ̃ν ὥς περ ἔφημεν ἡ θάλασσα συνήργει
τῷ μὴ παρέχειν ἐκφυγὴν τοῖς θέλȣσιν ἐκφεύγειν,
καὶ πάντες πρὸς τὸν πόλεμον ἔστρεφον ἀκȣσίως,
μετ' Ἀμφιμάχȣ θάνατον υἱὸν τὸν τȣ̃ Κτεάτȣ,
ὃν Ποσειδῶνος ἔφημεν παῖδα καλεῖσθαι πᾶσιν,

Ἰδομενεὺς ὡς ὥρμησε σὺν ἄλλοις πρὸς τὴν μάχην,
Ὅμηρος δι' Ἀμφίμαχον τὸν Ποσειδῶνα λέγει
ὀργίζεσθαι τοῖς Τρώεσιν, Ἕλληνας παροτρύνειν,
καὶ τὸν Ἰδομενέα δὲ σὺν ἄλλοις τῶν Ἑλλήνων.
Ὁ Μηριόνης δὲ λαβὼν ἐκ τῆς σκηνῆς τὸ δόρυ,
τρέχων συντόμως πρὸς αὐτὸν ἦλθεν Ἰδομενέα·
ὁρμῶσι δ' ἄμφω πρὸς σκαιὸν μέρος τῆς πλοίων μάχης,
καὶ συῤῥαγὴν συμβάλλουσι πολέμου κατὰ Τρώων.
Ἰδομενεὺς δ' ἀπέκτεινε πρῶτος Ὀθρυονέα,
ὅς περ ἐκ Τροίας Ἕλληνας ὑπέσχετο διῶξαι,
ἄν περ ὁ Πριάμος αὐτῷ σύνευνον δῷ Κασάνδραν·
ἀνεῖλε καὶ τὸν Ἄσιον ἐκείνῳ βοηθοῦντα,
πρὸς τὸν λαιὸν τῷ δόρατι βαλὼν ἀνθερεῶνα·
τούτου δὲ τὸν ἡνίοχον Ἀντίλοχος ἀνεῖλεν,
ἔστωτα δίφρῳ, τῷ δορὶ πρὸς στῆθος περονήσας·
τοὺς ἵππους δ' ὁ Ἀντίλοχος πρὸς Ἕλληνας κομίζει.
Δόρυ δ' ἐφεὶς Δηΐφοβος κατὰ Ἰδομενέως,
Ἰδομενέως κύψαντος, κρυβέντος τῇ ἀσπίδι,
βαλὼν πρὸς τὸ διάφραγμα κτείνει τὸν Ἱππασίδην·
Δηΐφοβος δ' ἐκόμπασε μέγα βοήσας τότε·
ἔχει πρὸς Ἅδην ὁδηγὸν Ἄσιος, ὃν παρέσχον·
τὸν μὲν νεκρὸν ἐξήγαγον ὁ Μηκιστεὺς, Ἀλάστωρ·
Ἰδομενεὺς δ' ἀπέκτεινεν Ἀλκάθουν τὸν Αἰσύπου,
εἰς κόρην Ἱπποδάμειαν ὄντα γαμβρὸν Ἀγχίπου,
βαλὼν πρὸς στῆθος τῷ δορὶ, δίκην ἔστωτα στήλης·
ἐκ γὰρ θαλάσσης κρατηθεὶς, τόπον φυγῆς οὐκ εἶχεν·
Ἰδομενεὺς δ' ἐβόησε τότε τῷ Δηϊφόβῳ·
ὦ καυχητὰ Δηΐφοβε, τρεῖς ἀνθ' ἑνὸς ἀνεῖλον·
ἀλλὰ καὶ σὺ πλησίον μου πορεύου καὶ νοήσεις·
Δηΐφοβος ἀπῆλθε δὲ σύμμαχον ἐρευνήσων·
τὸν δὲ Αἰνείαν εὕρηκεν ἔστωτα τοῖς ἐσχάτοις,

ἀεὶ γὰρ ἔτρεφεν ὀργὴν οὗτος κατὰ Πριάμου·
γενναῖον τοῦτον ὄντα γὰρ Πρίαμος οὐκ ἐτίμα·
στὰς δὲ πλησίον ἔλεξε τὸν θάνατον Ἀλκάθου,
ὃς ὢν γαμβρὸς ἐπ' ἀδελφῇ ἀνέθρεψεν Αἰνείαν.
Καὶ δὴ Αἰνείας, Πάρις τε, Δηΐφοβος, Ἀγήνωρ,
ἀπὸ δὲ τοῦ στρατεύματος ἑτέρωθεν Ἑλλήνων,
Ἰδομενεὺς καὶ Ἀφαρεὺς μετὰ τοῦ Μηριόνου,
Ἀσκάλαφος, Ἀντίλοχος, Δηΐπυρος σὺν τούτοις,
σὺν τοῖς λαοῖς τοῖς ἑαυτῶν πόλεμον συνεκρότουν.
Αἰνείας ἀκοντίσας δὲ κατὰ Ἰδομενέως,
ἐκείνου παρεκλίναντος, βάλλει τὴν γῆν τῷ βέλει·
Ἰδομενεὺς δ' Οἰνόμαον βαλὼν κατὰ γαστέρα,
τούτου κενοῖ τὰ ἔντερα, τούτου δ' ἀπερχομένου
ἀποτυχὼν Δηΐφοβος, Ἀσκάλαφον ἀνεῖλε·
Δηΐφοβος δ' ἀφήρπασε τὸ κράνος Ἀσκαλάφου
τῷ Μηριόνῃ, δὲ πληγεὶς πρὸς χεῖρα, ῥίπτει τοῦτο·
ὁ ἀδελφὸς Πολίτης δὲ τοῦτον ἐξάγει μάχης·
καὶ ἀναβὰς ἐφ' ἅρματος στενάζων ὑπεχώρει.
Αἰνείας Ἀφαρέα δὲ πλήξας λαιμῷ, ἀνεῖλεν·
Ἀντίλοχος δὲ Θόωνα κατὰ τὸ νῶτον τρώσας.
ἀπέδυσε καὶ τούτου δὲ πᾶσαν τὴν πανοπλίαν·
οἱ Τρῶες δὲ κυκλώσαντες, ἔπληττον τούτου σάκος·
ἐγγὺς ἐλθὼν Ἀδάμας δέ, καὶ οὗτος πλήττει σάκος·
θραυσθέντος δὲ τοῦ δόρατος, τοῦτον ὑποχωροῦντα
κτείνει πρὸς ὑπογάστριον βαλὼν ὁ Μηριόνης.
Δηΐπυρον ὁ Ἕλενος ξίφει τὴν κόρσην πλήξας,
ἐξ τόξου βέλος πέμπει δὲ καὶ κατὰ Μενελάου·
ὃ ἐκ τοῦ θώρακος αὐτοῦ μακρὰν ἐξαπεκρούσθη.
Μενέλαος τὴν χεῖρα δὲ τιτρᾷ τῷ δορατίῳ,
ἣν ἐκκρεμάσας ἔφευγε, σύρων ὁμοῦ τὸ δόρυ·
ὃ περ Ἀντήνωρ ἀνασπᾷ δήσας καλῶς τὴν χεῖρα·

Μενέλαος ἠστόχησε βαλὼν κατὰ Πεισάνδρου·
νύξας δὲ καὶ ὁ Πείσανδρος τὸ σάκος Μενελάου,
ἐπίσης τούτῳ καὶ αὐτὸς ἠστόχησε τῇ τρώσει·
καὶ ἅμα πάλιν ὥρμησαν οἱ δύο κατ' ἀλλήλων·
καὶ Πείσανδρος πελέκει μὲν πλήττει κατὰ τὸν λόφον,
Μενέλαος τῷ ξίφει δε μέτωπον πρὸς τὴν ῥῖνα·
οἱ ὀφθαλμοί δ' ἐχύθησαν σχισθέντων τῶν ὀστέων.
Ὁ Ἁρπαλίων δε υἱὸς κρατοῦντος Παφλαγόνων,
νύξας τὸ σάκος εὐσθενῶς ἔφευγε Μενελάου·
ὁ Μηριόνης τοῦτόν δε κατὰ γλουτὸν τοξεύει,
τὸ βέλος δ' ἐξεπέρασεν ἔμπροσθεν πρὸς τὴν κύστιν·
τούτου θανόντος, θυμωθεὶς, πέμπει καὶ Πάρις βέλος·
ἀπέκτεινε δ' Εὐχήνορα περὶ τὸ οὖς τοξεύσας,
γένει Κορίνθιον, υἱὸν μάντεως Πολυΐδου,
ὃς καὶ προεμαντεύσατο τὰ πεπρωμένα τούτῳ·
οὕτως οἱ μὲν ἐμάχοντο καρτερικῇ καρδίᾳ,
ὁ Ἕκτωρ ἐκαρτέρει δὲ οὗ ῥήξας ἦν τὸ τεῖχος,
βαρὺν ἐγείρων πόλεμον, μάχην καρτερωτάτην,
ὅπου Πρωτεσιλάου τε καὶ Αἴαντος αἱ νῆες,
καὶ τεῖχος ἦν οὐχ ὑψηλὸν, οὐ μάλιστα χρειώδης·
πεζοί τε πάντες καὶ ἱππεῖς ἐγίνοντο πρὸς μάχην,
ὅπου Λοκροὶ καὶ Βοιωτοὶ καὶ Ἴωνες καὶ Φθῖοι,
Προφθῖοι, Ἀθηναῖοι τε καὶ Ἐπειῶν τὰ ἔθνη,
δίκην πυρὸς τὸν Ἕκτορα σπουδαίως ἐφορμῶντα,
ἀφ' ἑαυτῶν οὐκ ἔσθενον ὄπισθεν ἐξελάσαι.
Ὁ Πετεῶ δὲ Μενεσθεὺς, Στίχιος τὲ καὶ Φείδας,
Μέγης, Ἀμφίων, Δράκιος, Μέδων τὲ καὶ Ποδάρκης,
ἄριστοι πάντες στρατηγοὶ μετὰ τῶν στρατευμάτων,
καὶ σὺν αὐτοῖς οἱ Αἴαντες πλησίον ἑστηκότες·
ἀλλὰ τῷ, Τελαμῶνος μὲν, ἄνδρες πολλοὶ παρῆσαν,
πολλοὶ καὶ κάλλιστοι ὁμοῦ δεχόμενοι τὸ σάκος,

ὁπόταν κόπος καὶ ἱδρὼς κατέλαβεν ἐκεῖνον·
οἱ τοῦ Λοκροῦ δ' ὑπάρχοντες πάντες γυμνοὶ τοξόται,
ἄνευ δοράτων καὶ σακῶν καὶ δίχα κρανωμάτων·
τούτων Τρωσὶ καὶ Ἕκτορι συσταδὴν μαχομένων,
αὐτοὶ σφενδόναις βάλλοντες ἐτάραττον καὶ τόξοις·
καὶ μετ' αἰσχρᾶς ἂν τῆς τροπῆς οἱ Τρῶες ὑπεχώρουν,
εἰ μή περ εἶπεν Ἕκτορι τῷ τότε Πολυδάμας
συναγαγεῖν τοὺς ἀριστεῖς ἐκεῖ τῶν Τρώων πάντας·
ὡς οὖν οἱ πάντες εἰς ταυτὸ συνέδραμον ἐκεῖσε,
ἐπάγοντες τὸ στράτευμα, πυκνώσαντες τοὺς λόχους,
οἱ περὶ Πολυδάμαντα, τὸν Ἕκτορα, τὸν Πάριν,
τὸν Κεβριόνην, Φάλκην τὲ, Ὀρθαῖον, Πολυφοίτην,
Μόρυν τὸν Ἱπποτίωνος, Ἀσκάνιον, τὸν Πάλμυν,
οἵ περ κατὰ τὴν χθὲς ἦσαν ἐλθόντες ἐκ Νικαίας,
πόλεμον ἤγειραν δεινόν· θυμοῦ δὲ πνέων Ἕκτωρ
πάντων προεπορεύετο· δεινὴν ἀσπίδα φέρων,
τὸ κράνος δ' ὑπεσείετο κροτάφοις τοῖς ἐκείνου·
πειράζων δὲ τὰς φάλαγγας Ἑλλήνων προεχώρει.
Αἴας δὲ τοῦτον προκαλεῖ πρῶτος εἰς μάχην λέγων·
ἐλθὲ πλησίον, ἄθλιε, τί ἐκφοβεῖς Ἀργείους;
ἆρα κρατῆσαι σὺ δοκεῖς τὰς ἡμετέρας νῆας;
ἡμεῖς ἴσθι πορθήσομεν πρότερον σὴν πατρίδα·
σοὶ δὲ καιρός ἐστι φυγῆς, ὁπότε φεύγων εὔξῃ
τοὺς ἵππους σου ταχύτερον τῶν ἱεράκων τρέχειν·
ὁ δὲ φησὶν ὡς πρὸς αὐτόν· Αἶαν καυχηματία,
καὶ ἐπηρμένῃ τῇ βοῇ, καὶ γαβριῶν τῷ σάκει,
ἡ νῦν ἡμέρα συμφορὰν Ἕλλησι πᾶσι φέρει,
καὶ σὺ σαρξὶ κορέσεις δὲ τοὺς κύνας καὶ τοὺς γύπας·
οὕτως εἰπόντος, ἤγειραν μάχην καρτερωτάτην,
τῶν στρατευμάτων σὺν βοῇ μεγάλῃ συῤῥαγέντων,
ἥτις βοὴ πρὸς οὐρανὸν ἔφθασεν ἀμφοτέρων.

## ὙΠΟΘΕΣΙΣ ΤΗΣ Ξ. ὉΜΗΡΟΥ ῬΑΨΩΔΙΑΣ

Ἡ δὲ κραυγὴ τῷ Νέστορι καὶ πίνοντι ἠκέσθη.
ἀφεὶς δὲ τὸν Μαχάονα καὶ πίνειν καὶ λουθῆναι,
ἦλθε πρὸς Ἀγαμέμνονα, Τυδείδην, Ὀδυσσέα·
καὶ Ἀγαμέμνων εἰς φυγὴν εἶπε τὰ πλοῖα σύρειν·
ὁ Ὀδυσσεὺς δ' ἀπέπαυσε ταύτης τῆς γνώμης τοῦτον·
εἰπόντος Διομήδους δὲ χωροῦσι πρὸς τὴν μάχην,
τοὺς ῥαθυμοῦντας θέλοντες Ἑλλήνων παροτρύνειν.
Ὁ Ποσειδῶν καὶ Ἥρα δὲ ταῦτα δηλοῦσιν εἶναι·
ἡ θάλασσα κεκίνητο πνεύμασιν ἐναντίοις,
πρὸς τὰς πατρίδας δ' Ἕλληνας φεύγειν οὐ παρεχώρει·
παρώτρυνε τοὺς πάντας δὲ μάχεσθαι στεῤῥοτέρως·
ὃ πρακτικῶς γινόμενον ἰδὼν ὁ Ἀγαμέμνων,
ὃ κράτησις καθ' Ὅμηρον χειρὸς ἐκ Ποσειδῶνος,
ἐν τούτοις ἐλογίζετο πῶς Ἀχιλεὺς ἂν χαίροι·
ἡ δὲ τῆς Ἥρας σὺν Διῒ μίξις ἡ μετ' ἀπάτης,
εὔδιον τὸ κατάστημα δεικνύει γεγονέναι,
καὶ πάλιν εὐμετάτρεπτον μετὰ βραχὺν τὸν χρόνον·
τότε λοιπὸν οἱ Ἕλληνες καλῶς συντεταγμένοι,
ἀλλήλων ἀνταλλάξαντες ἕκαστοι τε τὰ ὅπλα,
οἱ ἀριστεῖς τὰ κράτιστα, χείρονες δὲ τὰ χείρω,
κατὰ τῶν Τρώων ὥρμησαν, καὶ Τρῶες καθ' Ἑλλήνων·
ἐξῆλθε μὲν ἡ θάλασσα πρὸς τὰς σκηνὰς καὶ νῆας·
οὗτοι θορύβῳ δὲ δεινῷ τὴν μάχην συνεκρότουν.
Οὐ τόσος κτύπος γίνεται κυμάτων θαλασσίων,
πνοαῖς ἀνέμων χαλεπαῖς, οὔτε πυρός τις βρόμος,
καίοντος ὄρος ὑψηλὸν, καὶ βαθυτάτην ὕλην,
οὐδὲ σφοδρός τις ἄνεμος ἠχῶν καὶ πρὸς τοὺς δρύας,
οὐδὲ χειμάῤῥων ἐκροὴ πρὸς χαραδραίους τόπους,

ὁπόση γέγονε κραυγὴ τῶν Τρώων καὶ Ἑλλήνων,
συγκροτησάντων καρτερὰν τὴν μάχην κατ᾽ ἀλλήλων.
Καὶ πρῶτος μὲν κατ᾽ Αἴαντος ἠκόντισεν ὁ Ἕκτωρ·
κατὰ τοῦ κρεμαστῆρος δὲ τοῦ ξίφους καὶ ἀσπίδος
τὸ δόρυ τούτου προσραγὲν, οὐκ ἔβλαψεν ἐκεῖνον.
Αἴας δὲ τοῦτον στρέφοντα κατόπιν πρὸς τοὺς Τρῶας,
λίθῳ τραχεῖ καὶ στιβαρῷ βαλὼν περὶ τὸ στῆθος,
ὡς στρόμβον περιέτρεψε ἐπιστραφέντα πάντη·
ὡς δρῦς δὲ πίπτει πρόῤῥιζος ἐκ κεραυνοβολίας,
βρόμος δὲ γίνεται πολὺς καὶ φόβος τοῖς ἰδοῦσιν,
οὕτως ὁ Ἕκτωρ πίπτει γῇ, ῥίπτει δὲ καὶ τὸ δόρυ·
τὸ σάκος δ᾽ ἐπλαγίασεν, εἰς μέρος παρετράπη·
μετὰ βοῆς δ᾽ οἱ Ἕλληνες ἀπέδραμον κρατῆσαι
βάλλοντες καὶ τιτρώσκοντες τοῖς δόρασιν ἐκεῖνον,
ἀλλ᾽ οὔτις τοῦτον ἴσχυσεν οὐδὲ βαλεῖν ἢ τρῶσαι·
οἱ ἄριστοι τῶν Τρώων γὰρ ἀνήρπαξαν ἐκεῖνον,
καὶ πρὸς τὴν Τροίαν ἔστελλον ἐφ᾽ ἅρματος οἰκείου,
μεγάλως ὀδυνώμενον, στενάζοντα βαρέως·
περὶ δὲ Ξάνθον ποταμὸν ἅρματος ἀποβάντα
ἀνέψυξαν ῥαντίσαντες ἐν ὕδατι τὸν ἄνδρα·
ὁ δ᾽ ἀναπνεύσας ἐκπετᾷ τοὺς ὀφθαλμοὺς καὶ βλέπει,
καὶ καθεσθεὶς ἐν γόνασιν, ἐξήρασε μὲν αἷμα,
καὶ πίπτει πάλιν ὄπισθεν τοὺς ὀφθαλμοὺς καλύψας·
οἱ Ἕλληνες τοὺς Τρῶας δὲ μεγάλως συνεκλόνουν.
Πάντων δὲ πρῶτος ὁ Λοκρὸς κατὰ λαπάραν τρώσας,
ἀπέκτεινε τὸν Σάτνιον τοῦ Οἴνοπος τὸν παῖδα.
Ὁ Πολυδάμας δὲ βαλὼν πρὸς δεξιὸν τὸν ὦμον
ἀνεῖλε Προθοήνορα υἱὸν Ἀρηϊλύκου·
κατὰ δὲ Πολυδάμαντος Αἴας ὁ μέγας πέμψας,
ἐκείνου παρεκκλίναντος, Ἀρχέλοχον ἀνεῖλε,
τῆς κεφαλῆς τὸν σύνδεσμον βαλὼν καὶ τοῦ τραχήλου·

τῇ δὲ δυνάμει τῆς χειρὸς καὶ τῆς βολῆς τῇ βίᾳ
ἡ κεφαλὴ προσήγγισε πρώτη τῇ γῇ πρὸ πάντων.
Ἀκάμας Ἀρχελόχου δὲ ὁ σύναιμος ἀνεῖλε
Πρόμαχον τὸν Βοιώτιον τρώσας τῷ δορατίῳ·
Πηνέλεως δ' Ἀκάμαντος ἐξώρμησεν ἀντίος·
τοῦ δὲ φυγόντος, Φόρβαντος υἱὸν Ἰλιονέα
περὶ τὸ ἄνω βλέφαρον πήξας τὸ δόρυ πρῶτον,
ἔπειτα τούτου κεφαλὴν, ἐξαποκόψας ξίφει,
ἐμπεπηγμένην δόρατι τοῖς Τρώεσσιν ἐδείκνυ·
λοιπὸν τῷ τότε πρὸς φυγὴν ἐξώρμησαν οἱ πάντες.
Αἴας δ' ὁ μέγας ἔκτεινεν Ὕρτιον Γυρτιάδην
τῶν Προυσαέων στρατηγόν· Μυσῶν τῶν Ὀλυμπίων·
τὸν Φάλκην δὲ καὶ Μέρμερον Ἀντίλοχος φονεύει,
Μόρυν σὺν Ἱπποτίωνι κτείνει δὲ Μηρίονης,
υἱὸν, πατέρα, Νικαεῖς, ἐξ Ἀσκανίας λίμνης·
Τεῦκρος δὲ τὸν Προθόωνα ὁμοῦ καὶ Περιφήτην,
Ἀτρείδης Ὑπερήνορα βαλὼν κατὰ λαπάραν·
ἔντερα δ' ἐξεχύθησαν οὕτως ἐκείνου τότε·
ὁ δὲ Λοκρὸς ἀπέκτεινε πλείστους ποδῶν τῷ τάχει.

## ὙΠΟΘΕΣΙΣ ΤΗΣ Ο. ὉΜΗΡΟΥ ῬΑΨΩΔΙΑΣ

Ἐπεὶ δ' οἱ Τρῶες φεύγοντες διέβησαν τὴν τάφρον,
πολλοὶ δὲ ἀνῃρέθησαν ὑπὸ χερσὶν Ἑλλήνων,
οἱ μὲν περὶ τοῖς ἅρμασι μένοντες ἐκαρτέρουν
ὠχροὶ, τὸ περικάρδιον αἷμα ψυχθέντες φόβῳ.
Ἡ τοῦ Διὸς δ' ἀνέγερσις δηλοῖ παλιντροπίαν
καὶ τοῦ ἀέρος σύγχυσιν, Τρωσὶ προσβοηθοῦσαν,
ὡς οἰκουροῦσιν, ἔχουσι τὴν πᾶσαν εὐτροφίαν,

σκέπην, κλίνας, ἐνδύματα καὶ τεθραμμένους ἵππους.
ὅπλα καινὰ καὶ βέλη δὲ καὶ τὰ χρειώδη πάντα,
τὸ μέγιστον ἁπάντων δὲ, τέκνα, γυναῖκας, φίλους.
οὓς βλέπων τὶς ἀφροντιστεῖ καὶ τοῦ πικροῦ θανάτου·
τοὺς Ἕλληνας δὲ βλάπτουσαν μεγάλαις ἐπηρείαις,
καὶ τοῖς ἐναντιώμασι τῶν Τρώων βοηθείας·
τοῖς γὰρ στρατοπεδεύουσιν ὑπαίθροις ἐκ στρατείας,
καὶ τῆς πατρίδος πόῤῥωθεν διάγουσιν ἐν ξένῃ,
ἐξ εἱμαρμένης καὶ χειμὼν καὶ πόλεμος καὶ καῦμα·
πλέον δὲ μᾶλλον ὁ χειμὼν σὺν οἷς περ εἶπον ἄλλοις
βλάπτων τῶν τόξων τὰς νευρὰς, ἀποπτερῶν τὰ βέλη.
ἰῶν τὰ ξίφη· τὰς λοιπὰς τίς οὐ γινώσκει βλάβας;
εἵμαρται καὶ κεκύρωται, καὶ γὰρ δικαίως οὕτω,
τοῖς μὲν ἐγχώροις εὐπραγεῖν, κακοπραγεῖν τοῖς ξένοις·
οὕτως ἀὴρ ὁ ἔνομβρος Ἕλλησιν ἦν πρὸς βλάβην·
τὴν Ἥραν οὐκ ἠγνόηκας ὑπάρχειν τὸν αἰθέρα·
ἄκμονας, γῆν, καὶ θάλασσαν ποσὶ προσδεδεμένους,
χειρῶν δεσμὸν δὲ χρύσεον, ὑπέκκαυμα πυρῶδες,
θεοὶ δὲ οἱ ῥιπτούμενοι θέλοντες λύειν Ἥραν,
πῦρ, ὕδωρ τε, καὶ τὰ λοιπὰ πάντα τὰ δυσκρατοῦντα.
Ὁ Ἡρακλῆς, ὁ ἥλιος, ὃς τῇ κοσμογενίᾳ
τῷ πόντῳ κατεκρύπτετο καὶ Κόῳ, τῇ κοιμήσει,
ἀφανισμῷ καὶ συντριβῇ καὶ ζάλῃ τῶν στοιχείων,
ἕως αὐτὸν ἀνήγαγεν εἰς Ἄργος, εἰς τὸν κόσμον,
εἰς φανερὰν κατάστασιν καὶ γνώριμον τοῖς πᾶσιν.
Ὁ Ζεὺς, ἀὴρ ὁ εὔκρατος, ὁ πάντα διαρθρώσας,
ὥσπερ πολλάκις εἴπομεν, τὴν Ἥραν ἐκκρεμάσας,
ἤγουν ἀνωφερέστερον ποιήσας τὸν αἰθέρα,
ὑπέκκαυμα καὶ θάλασσαν καὶ γῆν δὲ διαρθρώσας.
Ὃς ἂν δὲ χρήζῃ μέθοδον δεινότητος μανθάνειν,
καὶ θέλῃ ῥήτορα δεινὸν καὶ θέλῃ γεογράφον,

καὶ μεταφράσει χρῆσθαι δὲ καὶ τῇ μεταποιήσει,
καὶ λέγων πάλιν τὰ αὐτὰ δοκεῖν, ὡς ἄλλα λέγειν,
τὸν Ὅμηρον ἐχέτω μοι παράδειγμα τῆς τέχνης·
ποσάκις εἶπε τοῦτο γὰρ, ἄλλα δοκῶν διδάσκειν;
Γάμους γὰρ πρὶν εἶπεν αὐτὸς Θέτιδος καὶ Πηλέως,
καὶ διὰ μῆλον θεαινῶν ἔριν μεγάλην εἶπεν·
εἶτα θεῶν ἐπιβουλὴν διασπευδόντων δῆσαι,
Ἡφαίστου ῥίψιν ἔπειτα τῇ Ἥρᾳ συνεργοῦντος,
Ἥφαιστον εἶτα τεύξαντα θεῶν τὰς κατοικείας,
εἶτα Δία καυχώμενον δυνάμει τῇ οἰκείᾳ
καὶ τοὺς θεοὺς εἰ βούλοιτο λέγοντα ταρταρῶσαι,
ἢ γῆν ὁμοῦ καὶ θάλασσαν σειρᾷ μετεωρίσαι·
ἔπειτα πάλιν Ἀθηνᾶν σώζουσαν Ἡρακλέα
ἐξ ἄθλων, οὓς προσέταττεν ὁ Εὐρυσθεὺς ἐκείνῳ,
Ἅδου τε κατελεύσεως ἐκεῖνον ῥυομένην·
Ὠκεανὸν εἰσέπειτα πάντων γενάρχην λέγων,
Ὠκεανόν τε καὶ Τηθὺν, ἐκθρέψαντας τὴν Ἥραν·
καὶ νῦν δὲ Ἥραν δέσμιον διὰ τὸν Ἡρακλέα,
εἶτα πάλιν εἰσάξει σοι τοῦτον ὡς Ποσειδῶνα,
τρεῖς ἐκ τοῦ Κρόνου λέγοντος τοὺς ἀδελφοὺς γενέσθαι,
Δία καὶ Ποσειδῶνα δὲ, Ἅδην ἐν τούτοις τρίτον,
ἅπαντα λέγοντα τριπλῶς αὐτοῖς ἐκνεμηθῆναι·
Ἥφαιστον πάλιν ὡς χωλὸν κρυπτόμενον τῇ Ἥρᾳ,
ὃν τῷ πεσεῖν διέσωζε Θέτις καὶ Εὐρυνόμη,
ἐν αἷς καὶ παρεχάλκευεν ἐνναετῶς ποικίλα·
τοῦ Ἀχιλέως ἔπειτα πάλιν ἀσπίδα λέξει,
Ἡφαίστου ταύτην τεύξαντος, ἐν τῷ πυρὶ βαλόντος
χαλκὸν, χρυσὸν, κασσίτερον, καὶ τὰς λοιπὰς τὰς ὕλας,
ἅ περ ἐκεῖσε νόει μοι τὰ τέσσαρα στοιχεία·
Ἥραν ἐξαπατήσασαν εἶτα τὸν Δία λέγει·
πάλιν Ἥραν κρατήσασαν τοὺς τοκετοὺς Ἀλκμήνης,

τοῖς Ἡρακλέος τοκετοῖς καὶ Εὐρυσθέως ἅμα·
ἔπειτα Ποσειδῶνα δὲ Ἀπόλλω τε λαλοῦντας,
πόσα τοῦ Λαομέδοντος ἔπαθον πρὶν θητείᾳ·
καὶ καθ' ἑτέρους τρόπους δὲ πόσους κενώσας λόγους.
τὴν μίαν τὴν ὑπόθεσιν ποικίλως διαγράφει
περὶ τοῦ τῇδε σύμπαντος καὶ τῆς κοσμογενείας·
οὕτως ἀέρος γέγονε τότε παλιντροπία,
παρέπλεξε καὶ λόγους δὲ περὶ κοσμογενείας,
παραγαγὼν ἐμπρόσωπον λέγοντα τὸν ἀέρα·
Ἄρης τανῦν, Ἀρεϊκὸν σέλας ἐν τῷ ἀέρι,
οὗπερ τὸ κράνος Ἀθηνᾶ τῆς κεφαλῆς ἁρπάξει,
ὁρμῶντος πρὸς ἐκδίκησιν υἱοῦ τοῦ Ἀσκαλάφου·
Ἀπόλλων δὲ, ὁ ἥλιος· Ἶρις, νεφῶδες τόξον·
ἡ Ποσειδῶνος κέλευσις ἐξ Ἴριδος ὑπάρχει,
ἡ πρὸς τὴν θάλασσαν αὐτὸν, ἢ πρὸς θεοὺς καλοῦσα,
ὅπερ φησὶν Ἐμπεδοκλῆς εἴ τέ τις τῶν ἑτέρων,
» Ἶρις δ' ἐκ πελάγους ἄνεμον φέρει ἢ μέγαν ὄμβρον·
ἐμοὶ βιβλιοθήκη γὰρ ἡ κεφαλὴ τυγχάνει·
βίβλοι δ' ἡμῖν οὐ πάρεισι δεινῶς ἀχρηματοῦσιν,
ὅθεν οὐ λέγειν ἀκριβῶς τὸν ποιητὴν γινώσκω.
Τοιοῦτον ἦν κατάστημα τότε συγκεχυμένον·
ἐφάνη δὲ καὶ Ἄρεος σέλας ἐν τῷ ἀέρι,
τὸ κράνος ἀφῃρέθη δὲ τῇ Ἀθηνᾷ συντόμως,
ἤ τοι συντόμως κέκρυπτο ἀέρι τῷ ἐνύγρῳ,
καὶ Ἶρις ὤφθη τότε δὲ τόξον τὸ νεφελῶδες·
εἶτα καὶ ὄμβρος γέγονε σὺν τοῖς ἑτέροις τούτοις·
ἡ Ποσειδῶνος ἔλευσις πρὸς πέλαγος θαλάσσης,
καὶ σὺν αὐτοῖς δὲ καὶ σεισμὸς ἐγένετο τῷ τότε·
ὃ Ποσειδῶνος καὶ Διὸς Ὅμηρος λέγει μάχην,
γεγενημένην ἀκουστὴν θεοῖς τοῖς περὶ Κρόνον·
τοιαῦτα μὲν ἐγένετο συμβάματα τῷ τότε,

καί τι μικρὸν ὑπέλαμψε καὶ ἥλιος σὺν τȣ́τοις.
Ἕκτωρ δ' ἀπὸ τȣ̃ τραύματος ἀνέσφηλεν ὀλίγον.
ȣ̓κέτι κατακείμενος, ἀλλ' ἀναψύχων ἤδη,
γνωρίζων καὶ τȣ̀ς φίλȣς δε, ἔληγε δὲ τὸ αἷμα·
ἰδὼν δὲ τὸ κατάϛημα, σημεῖα τὲ τοιαῦτα,
ὡς ἵππος ὥρμησε ϛατὸς ἐν φάτνῃ κριθιάσας,
δεσμὸν ἐκρήξας τὸν αὐτȣ̃, πηδῶν κατὰ πεδίων,
ἔθος ὡς ἔχων λȣ́εσθαι ῥεύμασι ποταμίοις,
γαυρȣ́μενος, ἐπαίρων τε τὴν κεφαλὴν εἰς ὕψος,
ȣ̔́τως ὁ Ἕκτωρ ἐξορμῶν ὤτρυνε τȣ̀ς ἱππέας.
Ὡς δὲ τινὲς διώκοντες ἔλαφον κυνηγέται,
αἴφνης φανέντος λέοντος φεύγȣσιν ὅπη τύχοι,
ȣ̔́τως οἱ Ἕλληνες πυκνῶς μέχρι τινὸς ἐξώρμων·
ὡς εἶδον δὲ τὸν Ἕκτορα πρὸς μάχην ἐξορμῶντα,
ἔφριξαν, πᾶσι δ' αἱ ψυχαὶ κατέπεσον εἰς πόδας.
Τȣ̃το πολλῆς δεινότητος ῥητόρων ἀποπνέει,
ἤγȣν τῷ τάχει τῶν ποδῶν φεύγοντες ζῆν ἐδόκȣν·
τότε δ' ὁ Θόας τὴν πληθὺν ἤλασε πρὸς τὰς νῆας·
αὐτός δε καὶ οἱ Αἴαντες μετὰ Ἰδομενέως,
ὁ Μηριόνης, Τεῦκρός τε καὶ ἀριϛεῖς οἱ ἄλλοι,
μάχην Τρωσὶ καὶ Ἕκτορι βαρεῖαν συνεκρότȣν.
Πρῶτοι δ' οἱ Τρῶες ἔτρωσαν Ἕκτορος προορμῶντος,
λάμψαντος καὶ ἡλίȣ δὲ πρὸς πρόσωπον Ἑλλήνων·
οἱ δ' Ἕλληνες ὑπέμειναν ὁμȣ̃ συνηθροισμένοι,
κραυγὴ δ' ἐξ ἄμφω τῶν μερῶν ἐγείνετο βαρεῖα,
καὶ τῶν βελῶν ἦν χάλαζα, βροχαί τε τῶν αἱμάτων.
ἐξ ἀμφοτέρων τῶν μερῶν μέχρι τινὸς τȣ̃ χρόνȣ·
ἐπεί δ' ἐξέπεμψε φαιδρὰς ἥλιος τὰς ἀκτῖνας,
φεύγοντας Τρῶες κτείνȣσι τȣ̀ς ϛρατηγȣ̀ς Ἑλλήνων
Στίχιον Ἕκτωρ μὲν ὁμȣ̃ σὺν τῷ Ἀρκεσιλάῳ,
Αἰνείας δὲ τὸν Μέδοντα, καὶ Ἴασον ἀνεῖλεν·

ὁ Πολυδάμας δὲ αὐτὸν κτείνει τὸν Μηκιστέα,
Ἔχιον ὁ Πολίτης δὲ, τὸν Κλόνιον Ἀγήνωρ·
ὁ Πάρις δὲ Δηΐοχον δορὶ βαλὼν κατ' ὦμον·
οἱ δὲ φυγόντες ἔνδοθεν ἐσώζοντο τοῦ τείχους.
Ἕκτωρ Τρωσὶ κελεύσας δὲ πῦρ φέρειν πρὸς τὰς νῆας,
συν πᾶσιν ἄλλοις μετ' ἠχῆς ἀπήλαυνε τὸ ἅρμα·
τὴν τῶν Ἑλλήνων τάφρον δὲ συγχέας ὁ Ἀπόλλων,
διαβατὴν ἐποίησε πᾶσι Τρωσὶ τῷ τότε
τὴν τάφρον οὖσαν ὀρυκτὴν καὶ μανωθεῖσαν ὄμβροις,
ὁ ἥλιος κατέσεισεν οἷα ξηρὸν ἀρτίσκον,
ἀραιωθέντα τῷ ὑγρῷ καὶ συντριβέντα τάχει·
οἱ Τρῶες δ' εἰσελάσαντες, μάχην ναυσὶν ἐκρότουν·
οἱ μὲν ἐφ' ἵππων ἔποχοι, οἱ δ' ἐκ νηῶν Ἀργεῖοι
ἐν κολλητοῖς τοῖς δόρασι, ναυμάχοις καλουμένοις,
ὧνπερ τὸ μῆκος ἔφερε πήχεις εἰκοσιδύο·
ἀφεὶς δὲ τὸν Εὐρύπυλον ὁ Πάτροκλος ἰᾶσθαι,
ὥρμησεν ὡς πρὸς πόλεμον νύξαι τὸν Ἀχιλέα·
μεγάλη δ' ἦν ἡ συῤῥαγὴ τῷ τότε τοῦ πολέμου·
εἰς ναῦν δὲ μίαν Ἕκτωρ τὲ καὶ Αἴας ἐναυμάχουν,
οὐδεὶς τὸν ἄλλον πρὸς φυγὴν δυνάμενος κινῆσαι·
εἰς ναῦν δὲ πῦρ εἰσφέροντα Καλήτορα Κλυτίου,
Αἴας ὁ Τελαμώνιος ὁ πύργος τῶν Ἑλλήνων,
στήθει βαλὼν ἀπέκτεινε, χειρὸς δαλὸς δὲ πίπτει·
ὁ Ἕκτωρ δ' ὡς ἐνόησεν ἀνεψιὸν πεσόντα,
πᾶσι Τρωσὶν ἐκέλευσε σώζειν τὸν πεπτωκότα·
τινὲς δ' εἰσὶν ἀνεψιοὶ σεμείωσαι καὶ νόει.
Ἀνεψιοὺς μοι γίνωσκε τῶν ἀδελφῶν τοὺς παῖδας,
ὡς πρὸς ἀλλήλους λέγεσθαι καθὼς ἐστὶν ἐνθάδε,
ὁ γὰρ Κλυτίος ἀδελφὸς ὑπῆρχε τοῦ Πριάμου·
οὓς κοινοτέρως δὲ φασὶν ἀνεψιοὺς, σὺ λέγε
ἀδελφιδοῦς, εἴπερ εἰσὶ τῶν ἀδελφῶν τεκνία·

ἂν δ' ἐξαδέλφων παῖδες μὲν ὡς ἡ κοινότης λέγει,
ἀνεψιαδοῦς μοι τούτους καλῶν οὐχ' ἁμαρτήσεις·
ὥς περ θυγατριδοῦς πάλιν υἱοὺς τῶν θυγατέρων,
καὶ τῶν υἱῶν δὲ υἱϊδοῦς ἄν περ κυρίως γράφῃς.
Οὕτω σώζειν ἐκέλευεν Ἕκτωρ τὸν πεπτωκότα·
καὶ πέμψας κατὰ Αἴαντος Λυκόφρονα φονεύει,
παῖδα τελοῦντα Μάστορος, βαλὼν ὑπὲρ ὠτίου.
ἐκ τῆς νηὸς δὲ πέπτωκεν Αἴαντος ὢν πλησίον·
Αἴαντος δὲ καλέσαντος ἦλθεν ἐγγὺς ὁ Τεῦκρος·
Κτείνει Κλεῖτον τοξεύσας δὲ εἰς τοὔπισθεν αὐχένος,
ὄντα τοῦ Πολυδάμαντος ἡνίοχον τῷ τότε·
ὡς δὲ καὶ πρὸς τὸν Ἕκτορα τὸ τόξον ἦν ἑλκύσας,
ἡ μὲν νευρὰ διέῤῥηκτο, τὸ βέλος παρεῤῥύη,
τὸ τόξον πίπτει τῆς χειρὸς, δειλαίνει δ' ὁ τοξότης·
λαβὼν δὲ σάκος καὶ κοντὸν Αἴαντι παρεστάθη.
Ἕκτωρ δ' ἐβόησε Τρωσὶν ἐμβαίνειν πρὸς τὰς νῆας,
ὡς εἶδε τὰ τοξεύματα τοῦ Τεύκρου βεβλαμμένα.
Ὁ Αἴας δὲ τοὺς Ἕλληνας παρώτρυνεν ἐνθένδε
λέγων· καλόν ἐστι θανεῖν ἢ σῶσαι νῦν τὰς νῆας·
ἢ προσδοκᾷ τις ἐξ ἡμῶν, εἰ καύσουσιν ἐκείνας,
ποσὶ βαδίσαι θάλασσαν ἐλθεῖν εἰς τὰς πατρίδας;
οὐ παρορμῶντος Ἕκτορος ἀκούετε τοὺς πάντας;
οὐκ εἰς χορὸν αὐτοὺς καλεῖ, καλεῖ δὲ πρὸς τὴν μάχην·
ὃ δὲ συμφέρον ἅπασι, τοῦτο νοῶ καὶ λέγω·
ἀλλήλοις μίξωμεν ἐγγὺς τῇ κατὰ χεῖρας μάχῃ·
κρεῖττον ὑπάρχει γὰρ θανεῖν ἢ ζῆσαι χρόνον ἕνα,
ἢ καρτερεῖν ἐπὶ πολὺ πολέμων περιστάσεις,
καὶ τό τε τὸ βαρύτερον ἀνδρῶν ἐκ χειροτέρων·
οὕτως εἰπὼν ἀνήγειρε πάντων τὴν προθυμίαν.
Καὶ Ἕκτωρ Περιμήδεος υἱὸν Σχέδιον κτείνει·
ὁ Αἴας Λαοδάμαντα Ἀντήνορος τὸν παῖδα,

τῶν Τροϊκῶν τῶν πεζικῶν ταγμάτων ἡγεμόνα.
Ὁ Πολυδάμας Ὦτον δὲ κτείνει τὸν ἐκ Κυλλήνης·
ὁ Μέγης ϛήθει δὲ βαλὼν, ἀνῄρηκε τὸν Κροῖσμον.
Ὁ Δόλοψ παῖς τȣ̃ Κάμπȣ δὲ τȣ̃ Μέγητος τὸ σάκος
τιτρᾷ μὲν, ἀλλ' ἐρρύσατο τȣ̃τον ὁ θώραξ τότε·
ὁ Μέγης δὲ τῷ δόρατι κόπτει τὸν λόφον τȣ́τȣ·
ὁ δὲ Μενέλαος αὐτὸν ὤμῳ βαλὼν ἀνεῖλεν·
Ἕκτωρ δ' ὀτρύνας ἅπαντας ἐχώρει καθ' Ἑλλήνων,
ὁ Αἴας δὲ τȣ̀ς Ἕλληνας διήγειρεν ἐνθάδε·
ἐν σιδηρῷ πυργȣ̃σι δὲ τότε τὰς νῆας τείχει·
Ἀντίλοχος πηδήσας δὲ Μελάνιππον ἀνεῖλε,
τȣ̃τον βαλὼν τῷ δόρατι παρὰ μαζὸν εἰς ϛῆθος·
ἐφορμηθεὶς συλῆσαι δὲ τὴν τȣ́τȣ πανοπλίαν,
Ἕκτορα τρέχοντα ἰδὼν, τοῖς Ἕλλησι προσφεύγει·
Ἕκτωρ δ' ἀπῆλθε σὺν Τρωσὶ μετὰ κραυγῆς μεγάλης,
καὶ δὴ πειράζων ἤθελε κόπτειν ἀνδρῶν τὴν ϛάσιν,
ὅπȣ περ πλῆθος ἦν, ὁρῶν λαμπράς τε πανοπλίας,
ἀλλ' ἠδυνάτει πρὸς αὐτὸ, καί περ πολλὰ σπȣδάζων.
συνεπυκνȣ̃ντο πύργȣ γὰρ δίκην προσηρμοσμένοι.
Καθάπερ πέτρα δ' ὑψηλὴ θαλάσσης ἐγγὺς ȣ̃σα
πνοὰς ἀνέμων καρτερεῖ καὶ κύματα μεγάλα,
ȣ̃τω τȣ̀ς Τρῶας Ἕλληνες μένοντες ἐκαρτέρȣν·
μόλις κόψας εἰσέδραμε, τȣ̀ς Ἕλληνας δὲ τρέπει·
τὸν Μυκηναῖον δ' ἔκτεινε Κοπρέως Περιφήτην,
ἄντυγι σάκȣς τȣ̃ αὐτȣ̃ πεσόντα τῷ προσκρȣ̃σαι·
ὃν καὶ δραμὼν ἀπέκτεινε δορὶ βαλὼν πρὸς ϛῆθος·
οἱ δὲ πάντες ἐτράποντο πρὸς ἐσωτέρας νῆας·
ὁ Νέϛωρ παρακλήσει δὲ τȣ́τȣς κρατεῖ μὴ φεύγειν.
Ὁ Αἴας μόνος δ' ἀναβὰς πλοῖον ἐκ πλοίȣ τρέχων,
δόρυ κινῶν τε ναύμαχον, βοῶν φωνῇ μεγάλῃ
ὡς φθάνειν ὡς πρὸς ȣ̓ρανὸν, ἐκέλευσεν Ἀργείοις.

ὡς δυνατὸν καὶ ταῖς σκηναῖς ἀμύνειν καὶ τοῖς πλοίοις.
Ἕκτωρ τὲς Τρῶας πάντας δὲ καὶ πάλιν ἐφορμήσας
τῆς ταχυπλόε ἥψατο νηὸς Πρωτεσιλάε·
καὶ πάλιν ὡς ἀδάμαστοι τὴν μάχην συνεκρότεν
οἱ Τρῶες καὶ οἱ Ἕλληνες· ἐκ ἄκοντας, ἐ τόξα,
ἐ γὰρ μακρόθεν ἵσταντο πέμποντες κατ' ἀλλήλων,
ἀλλ' ἔγχεσι, πελέκεσιν, ἀξίναις, παντὶ ξίφει·
πολλὰ δὲ ξίφη πέπτωκεν ἐκείνων μαχομένων,
ἡ γῆ δὲ κατεῤῥέετο βροχαῖς ταῖς τῶν αἱμάτων.
Ἕκτωρ κρατῶν τὴν πρύμνην δε, πῦρ ἔλεγε κομίζειν·
οἱ δὲ πάντες ἐφώρμησαν τοῖς Ἕλλησιν ἐς πλέον·
Αἴας δὲ συμπνιγόμενος πάντων βελῶν πυκνώσει,
κατόπιν ἔστη τῆς νηὸς προσδόκιμος ὢν θνήσκειν,
πρὸς θρῆνυν στηριζόμενος τὸν ναυτικῶν τῷ κόπῳ·
ἐκεῖ δ' ἑστὼς ἀπήλαυνε τῶν Τρώων τὲς πυρφόρες,
ἀεὶ βοῶν δ' ἐκπληκτικὸν παρώτρυνεν Ἀργείες·
ἄνδρες, πολέμε μνήσασθε, γενναίως πολεμεῖτε·
ἆρα δοκεῖτε βοηθὲς ἔχειν τινὰς ὀπίσω,
ἢ τεῖχος ὃ τὸν θάνατον ἡμῶν ἀποδιώξει;
ἐκ ἔστι πόλις τὶς ἡμῖν ὅθεν στρατὸς ἐξέλθοι,
ἐν πεδιάσι Τρωϊκαῖς μακρόθεν τῆς πατρίδος
ῥιφέντες παρὰ θάλασσαν, τὴν μάχην συγκροτεμεν·
ἐν ταῖς χερσὶν ἡμῶν ἐστὶ λοιπὸν ἡ σωτηρία·
χαυνοπολέμες ἐδαμῶς ἡμᾶς εἶναι νῦν πρέπει·
ταῦτα βοῶν ἐνήργει μὲν αὐτὸς τῷ δορατίῳ
τιτρώσκων Τρῶας ἅπαντας πῦρ φέροντας ὁλκάσιν·
ἀπέκτεινε δὲ δώδεκα πρὸς τῶν νηῶν πυρφόρες.

---

Μέχρι τῆς ό τὸ σύνταγμα ἐγράφη τῇ Ἀνάσσῃ·
ἐντεῦθεν ἦν δὲ κίνδυνος λοιπὸν παρεαθῆναι
τῷ δυστροπίᾳ περισσῇ τῇ τῶν χρηματοδοτέντων·

ὁ δ' εὐγενὴς Πεισίςρατος Κοτέρτζης Κωνςαντῖνος,
χρήμασι σφοῖς ἐπέσπευσεν εἰς πέρας προαχθῆναι,
ὅθεν ἐντεῦθεν ἅπασα τέτῳ προκείσθω χάρις·
καὶ δὴ νῦν καταρκτέον μοι τῦ πῖ τῆς ῥαψῳδίας.

---

## ʽΥΠΟΘΕΣΙΣ ΤΗΣ Π. ʽΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ

Πατρόκλῳ δὲς ὁ Ἀχιλεὺς αὐτῦ τὴν πανοπλίαν,
ἐξάγει πρὸς τὸν πόλεμον μετὰ τῶν Μυρμιδόνων·
τοέπϐσι Τρῶας, Πάτροκλος κτείνει δὲ Σαρπηδόνα,
προκτείναντα τὸν Πήδασον ἵππον τῦ Ἀχιλέως·
εἶτα θνήσκει καὶ Πάτροκλος χερσὶ ταῖς Ἑκτορείαις,
δορὶ Εὐφόρβϐ προπληγεὶς λάθρα τῷ μεταφρένῳ·
ἣν προγυμνώσας γὰρ αὐτὸν τῶν ὅπλων ὁ Ἀπόλλων.
Ἐκ τῦ κειμένϐ νῦν τῆς πῖ Ὁμήρϐ ῥαψῳδίας·
περὶ νηὸς μὲν ὄντως ἦν τῆς εὐκαθέδρϐ μάχη·
τῷ Ἀχιλεῖ δὲ Πάτροκλος περίςατο δακρύων,
ὃν ἐρωτήσας Ἀχιλεὺς μαθὼν τε τὴν αἰτίαν
ὅτι τὸς Ἕλληνας κακῶς πάσχοντας κατοικτείρει,
καὶ βοηθεῖν προτρέπεται τῦτον αὐτὸν ἐκείνοις,
πέντε συντάξας λοχαγὸς ταγμάτων ἀρχηγέτας,
καὶ τῷ Διῒ εὐξάμενος, ἤτοι τῇ εἱμαρμένῃ,
καὶ πάντα νϐθετήσας δε τὰ πρόσφορα Πατρόκλῳ,
προςβοηθεῖν ἐκέλευσε προτρέπων πρὸς τὴν μάχην·
οἱ σὺν Πατρόκλῳ πάντες δε γένος τῶν Μυρμιδόνων,
μετὰ βοῆς τε καὶ κραυγῆς διψῶντες τῦ πολέμϐ,
ὁρμὴν σφηκῶν δεικνύοντες ἐχώρϐν κατὰ Τρώων·
πάντες δ' οἱ Τρῶες ἥπτοντο φυγῆς ὡς πρὸς τὴν Τροίαν.
Πάτροκλος τὸν Πυραίχμην δὲ Παιόνων ἀρχηγέτην.

ἐξ Ἀβυδῶνος πόλεως, ἐκ ποταμοῦ Ἀξίου,
δορὶ κατ' ὦμον δεξιὸν ἀνεῖλεν ἀκοντίσας·
πεσόντος τούτου δ' εἰς φυγὴν χωρεῖ τὰ τῶν Παιόνων·
οἱ τοῦ Πατρόκλου δ' ἔσβεσαν τὴν ναῦν Πρωτεσιλάου.
Ζεὺς δ' ὁ κινῶν τὰ νέφη νῦν, τουτέστιν ὁ καθαίρων,
ἀὴρ ἐστὶν ὁ εὔδιος καὶ πλεῖον οὐδὲν ἄλλο.
Ἐκ τῆς νηὸς φευγόντων δὲ τῶν Τρώων πρὸς τὴν Τροίαν,
ἕκαστος Ἕλλην ἡγεμὼν Τρώων ἀνεῖλεν ἄνδρα·
Πάτροκλος Ἀρηΐλυκον δορὶ μηρὸν ἐνσχίσας,
Θόαντα δὲ Μενέλαος πρὸς στῆθος δορατίσας,
ὁ Μέγης παῖς Φυλέως δὲ τὸν Ἄμφικλον ἀνεῖλε,
περὶ τὴν *ἀπονεύρωσιν τοῦ σκέλους δορατίσας.
Ἀντίλοχος Ἀτύμνιον βαλὼν κατὰ λαπάραν,
τὸν δ' Ἀτυμνίου ἀδελφὸν Μάριν τῷ Ἀντιλόχῳ
μαχόμενον, βραχίονος τρώσας ἀπονευρώσεις,
ὁ Θρασυμήδης ἀδελφὸς ἀνεῖλεν Ἀντιλόχου·
ἦσαν δὲ οὗτοι Παταρεῖς ἑταῖροι Σαρπηδόνος,
τοῦ Χίμαιραν ἐκθρέψαντος, παῖδες Ἀμισωδάρου·
νὴν μυθικὴν τὴν Χίμαιραν τὴν τεραστίαν οἶδας,
καὶ τὴν Βελλοροφόντου δὲ τοπρὶν ἀλληγορίαν·
λέοντα λέξαντος ἐκεῖ σοὶ λέγειν τοὺς Σολύμους,
ὡς μαχομένους προφανῶς λεοντικῷ τῷ θράσει·
τὰς Ἀμαζόνας, Χίμαιραν· οἷα κρημνοβατούσας·
δράκοντα δὲ τὴν ἔνεδραν, τὴν εἰς Βελλοροφόντην,
τὴν ἥν περ συνεστήσαντο πρὸς τὸν ἐκείνου φόνον.
Ταῦτα μὲν οὕτω σοὶ τὸ πρὶν καλῶς ἠλληγορήθη·
νῦν δ' οὕτω δέ σε χρὴ νοεῖν τὰ τῆς Χιμαίρας τῆσδε·
Ἀμισωδάρῳ Χίμαιρα λῃστρὶς τὶς ἦν θυγάτηρ
ἐν ὑψηλοῖς Λυκίας τε καὶ περικρήμνοις τόποις,
καὶ Λέων δὲ καὶ Δράκων δὲ δύο υἱοὶ ἐκείνου,
ἐξ ἑκατέρων τῶν μερῶν τῇ ἀδελφῇ συνήργουν·

* alii cc. ἀποδύρωσιν.

ὁ Στωϊκὸς Παλαίφατος ἀλληγορεῖ μὲν οὕτως·
ἡμεῖς δ' οὕτω σοι λύομεν ἐνταῦθα τὸ χωρίον.
Ἡ Χίμαιρα κρημνώδης τὶς ἦν τόπος ἐν Λυκίᾳ,
κρημνώδης, λοχμωδέστατος, φίλος τοῖς κακούργουσι·
τὴν ἥν περ Ἀμισώδαρος λῃστήριον ἐποίει,
ἐν τοῖς κρημνοῖς, καὶ τοῖς λοχμοῖς ἔχων λῃστὰς τυχόντας,
ἐκ μετεώρων κτείνοντας καὶ λάθρα τοὺς ὁδίτας,
τοῖς ἐπιμάχοις ἔχων δὲ τοὺς λεοντώδεις ἄνδρας,
τοὺς σθεναροὺς καὶ φονικοὺς ἐν τῇ συστάδην μάχῃ·
ὅθεν Χίμαιραν λέγεται τοιαύτην ἀναθρέψαι·
οὕτως οἱ Νεστορίδαι μὲν τοὺς Ἀμισωδαρίδας,
ὧν ὁ πατὴρ ἐξέθρεψε τὴν Χίμαιραν, ἀνεῖλον.
Ὁ δὲ Λοκρὸς Κλεόβουλον ἀπέκτεινε τῷ ξίφει,
ὡς τὰς πορφύρας ἐν μιᾷ πληγῇ πορφυραγρέται,
ἢ πορφυρέῳ, ἐρυθρῷ, αἱματηρῷ θανάτῳ.
Λύκων δὲ καὶ Πηνέλεως συνέῤῥαξαν ἀλλήλοις·
τὸ φάσγανον ἐθραύσθη δὲ τοῦ Λύκωνος αὐτίκα,
καὶ Πηνελέου κέκρουκε τὴν τερικεφαλαίαν,
παρ' οὓς δὲ ὁ Πηνέλεως πλήξας αὐχένα τέμνει.
Ἀκάμαντα δ' ἀπέκτεινε δόρατι Μηριόνης,
τῶν ἵππων ἐπιβαίνοντα, βαλὼν κατὰ τὸν ὦμον,
Ἰδομενεὺς δ' Ἐρύμαντα βαλὼν κατὰ τὸ στόμα.
Οὕτω τοὺς Τρῶας ἀριστεῖς οἱ Ἕλληνες ἀνῄρουν·
Ἕκτορα δ' Αἴας ἔσπευδε βαλεῖν τῷ δορατίῳ·
ὁ δ' ὢν ἐμπειροπόλεμος, πύρινος στρατηλάτης,
σκέπων σφοὺς ὤμους τοὺς πλατεῖς ἀσπίδι ταυροδέρμῳ,
ἐσκέπετο τοξεύματα καὶ πλήξεις τῶν δοράτων·
ὅμως γινώσκων τὴν τροπὴν ἔσωζε τοὺς οἰκείους,
ἕως κατεῖδε φεύγοντας ἀκόσμως, πεφυρμένως·
καὶ τότε τούτους ἔλειψε παραδραμὼν τοῖς ἵπποις·
οἱ δὲ δεινὰ καὶ δυσχερῆ μυρία πεπονθότες,

μόλις ἐπεραιώθησαν τὴν ὀρυκτὴν ταφρείαν·
Πατρόκλȣ δ' ἐπισπεύδοντος Ἀργείȣς κατὰ τȣ́των,
πάσας πληρȣ͂σι τὰς ὁδȣ̀ς ἀκόσμως πεφευγότες·
ὡς χείμαῤῥοι δὲ ῥέοντες ἠχȣ͂σι λαβροτάτως,
ȣ̔́τως ἐϛέναζον φρικτὸν φευγόντων Τρώων ἵπποι·
ὁ Πάτροκλος ἡττήσας δὲ τὰς φάλαγγας τὰς πρώτας,
τȣ̀ς Ἕλληνας ἐπέτρεπε πάλιν καὶ πρὸς τὰ πλοῖα,
προθύμȣς ὄντας πρὸς αὐτὴν τὴν Ἴλιον ἐλαύνειν·
μέσον νηῶν καὶ τείχȣς δὲ καὶ ποταμȣ͂ ἀνῄρει.
Καὶ πρῶτα κτείνει Πρόνοον βαλὼν κατὰ τὸ ϛέρνον
καὶ Θέϛορα τὸν Ἤνοπος, Εὐρύαλον ἐν πέτρῳ,
Ἀμφοτερὸν, Ἐρύμαντα, Τληπόλεμον, Ἐπάλτην,
Ἰφέα, καὶ τὸν Πύριν δὲ Ἐχίον, Ἀργεάδην,
καὶ Σαρπηδόνα δὶ αὐτοὺς ἔκτεινεν ἀντιϛάντα·
ὡς ἦλθον κατ' ἀλλήλων γὰρ συνάπτοντες τὴν μάχην,
πρῶτος βαλὼν ὁ Πάτροκλος κτείνει τὸν Θρασυμήδην,
ἡνίοχον ὑπάρχοντα τȣ͂τον τȣ͂ Σαρπηδόνος,
ὁ Σαρπηδὼν τὸν ἵππον δὲ τὸν Πήδασον Πατρόκλȣ.
ὡς δὲ δευτέρως ὥρμησαν καὶ πάλιν κατ' ἀλλήλων,
μάταιον μὲν προέπεμψεν ὁ Σαρπηδὼν τὸ δόρυ·
ὁ δὲ πρὸς τὸ διάφραγμα καὶ τὸν ἐπίπλουν βάλλει.
εὐθεὶς δ' ἐκεῖνος ὥς περ δρῦς, ὡς λεύκη, πεύκη πίπτει,
βρυχώμενος ὡς ταῦρος δὲ τὸν Γλαῦκον ἀνεκάλει,
καὶ ȣ̔́τως ἐξανέπνευσεν, ἀπέλιπε τὸν βίον.
Ἀλλά γε δὴ ῥητέον μοι, τίς Ζεὺς τανῦν ὑπάρχει,
τȣ͂ Σαρπηδόνος ὁ πατὴρ, ὁ σπεύδων τȣ͂τον σώζειν,
καὶ τίς ἡ τὴν ἀναίρεσιν Ἥρα ποθȣ͂σα τȣ́τȣ,
καὶ πῶς καὶ πόθεν ȣ̓ρανὸς ἔχει βροχὰς αἱμάτων,
ὥς περ καὶ σίτων, καὶ τεφρῶν, ὄφεων, ἄλλων πόσων,
καὶ τίς Ὕπνος, καὶ Θάνατος, οἱ κλέψαντες ἐκεῖνον,
καὶ πρὸς πατρίδα τὴν αὐτȣ͂ Λυκίαν τὴν Πατάρων.

Νῦν Ὅμηρος ὁ πάνσοφος ἡ θάλασσα τῶν λόγων,
γενέθλιον θεμάτιον γράφει τοῦ Ποσειδῶνος·
καὶ λέγει τοῦτο, τοῦ Διὸς ἔχειν μὲν τὸν ἀστέρα,
ἐν οἷς τόποις πεφύκασιν οἱ ἀρχηγοὶ γεννᾶσθαι·
ὅθεν καὶ τοῦτο λέγει δὲ πατέρα τὸν ἀστέρα·
Ἥρα δ' ἀστὴρ ἐστὶν Ἑρμοῦ, ὅν περ τῷ γενεθλίῳ
σὺν τοῖς ἀστέρων φαυλουργοῖς, σὺν Ἄρει δὲ μᾶλλον,
νικᾶν τὸν Δία δείκνυσιν, ὅθεν καὶ θνήσκειν λέγει,
τοῖς, οἷς τρόποις εἰρήκαμεν, θανεῖν τὸν Σαρπηδόνα·
ἐπεὶ σημεῖα δέ ποτε παθῶν εἰσὶ μεγάλων,
αἱμάτων ὄμβροι καὶ τεφρῶν, ὡς εὐημέροις χρόνοις,
πολλῶν μὲν ἄλλων ἀγαθῶν καὶ σίτων ἐπομβρίαι,
λεκτέον ὅπως γίνονται καὶ ποίῳ δὲ τῷ τρόπῳ.
Ἀὴρ καὶ αἱ νεφέλαι γὰρ τὸ πᾶν ἐξανιμῶσαι
ἐκ γῆς, θαλάσσης, ποταμῶν, λιμνῶν, ὀρῶν, βορβόρων,
αἷμα καὶ σῖτον, τέφραν τε, ὄφεις, ἰχθῦς, κοπρίαν,
καὶ πᾶν λοιπὸν τὸ προστυχὸν ἀνάγουσαι, ὀμβροῦσιν·
ἐπεὶ τῷ τότε δὲ καιρῷ πολλῶν ἀνῃρημένων
αἱμάτων, ἦσαν λιμνασμοὶ ταῖς Τρώων πεδιάσιν,
ἀνενεγκοῦσαι κάτωθεν, ὤμβρησαν αἱ νεφέλαι·
ἔγνως τὸν Δία, Ἥραν τὲ καὶ χύσιν τῶν αἱμάτων.
Ἀπόλλωνα τὸν κλέψαντα καὶ λούσαντα δὲ τοῦτον,
καὶ Ὕπνον δὲ καὶ Θάνατον οἱ πρὸς Λυκίαν ἦγον,
ἄκουε νῦν καὶ μάνθανε πρῶτον ἐκ Φιλοστράτου.
Ἐκέκαστο ἀρώμασι, καθεύδοντι ἐῴκει,
ταῦτα μὲν ὁ Φιλόστρατος καὶ πλεῖον οὐδὲν ἄλλο·
Τζέτζης δὲ τὸν Ἀπόλλωνα νῦν τοῦτον τὸν ἐνθάδε
τὸν κλέψαντα καὶ λούσαντα τὸν Σαρπηδόνα λέγει
φαῦσιν ἡλίου πυραυγῆ, δι' ἣν παυθείσης μάχης
κλέπτουσι τοῦτον Λύκιοι καὶ λούσαντες κοσμοῦσι,
καὶ καθ' ἑσπέραν τὴν αὐτὴν ἐχώρουν πρὸς Λυκίαν·

ὅθεν ὕπνος καὶ θάνατος λέγονται τȣ̃τον κλέψαι,
καὶ πρὸς πατρίδα τὴν αὐτȣ̃ δῆθεν ἀποκομίσαι.
Ἐπὶ τοῖς ἀνωτέρω δὲ καὶ προλαβȣ̃σι λόγοις,
Ὅμηρος παῖδας Σπερχειȣ̃ καὶ τȣ̃ Ἑρμȣ̃ εἰρήκει,
καὶ ταῦτα νῦν λεκτέον μοι καὶ καθεξῆς δὲ τ᾽ ἄλλα.
Θυγάτηρ ἡ Πηλέως μὲν ἡ κλῆσιν Πολυδώρη,
τινὶ φθαρεῖσα παρ᾽ αὐτȣ̃ τȣ̃ Σπερχειȣ̃ ταῖς ὄχθαις,
παῖδα γεννᾷ Μενέσθιον, ὃν Ὅμηρος σεμνύνων
τῷ ποταμῷ τῷ Σπερχειῷ λέγει μιγῆναι ταύτην.
Ἡ Φύλαντος θυγάτηρ δὲ πάλιν ἡ Πολυμήλη
ἐν ἑορτῇ Ἀρτέμιδος, τȣτέστι τῆς σελήνης,
καλλιφωνȣ̃σα τοῖς χοροῖς θέλγει τινὰ τῶν νέων,
οἷς λόγος ἐπιτήδευμα, ὃς καὶ μιγεὶς ἐκείνῃ,
τὸν Εὔδωρον γεγέννηκεν, ἀλλ᾽ ἐατέον ταῦτα·
ἤδη δὲ χωρητέον μοι πρὸς τὰ λοιπὰ τῆς βίβλȣ,
καί μοι λεκτέον τίς ἐστιν νῦν ἐνταυθοῖ Ἀπόλλων,
ᾧ τινι Γλαῦκος εὔχεται ἀκέσασθαι τὸ ἕλκος.
Ὁ Σαρπαδὼν κτηνόμενος χερσὶ ταῖς τȣ̃ Πατρόκλȣ,
ἀνεψιὸν τὸν ἑαυτȣ̃ ἱκέτευε τὸν Γλαῦκον
ὑπὲρ αὐτοῦ ὑπερμαχεῖν μὴ γυμνωθῇ τῶν ὅπλων·
Γλαῦκος δὲ τὸν βραχίονα προτοξευθεὶς τῷ τέιχει,
οὐδόλως ἦν κατευτονῶν δόρυ χερσὶ κινῆσαι,
ὑπερμαχεῖν τὲ τȣ̃ ἀνδρὸς τȣ̃ συγγενȣ̃ς πεσόντος,
καὶ μᾶλλον ψυχροτέρȣ δὲ καὶ τȣ̃ ἀέρος ὄντος·
διόπερ φαῦσιν εὔχεται ἡλίȣ γεγονέναι·
οὗ γεγονότος καὶ κρατεῖν τὸ δόρυ κατισχύσας,
λέγεται ὑπ᾽ Ἀπόλλωνος τὴν χεῖρα ἰαθῆναι,
ἐλθὼν ὡς πρὸς τὸν Ἕκτορα, εἶτα δὲ λέγει τάδε.
Ἕκτορ, νῦν κεῖται Σαρπηδὼν ὁ στρατηγὸς Λυκίων,
ὑπὸ Πατρόκλῳ δὲ αὐτὸν ἀπέκτεινεν ὁ Ἄρης,
ἤγουν Πατρόκλῳ ἔκτεινεν ὁ πόλεμος ἐκεῖνον,

ἤ τοι ἐκτάνθη Σαρπηδὼν ἐν μάχῃ τῷ Πατρόκλῳ·
εἴτ' οὖν Ἄρης καὶ θυμὸς κτείνει Πατρόκλῳ τοῦτον,
ἤ τοι θομούμενος αὐτὸν ὁ Πάτροκλος ἀνεῖλεν.
ἢ τῷ θυμῷ ὁ Σαρπηδὼν τῷ ἑαυτοῦ, καὶ τόλμῃ
ὁρμήσας γενναιότερον. ἀνῄρεται Πατρόκλῳ,
ἢ Ἄρης καὶ ὁ σίδηρος, δόρυ τὸ τοῦ Πατρόκλου,
τὸν Σαρπηδόνα ἔκτεινεν. Ἐπ' ἄλλα χωρητέον.
Τῶν Τρώων καὶ Ἑλλήνων δὲ περὶ τοῦ Σαρπηδόνος
μάχην βαρεῖαν καὶ δεινὴν ἀλλήλοις συῤῥαξάντων,
ὁ Ζεὺς, ἀὴρ, ἐποίησε σκότον νεφῶν τῇ μάχῃ·
σημεῖα γὰρ συντρέχουσι πολλάκις τοῖς στοιχείοις
ἐν τελευταῖς ἀνδρῶν τινῶν, καὶ μᾶλλον διασήμων·
τὸν Βαθυκλῆ δ' ἀπέκτεινε Χάλκωνος υἱὸν Γλαῦκος.
Ὀνήτωρ ἦν τις ἱερεὺς. υἱὸς δὲ τοῦ Ἰδαίου,
ἤ τοι ἀέρος τοῦ αὐτοῦ τῇ Ἴδῃ πεφυκότος,
ἢ καὶ τῆς εἱμαρμένης δὲ Ἴδῃ ναὸς ἐτέλει·
τούτου δὲ τοῦ Ὀνήτορος Λαόγονον υἱέα
ὁ Μηριόνης ἔκτεινε βαλὼν γναθμὸν παρ' οὖας.
Οἱ Ἕλληνες καὶ Τρῶες μὲν περὶ τοῦ Σαρπηδόνος
ἀλλήλοις συνεῤῥήγνυντο μάχην καρτερωτάτην·
ἐξέφυγεν Αἰνείου δὲ τὸ δόρυ Μηριόνης,
ὅ περ ἐπάγη πρὸς τὴν γῆν κύψαντος Μηριόνου·
ὁ Ζεὺς ἀπὸ τῆς μάχης γὰρ τῆς καρτερᾶς ἐκείνης,
σφοὺς ὀφθαλμοὺς οὐκ ἔτρεψεν οὐδόλως ἀλλαχόσε·
τὴν μάχην δ' ὥρα μεριμνῶν περὶ Πατρόκλου φόνου,
εἴτ' οὖν καὶ τοῦτον κτείνειεν ὁ Ἕκτωρ παραυτίκα
τοῦ Σαρωηδόνος ἔγγιστα, συλήσει τὲ τὰ ὅπλα·
ἤ ἔτι κτείνει καὶ λοιποὺς, μᾶλλον ἐκ Τρώων οὗτος,
ἔδοξε λῷον κτεῖναι δε τὸν Πάτροκλον καὶ ἄλλους·
ὁ Ἕκτωρ ἀλογίστως δε φεύγειν εὐθὺς ὡρμήθη,
καὶ σὺν αὐτῷ καὶ τοὺς λοιποὺς προύτεινε Τρῶας φεύγειν,

εἴτ' οὖν ἐκ μάντεως τινὸς βουλὴν Διὸς ἀκούσας,
εἴ τε καὶ μόνος ἐγνωκὼς ῥοπὴν τῆς εἱμαρμένης.
  Τούτων φευγόντων δὲ λοιπὸν Ἕλληνες σὺν Πατρόκλῳ,
ἀπὸ τῶν ὤμων εἵλοντο τὰ ὅπλα Σαρπηδόνος,
ἃ Πάτροκλος ἀπέσταλκεν ὡς πρὸς τὸν Ἀχιλέα·
ἀλλ' ἀλληγορητέον μοι ταῦτα τὰ μέχρι τοῦδε,
ἔπειτα συναπτέον μοι καὶ τὰ λοιπὰ τοῦ ὕφους.
  Ὁ Ζεὺς οὐκ ἔτρεψεν αὐτοῦ τοὺς ὀφθαλμοὺς οὐδόλως,
ἀλλ' ἦν ὡς ἔφην μεριμνῶν περὶ Πατρόκλου φόνου·
τοῦτο φησὶν ὁ Ὅμηρος ἐν τούτῳ τῷ χωρίῳ,
ταύτῃ τῇ μάχῃ εἵμαρτο καὶ Πάτροκλον κτανθῆναι,
ἀλλὰ μετὰ μικρόν τινα βραχύν τε πάνυ χρόνον·
εὐθὺς ὁ Ἕκτωρ φεύγει γαρ· τῷ μὲν δοκεῖν ἀλόγως,
τῇ δ' ἀληθείᾳ τεχνικῶς καὶ στρατηγικωτάτως,
φεύγειν κελεύσας καὶ λοιποὺς πάντας σὺν τούτῳ Τρῶας·
ὁ Ἕκτωρ καὶ οἱ Τρῶες γαρ μέχρις ἡμέρας μέσης,
τὸ βάρος πρὸς τοὺς Ἕλληνας ἐδέχοντο τῆς μάχης·
ἀκμήτων Μυρμιδόνων δὲ ἀθρόως ἐκδραμόντων,
ὡς πρὸς φυγὴν ἐτράπησαν· πάλιν δ' ἀντιστραφέντες,
ἄλλην δευτέραν ἔμελλον ἀρχῆθεν κροτεῖν μάχην.
  Ἐπεί δ' ὁ μέγας στρατηγὸς Ἕκτωρ ἐκεῖνος ἔγνω
ὄντας προθύμως πνεύματι, σάρκα δ' ἠσθενηκότας
τῇ μέχρι τούτου μάχῃ τε καὶ ζέσει τοῦ ἡλίου,
καὶ μέγαν ὄντως κίνδυνον ἤλπισε γεγονέναι,
εἴ περ πάλιν συνάψουσι κατάκοποι τὴν μάχην,
καὶ προθυμότερον αὐτοὺς ἑώρα πολεμοῦντας,
φεύγειν αὐτὸς ἐπλάσατο καὶ τούτους φεύγειν λέγει,
ὅπως μικρὰν ἀνακωχὴν λάβωσι τοῦ καμάτου,
καὶ πάλιν γενναιότερον Ἕλλησιν ἀντιστῶσιν.
  Οὕτω ποιήσας εἵλκυσεν ὡς πρὸς φυγὴν τοὺς Τρῶας,
φυγὴν δοκοῦσαν, οὐ φυγήν, ἀνάπαυσιν δὲ μάχης·

τούτων τραπέντων δ' εἰς φυγὴν οἷς περ εἰρήκειν τρόποις.
τῆς πανοπλίας Ἕλληνες γυμνοῦσι Σαρπηδόνα,
ὃν ὁ Ἀπόλλων ἐκ βελῶν βουλαῖς Διὸς ἀείρας,
λούσας ἐνδύει εἵμασι καὶ χρίσας ἀμβροσίᾳ,
πομποῖς διδύμοις ἀδελφοῖς, Ὕπνῳ καὶ τῷ Θανάτῳ,
δίδωσιν, οἱ κομίζουσι τοῦτον εἰς τὴν Λυκίαν·
εἶπον τὴν τοῦ Ἀπόλλωνος σοὶ πρὶν ἀλληγορίαν.
ὅμως καὶ πάλιν λέξωμεν ἕνεκα σαφηνείας,
καὶ ἕνεκα κολλήσεως καὶ συναφῆς τοῦ λόγου·
Ἑλλήνων γυμνωσάντων μὲν ὡς ἔφην Σαρπηδόνα,
ἐξ οὐρανόθεν φλέγοντος ἡλίου θερμοτάτου,
ἢ εἱμαρμένης ταῖς βουλαῖς οὕτω θερμοῦ φανέντος,
οἱ Τρῶες ἀπεπαύθησαν Ἕκτορος στρατηγίαις·
Πάτροκλος δὲ σὺν Ἕλλησι τισὶν ἀσυγκροτήτοις,
ἀπείροις τέχνης τῶν μαχῶν, ἐδίωκον τοὺς Τρῶας·
οἱ Λύκιοι δὲ ἄδειαν οὕτως εὑρόντες τότε,
καὶ τὸν αὐτῶν ἀράμενοι δεσπότην Σαρπηδόνα,
λύουσι καὶ κοσμοῦσι δέ, χρίουσιν ἀμβροσίᾳ,
ἤ τοι φαρμάκοις τοῖς τηρεῖν ἀσήπτως δυναμένοις,
καὶ τοῖς δυσὶ τοῖς ἀδελφοῖς, τῷ Ὕπνῳ καὶ Θανάτῳ,
ἤ τοι θανόντα τουτονὶ ἑσπέρᾳ, ὕπνου χρόνῳ,
εἰς τὴν Λυκίαν ἔπεμψαν τὴν ἑαυτοῦ πατρίδα.
Ὁ Πάτροκλος διώκων δὲ τοὺς Τρῶας καὶ Λυκίους
τὰ μέγιστα οὐ μέτρια ὁ νήπιος ἐβλάβη·
ἔφυγε δ' ἂν τὸν θάνατον τηρῶν τὰ Ἀχιλέως,
ἀλλ' εἱμαρμένης λογισμὸς κρείσσων ἐστὶν ἀνθρώπων.
Τίνα δ' οὖν τότε Πάτροκλε ἀνεῖλες ἐκ τῶν Τρώων,
ὁπότε δή σε οἱ θεοὶ πρὸς θάνατον ἐκάλουν;
θεοὺς τὴν εἱμαρμένην νῦν καὶ τοὺς ἀστέρας λέγει,
τοῦ γενεθλίου καθ' ἑνὸς ἁπάντων τῶν ἀνθρώπων·
τὸν Ἄδρηστον, Αὐτόνοον, τὸν δεῖνα καὶ τὸν δεῖνα,

τότε μικροῦ τὴν Ἴλιον οἱ Ἕλληνες ἂν εἷλον
εἰ μὴ Ἀπόλλων συμμαχῶν Τρωσὶ πρὸ πύργων ἔστη·
ἐχθρὰ φρονῶν Πατρόκλῳ δε, τρὶς γὰρ ὡς πρὸς τὸ τεῖχος
ὁ Πάτροκλος ἐξώρμησεν· τρὶς δὲ αὐτὸν Ἀπόλλων
θείαις χερσὶν ἀπέστρεψε πατάσσων τὴν ἀσπίδα·
ἀλλ' ὅτε δὴ καὶ τέταρτον ὥρμησε δαιμονίως,
ἤγουν καὶ ὑπὲρ ἄνθρωπον, ὡς ἔντι τῶν στοιχείων.
ὡς πῦρ, ὡς κῦμα, σίδηρος, ὡς πνεῦμα καταιγίδος,
δειναῖς φησὶ ταῖς ἀπειλαῖς ἑκάεργος Ἀπόλλων,
ὁ καθ' ἑτέρους πόῤῥωθεν εἴργων τε καὶ τοξεύων·
κατὰ δ' ἡμᾶς ὁ ἥλιος πόῤῥωθεν δρῶν τὰ ἔργα.
φησί δε, χάζου Πάτροκλε, οὐκ ἔστιν εἱμαρμένον
πεσεῖν δορὶ σῷ Ἴλιον, οὐδὲ τοῦ Ἀχιλέως·
Πάτροκλος δ' ὑπεχάζετο, τούτου ὀργὴν ἐκκλίνων·
Ἀπόλλων μητραδέλφῳ δε τοῦ Ἕκτορος Ἀσίῳ
ὁμοιωθεὶς πρὸς Ἕκτορα τάδε φησὶ κατ' ἔπος·
εἴθέ σου τόσσον κρείσσων ἦν, ὅσον εἰμί σου χείρων,
ἔδειξα γὰρ μὴ ῥαθυμεῖν ἂν οὕτω τοῦ πολέμου,
κατὰ Πατρόκλου ὥρμησον, ὅπως αὐτὸν ἀνέλῃς,
δόξαν σοι τοῦ Ἀπόλλωνος, ἡλίου, παρασχόντος.
Οὕτως εἰπὼν Ἀπόλλων μὲν εἰς μέσον μάχης ἔδυ,
κλόνον ποιῶν τοῖς Ἕλλησι, κυδαίνων δὲ τοὺς Τρῶας·
Ἕκτωρ ἀφεὶς τοὺς ἄλλους δε χωρεῖ κατὰ Πατρόκλου·
καὶ πρῶτα πέτρῳ Πάτροκλος κτείνει τὸν Κεβριόνην,
ἡνίοχον τοῦ Ἕκτορος καὶ ἀδελφὸν δὲ νόθον·
δι' ὃν ἄμφω συνέῤῥαξαν καὶ μάχην βαρυτάτην,
ὁποῖα δύο λέοντες ἀμφ' ἔλαφον κτανθεῖσαν·
νεκρῶν σωμάτων λέοντες ἐσθίουσιν οὐδόλως,
οὐκ ἔλαθε τὸν Ὅμηρον πάντα λεπτῶς εἰδότα,
τὴν τοξευθεῖσαν δ' ἔλαφον καὶ θνήσκουσαν νῦν λέγει·
περὶ τοῦ Κεβριόνου μὲν Πάτροκλος τὲ καὶ Ἕκτωρ,

καὶ ἀμφοτέρων οἱ ϛρατοὶ τὴν μάχην συγκροτȣ̃ντες,
ἰσοπαλὴς ἐτύγχανον ἄχρι καὶ μεσημβρίας·
μετὰ ἡλίȣ κλίσιν δε οἱ Ἕλληνες νικῶσιν·
ὁ Πάτροκλος τρισσάκις δε ὁρμήσας κατὰ Τρώων,
πολλȣ̀ς ἀνεῖλεν ἐν δορί· ὁρμῇ δὲ τῇ τετάρτῃ
βληθεὶς ὑπὸ Ἀπόλλωνος λαθραίως μεταφρένῳ,
τȣ̀ς ὀφθαλμȣ̀ς ἐσκότιϛο, ῥίπτει τὴν πανοπλίαν·
τὸ δόρυ τȣ́τȣ ταῖς χερσὶν ἐῤῥάγη, συνεθραύσθη·
τόν δ' ἄτη φρένας ἔλαβε, λέλυτο τȣ́τȣ μέλη·
ἐκπεπληγμένος ἔϛη δε σύνεγγυς Εὔφορβός δε
ἐλθὼν ἐκεῖνον ἔβαλε δορὶ τοῖς ματαφρένοις·
ὡς τȣ̃τον δ' οὐκ ἐδάμασε βολῇ τȣ̃ δορατίȣ,
ἁρπάσας ἐκ τȣ̃ σώματος τȣ̃το, πρὸς πλῆθος ἔδυ·
πληγῇ θεȣ̃ καὶ τῷ δορὶ Πάτροκλος δαμασθείς δε,
ἐχώρει πρὸς τȣ̀ς Ἕλληνας τὸν θάνατον ἐκφεύγων·
Ἕκτωρ δὲ τȣ̃τον τῷ δορὶ βαλὼν κατὰ λαπάρας
ὡς εὐτελὲς γρυλλίδιον τὸν ἄνθρωπον ἀνεῖλε.
Ταῖς ἀλλοτρίαις τελευταῖς ὁ Ὅμηρος δὲ παίζων,
δεικνύει λόγων δύναμιν ἐξαίρων τὰ τυχόντα·
καὶ τὴν ἀλήθειαν ἀεὶ δεικνύει τοῖς σκοπȣ̃σιν,
ὅτι λόγον τὸν ἥττονα γυμνάζων ταῦτα λέγει,
ὡς τῷ χωρίῳ δείκνυσι τῷ δε συμφανεϛάτως·
τȣ̃ ϛρατηγȣ̃ γὰρ Ἕκτορος τȣ̃ ϛρατηγικωτάτȣ
ἐκείνῳ καταθνήσκοντι λέγοντος εἰρωνείᾳ·
νήπιε, ὑπετόπαζες Τρώων πορθῆσαι πόλιν,
καὶ αἰχμαλώτȣς ἀγαγεῖν γυναῖκας Τρωϊάδας·
ἐγὼ τȣ́των ὑπερμαχῶν, ἐκτρέπω τὰς ἀνάγκας·
σὲ δὲ οἱ γῦπες ἔδονται τοῖς τόποις τοῖς ἐνθάδε·
ὁ Ἀχιλεὺς δ' οὐ βοηθεῖ σοὶ ἀγαθὸς ὑπάρχων·
τοιαῦτα τὲ καὶ ἕτερα τȣ̃ Ἕκτορος εἰπόντος,
λειποψυχῶν ὁ Πάτροκλος, ὡς παίζοντος Ὁμήρȣ,

καὶ προφανῶς δεικνύοντος τὸν ἥττονα γυμνάζειν,
αὔχει νῦν Ἕκτορ μέγιστον ἤδη καὶ κόμπαζέ μοι·
σοὶ γὰρ τὴν νίκην ἔδωκεν ὁ ἥλιος Ἀπόλλων,
καὶ Ζεὺς Κρονίδης δὲ αὐτός· ἄδηλος εἱμαρμένη,
οἳ ἐκ τῶν ὤμων ὅπλα μου ἐδάμασαν λαβόντες.
Ἕκτορες δέ μοι εἴκοσιν εἰ ἦλθον ἐναντίοι,
πάντες ἂν ἀνῃρέθησαν ἐμοῦ τῷ δορατίῳ.
ἤκουσας ὠτάριχα τηγάνου μαγειρίαν,
ἤκουσας καστανίτζια τὰ τοῦ καλοῦ Πατρόκλου,
τὸν Ὅμηρόν μου τὸν χρυσοῦν ἔγνως ἠκριβωμένως,
ὅπως λόγον τὸν ἥττονα ῥητορικῶς γυμνάζων,
καὶ τὴν ἀλήθειαν φησὶ καὶ καπυρὸν γελᾷ δε·
νήπιε Πάτροκλε τί φής; ὡς πρὸς τὸν Τζέτζην λέγε,
εἰ εἴκοσί που Ἕκτορες ἄνευ στρατῶν ὑπῆρχον,
οὐκ ἂν πάντας τοὺς Ἕλληνας ἀπέκτειναν καὶ μόνοι;
ἀλλ' ἐπαναληπτέον μοι τοῦτον μικρὸν τὸν λόγον·
Πάτροκλος εἶπεν· εἴκοσι τοιούτους ἂν ἀνεῖλον,
ἀλλά με μοῖρα τε ὁμοῦ ἀνεῖλε σὺν ἡλίῳ,
ἤ τοι ἡ μοῖρα δέδρακε βλαβῆναι παρ' ἡλίου·
δεύτερος δὲ ὁ Εὔφορβος, σὺ τρίτος δὲ ὦ Ἕκτορ·
οὕτως εἰπὼν ἐξέθανε, ψυχὴ δ' ἀπέπτη τούτου,
πτῶσιν θρηνοῦσα τελευτῆς, ἥβην καὶ ἁδροτῆτα,
τὸ στιβαρὸν καὶ εὔτονον, καὶ τὸ ἀνδρεῖον τούτου·
μὴ εἴπῃς ἀνδροτῆτα δε μετὰ τοῦ ν μηδόλως·
ὁ στίχος γάρ ἐστι λοιπὸν οὕτω τῶν ἐπταισμένων·
οὕτω πὲν οὖν ἀπέπνευσεν ὁ Πάτροκλος ὡς ἔφην·
ὁ Ἕκτωρ δ' ἐκ τοῦ τραύματος λὰξ ἀνασπάσας δόρυ,
ὥρμα κατ' Αὐτομέδοντος κτανεῖν καὶ τοῦτον θέλων,
τοῦτον δὲ ὑπεξέφερον οἱ Ἀχιλέως ἵπποι,
οὓς τῷ Πηλέϊ οἱ θεοὶ, ἤ τοι ἡ εἱμαρμένη,
ἢ βασιλεῖς, δεδώκασι δῶρα τῶν λαμπροτάτων.

Τῆς πῖ μὲν ἡ ὑπόθεσις ἰδοὺ συνεπεράνθη,
καὶ δὴ καὶ ἠλληγόρηται· ἃ δ' οὐ σαφῶς ἐλέχθη
τανῦν ἀλληγορήσομεν σαφῶς καὶ πλατυτέρως·
ἐκ τοῦ μικροῦ τὴν Ἴλιον οἱ Ἕλληνες ἀνεῖλον,
εἰ μὴ Ἀπόλλων συμμαχῶν Τρωσὶ πρὸς πύργον ἔστη·
οὐδὲν ἀσκόπως Ὅμηρος ἄχρι τυχόντων γράφει,
ῥητόρων δὲ δεινότητι πάντα προσφόρως λέγει·
τὸ δὲ μικροῦ τὴν Ἴλιον Πάτροκλος μεθ' Ἑλλήνων
τῷ τότε ἂν ἐπόρθησε, λόγος ἐστὶν ἀστεῖος,
καὶ χάρις ἐπιτάφιος εἰς Πάτροκλον Ὁμήρου·
ἤ τοι, εἰ μὴ ὁ Πάτροκλος ἀπέθανεν ἂν, ἔζη,
καὶ ἴσως καὶ τὴν Ἴλιον σὺν Ἕλλησιν ἂν εἷλεν·
ἀλλ' ὁ Ἀπόλλων δέδρακε τάδε καὶ τάδε τότε·
ἄκουε πάντα νῦν ἐμοῦ σαφῶς ἀλληγοροῦντος·
οἷος ἐμπειροπόλεμος ἦν στρατηγὸς ὁ Ἕκτωρ,
καὶ τοῖς νεκροῖς κατάδηλος καὶ φύσεσιν ἀψύχοις,
καὶ οἷοι δὲ ἀσύγκριτοι πρὸς μάχας καὶ πολέμους
ἦσαν οἱ πλείους Ἕλληνες χωρὶς ἠριθμημένων,
Ὅμηρος ἐμαρτύρησε τῇ γάμμα ῥαψῳδίᾳ·
κἂν λέγων, λέγειν οὐ δοκεῖ, δεινὸς ὢν λογογράφος.
τέως ὁ πάνσοφος ἀνὴρ ἐκεῖ τοιαῦτα γράφει.

Ὁ Ἕκτωρ τὰ στρατεύματα μέλλων τῆς μάχης παῦσαι,
ὡς ἂν μονομαχήσωσι Μενέλαος καὶ Πάρις,
εἰς ἀμφοτέρους τοὺς στρατοὺς μέσον εἰσῆλθε τότε,
ἐκ μέσου δόρυ τὸ αὐτοῦ κρατῶν, ἀλλ' οὐκ ἐξ ἄκρου,
ὅπερ σημεῖον πέφυκε τῆς παύσεως τῆς μάχης·
καὶ Τρῶες μὲν ἱδρύνθησαν ἰδόντες τὸ σημεῖον·
Ἕλληνες δ' ἀσυγκρότητοι τῶν ἀπειροπολέμων
ὄντες, μηδὲ γινώσκοντες στρατιωτῶν σημεῖα,
καθ' Ἕκτορος πᾶν ἔπεμπον καὶ τόξευμα καὶ βέλος,
ἕως αὐτοὺς ὁ βασιλεὺς ἔπαυσεν Ἀγαμέμνων.

εἰπὼν ὡς τί τοῖς Ἕλλησιν ὁ Ἕκτωρ μέλλει λέγειν·
τοιοῦτος Ἕκτωρ στρατηγὸς ὢν συγκεκροτημένος,
ὡς κατακόπους ἦν ὁρῶν τοὺς Τρῶας μαχομένους,
καὶ κίνδυνος ἐπήρτυτο τούτοις ἐκ Μυρμιδόνων,
φεύγειν προσποιησάμενος, φεύγειν κελεύει Τρῶας.
ὡς καταστρατηγήσειε στρατηγικῇ φρονήσει
τοὺς Ἕλληνας καὶ Πάτροκλον ὄντας ἀσυγκροτήτους,
τοῖς δὲ Τρωσὶ ποιήσειεν ἑτεραλκῆ νὴν νίκην.
ὅ περ καὶ δέδρακεν εὐθὺς τεχνικωτάτῳ τρόπῳ·
τῇ γὰρ δοκήσει τῆς φυγῆς τὸν τρόπον παραμείψας,
καὶ εἶναι μὲν τὸν ἥλιον τοῖς Τρώων ὀπισθίοις,
λάμπειν δὲ κατὰ πρόσωπον Ἑλλήνων καὶ Πατρόκλου.
τί δεῖ μακρηγορήματος; τὸν Πάτροκλον ἀνεῖλε,
καὶ Μυρμιδόνας καὶ λοιποὺς Ἑλλήνων οὐκ ὀλίγους.
Τὸ πᾶν δὲ ἀλληγόρημα νῦν προσωποποιΐα·
Ἀπόλλωνα τὸν ἥλιον σύμμαχον Τρώων λέγων,
ὀλέθρια Πατρόκλῳ δε καὶ θάνατον φρονοῦντα,
καὶ τὴν ἀσπίδα νύσσοντα χερσὶ ταῖς ἀθανάτοις,
ταῖς δραστικαῖς ἐλλάμψεσι τοῦτον ἀποσοβοῦντα.
καὶ δῆθεν λέγοντα ταυτὶ ἅπερ φασὶ τὰ ἔπη.
Ὁ Ἄσιος ὁ μήτρως δὲ τοῦ Ἕκτορος ὡς εἶδεν
ἥλιον κατὰ πρόσωπον Ἑλλήνων ὑπηργμένον,
τὸν Ἕκτορα εἰσέτι δε σκοποῦντα τί δραστέον,
ἐν τραχυτέροις ἤγειρε κατὰ Πατρόκλου λόγοις·
ὃν Ἄσιον, Ἀπόλλωνος μόρφωμα νῦν σοι λέγει·
καὶ ὁ μὲν ἥλιος αὐτὸς ἦν τῷ πολέμῳ λάμπων,
καὶ σκῦλμα μέγα τῷ στρατῷ ποιῶν τῷ τῶν Ἑλλήνων,
τοῖς δὲ Τρωσὶ καὶ Ἕκτορι μέγα προσάπτων κῦδος·
Ἕκτωρ φονεύειν δὲ λοιποὺς παρέτρεχεν Ἑλλήνων,
κατὰ Πατρόκλου δ' ἤλαυνε, κτεῖναι ποθῶν ἐκεῖνον.
καὶ πρῶτα Κεβριόνην μεν ὁ Πάτροκλος ἀνεῖλεν·

δι' ὃν καὶ μάχη καρτερὰ τῷ τότε συνεῤῥάγη,
καὶ μέχρι μεσημβρίας μὲν ἰσοπαλὴς ἦν μάχη
μετὰ τὴν μεσημβρίαν δε οἱ Ἕλληνες νικῶσι,
τὸν ἥλιον κατόπισθεν τῆς ῥάχεως βαλόντες·
ἀνεῖλε δὲ ὁ Πάτροκλος ἅμα σὺν Μυρμιδόσιν,
ὅσους φησὶν ὁ Ὅμηρος· εἶτα δὲ ὁ Ἀπόλλων
πλήξας αὐτοῦ μετάφρενον, πάντων γυμνοῖ τῶν ὅπλων·
ῥίπτει δὲ καὶ τὴν κόρυθα, τούτου τὸ δόρυ θραύει·
Πάτροκλος δ' ἔστη ἐκπλαγεὶς, ὁ δ' Εὔφορβος λαθραίως
ἔβαλε τὸ ματάφρενον τούτου τῷ δορατίῳ·
ὡς δ' οὐκ ἐδάμασεν αὐτὸν ἀφηρπακὼς τὸ δόρυ,
φεύγει, οὐχὶ τὸν Πάτροκλον ὡς Ὅμηρος νῦν φέρει,
ἀλλὰ στρατὸν Ἑλλήνων τε καὶ τὸν τῶν Μυρμιδόνων·
εἶτα ὁ Ἕκτωρ ἀναιρεῖ τὸν Πάτροκλον, ὡς ἔφην·
πληγὴ δὲ ἡ Ἀπόλλωνος ἡ κατὰ μεταφρένου,
ἢ ὅτι Πάτροκλος θαλφθεὶς ἀκτῖσι ταῖς ἡλίου,
ὡς καὶ νικῶν ἐνδύεται τὴν πᾶσαν πανοπλίαν,
καὶ ἀνῃρέθη ᾧ φαμὲν ἀναιρεθῆναι τρόπῳ,
εἴτ' οὖν καὶ ἀσκεπτότερον ἐλαύνων κατὰ Τρώων,
Εὐφόρβῳ τὸ μετάφρενον ἐβλήθη δορατίῳ,
ἐκ τῶν μερῶν τῶν ὄπισθεν λαθραίως ἐπελθόντι,
τῇ φαύσει τοῦ ἡλίου δε μηδόλως ὁρωμένῳ·
διὸ προσάπτων Ὅμηρος ἡλίῳ τὴν αἰτίαν
λέγει· ὁ Ζεὺς, ὁ μοῖρα με. καὶ ὁ Ἀπόλλων ἅμα,
ὁ Εὔφορβος δὲ δεύτερος, σὺ δέ με τρίτος κτείνεις·

## ὙΠΟΘΕΣΙΣ ΤΗΣ Ρ. ὉΜΗΡΟΥ ῬΑΨΩΔΙΑΣ

Μάχη συνέστη καρτερὰ περὶ νεκροῦ Πατρόκλου·
Εὔφορβος ἀνερεῖται δὲ ὑπὸ τοῦ Μενελάου·
Ἕκτωρ τὴν Ἀχιλέως δὲ δύεται πανοπλίαν,
Ἀντίλοχος δὲ στέλλεται περὶ τὸν Ἀχιλέα
τὸν τοῦ Πατρόκλου θάνατον ἐκείνῳ καταγγέλλων·
ὁ δὲ Μενέλαος αὐτὸς ἅμα καὶ Μηριόνης
ὑψοῦ κρατοῦντες τὸν νεκρὸν ἐξέφερον τῆς μάχης·
οἱ δ' Αἴαντες ἀπείργουσι τοὺς Τρῶας προμαχοῦντες.
Πάντα τὰ τῇδε σοι σαφῆ· τὸ, Ζεῦ δὲ πάτερ, νόει
τὴν εἱμαρμένην νῦν δηλοῦν, εἴ τε καὶ τὸν ἀστέρα·
Ἀπόλλων ἥλιος ἐστὶν ὁμοιωθεὶς τῷ Μέντῃ,
ὃς Μέντης βλέπων συνεργὸν ἥλιον Τρώων ὄντα,
ἢ καὶ ἡλίου τηλαυγοῦς αὐγάζοντος ἐν μάχῃ,
τῷ Μενελάῳ Εὔφορβον ἰδὼν ἀνῃρημένον,
φησὶν ὡς πρὸς τὸν Ἕκτορα, σὺ μὲν διώκεις ἵππους·
Μενέλαος δ' ἀπέκτεινεν Εὔφορβον παῖδα Πάνθου.
Τὸ πρὸς τὸν Γλαῦκον δὲ ῥηθὲν, παρ' Ἕκτορος ῥητόν δε,
ὡς οὐκ ἐγὼ ποιούμενος καθέστηκα τὴν μάχην,
ἀλλὰ Διὸς ὁ νοῦς ἐστι κρείσσων τοῦ Αἰγιόχου·
τοῦτο σημαίνει καὶ δηλοῖ συμφανεστάτῳ λόγῳ,
ὡς ἡ ἀκατανόητος ἄδηλος εἱμαρμένη
ἐστι καὶ νοῦς, καὶ φρόνησις, καὶ ῥώμη, καὶ ἀνδρεία,
καὶ πᾶν ὁπόσον πέφυκε τιμώμενον τῷ βίῳ·
μὴ συμπαρούσης ταύτης δε σύμπας εἰς μάτην τρέχει.
Ἄμβροτα τεύχη δὲ τανῦν τοῦ Ἀχιλέως λέγει,
ὡς ἵππους πάλιν ἀλλαχοῦ καὶ ἄλλα δὲ μυρία,
τῶν, ὧν περ οὐκ ἀπόλλυται ἡ φήμη καὶ τὸ κλέος·
τὸ δὲ, ἃ οὐρανίωνες θεοὶ Πηλεῖ παρέσχον,

ἢ ἐξ ἀστέρων οὐρανοῦ παρέσχεν εἱμαρμένη,
ἢ ἅ περ ἦσαν ἐκ χρυσοῦ, ἀργύρου, καὶ τῶν ἄλλων,
ἑκάστῳ τῶν ἀστέρων γὰρ ἀνάκειται τίς ὕλη,
δηλῶν τὴν εἱμαρμένην δε καὶ τοὺς ἀστέρας λεγειν·
ἵνα μὴ δόξῃς νῦν θεοὺς τοὺς βασιλεῖς σοι λέγειν,
εἶπε τὸ, οὐρανίωνες. ὁμοίως τε σὺν τούτοις
ἡ εἱμαρμένη, πέφυκε Ζεὺς νεφεληγερέτης,
ὁ καὶ κινήσας κεφαλὴν δἰ Ἕκτορα ὡς γράφει,
Διϊπετὴς δὲ ποταμὸς, ὁ ὄμβρος ηὐξημένος,
κόρυθες δ' ὡς τιθέμεναι τάχα περὶ τὴν κάραν,
ἀπὸ τοῦ Κάρα, Κόρυς τε εἰλήχασι τὴν κλῆσιν,
ἢ ὅτι Κόρυθος αὐτὰς πρῶτος ὁ Ἴβηρ εὗρεν·
ὡς Σάκαι, σάκος· Φάλαγξ δὲ εὗρε πολέμων στάσιν·
Κρονίων δὲ, ἡ ἄδηλος μοῖρα καὶ εἱμαρμένη.
ἀορασίαν ἔχευε ταῖς περικεφαλαίαις·
ἔστοργε γὰρ τὸν Πάτροκλον καὶ ζῶντα καὶ θανόντα·
τοῦτο δηλοῖ ὁ Ὅμηρος χωρίῳ τῷ ἐνθάδε·
ὡς οἱ χρηστὰ θεμάτια σχόντες ἐν γενεθλίοις.
καὶ ζῶντες εὐτυχοῦσι μεν, ὁτὲ καὶ τελευταῖς δε
ἀρίσταις περιστέλλονται, ποτὲ δὲ καὶ σημεῖα
πρὸ τελευτῶν κἂν τελευταῖς δεικνύονται ταῖς τούτων,
οἷον φησὶ κἂν τελευτῇ γενέσθαι τοῦ Πατρόκλου.
Τοὺς Ἀχαιοὺς ὁ Ὅμηρος ἑλίκωπας καλεῖ δε,
ἢ ὡς τὸ βλέπειν βλέποντας πρὸς Ἄρκτον. τὴν Ἑλίκην,
ἢ καὶ πρὸς οὓς ἑλίσσει τίς τοὺς ὦπας θέλων βλέπειν,
ἤ τοι ὡραίους, εὐειδεῖς, ἀξίους ὄντας θέας.
Ὑπὲρ Διὸς τὴν αἶσαν δε καὶ πρέπον, εἱμαρμένην,
μικροῦ δεῖν Τρῶες φεύγοντες εἰσῆλθον ἂν εἰς Τροίαν.
Περίφαντι τῷ κήρυκι ὁμοιωθεὶς δ' Ἀπόλλων,
ἤ τοι περισκεψάμενος τὸν ἥλιον Περίφας,
Ἑλλήνων ἀντιπρόσωπον, Τρωσὶ δὲ συνεργοῦντα,

αὐτὸς Αἰνείας ὤτρυνε· τὸν Ἕκτορα δ' Αἰνείας,
τοῖς Ἕλλησιν ἀνθίστασθαι καὶ μάχεσθαι γενναίως·
ὁ Ζεὺς, ἡ εἱμαρμένη, δὲ νοεῖται τοῖς ἐνθάδε·
πραπίδας, τὸ διάφραγμα νῦν δὲ κατονομάζει,
δέμας πυρὸς ἢ τόπος τὶς οὕτως ἦν κεκλημένος,
εἴ τε θερμῶς ὥς περ τὸ πῦρ ἐμάχοντο οἱ ἄνδρες·
τοιαύτη δέ τις σκότωσις ἐγένετο τῷ τότε,
ὡς μήθ' ἡμέραν φαίνεσθαι τελείαν εἱμαρμένην,
μήτε μὴν νύκτα παντελῆ σελήνην κεκτημένην·
ἡ σκότωσις δὲ γέγονε περὶ τὸν τόπον μόνον,
πρὸς ὃν διὰ τὸν Πάτροκλον τὴν μάχην συνεκρότουν·
ἐν δὲ τοῖς ἄλλοις σύμπασι τόποις τοῖς τοῦ πολέμου,
αἰθρία ἦν ἀνέφελος, καὶ ἥλιος ὀξύς δε.

Τότε δὲ μῶλος ἄγριος ὥς περ φησὶν ὀρώρει,
ὃν περ οὐκ ἂν ἐμέμψατο οὐκ Ἄρης, οὐκ Ἀθήνη·
ἤ τοι τοιοῦτος γέγονεν ὁ πόλεμος τῷ τότε,
ἄμομφος ὢν τοῖς σύμπασι φρονήσεως καὶ μήχης,
ὡς οὐ πορθήσει Πάτροκλος τὴν πόλιν τὴν τῶν Τρώων,
τοῦ Ἀχιλέως ἄνευθεν, ἀλλ' οὐδὲ σὺν ἐκείνῳ·
ἐκ σφῆς μητρὸς ὁ Ἀχιλεὺς τῆς λεκανομαντείας
κρυφίως ἐξεμάνθανε καὶ πᾶν τὸ εἱμαρμένον,
τὸν τοῦ Πατρόκλου θάνατον τότε δ' οὐ προεγνώκει.
ἤ τοι οὐ κατεσκόπησεν ἐκ λεκανεμαντείας,
ἢ ὑποστρέψει Πάτροκλος ἢ τῷ πολέμῳ πέσοι.

Ὅπως τὸ ὕδωρ λέγεται μήτηρ δὲ Ἀχιλέως
καὶ ποσαχῶς, εἰρήκειμεν τῇ ἄλφα ῥαψῳδίᾳ.

Τοὺς ἵππους μυρομένους δὲ ἠλέησε Κρονίων,
ἡ σκοτεινὴ καὶ ἄδηλος ὡς ἔφην εἱμαρμένη,
καὶ κεφαλὴν κινήσασα πρὸς ἑαυτὴν εἰρήκει·
ἄθλιοι τί δεδώκαμεν ὑμᾶς θνητῷ Πηλέϊ,
ταῖς ἀρεταῖς ἀθάνατον τὴν μνήμην κεκτημένους.

ἵνα δυστήνῳ Ἕκτορι θνητῷ ἐποχηθῆτε;
ἀλλ᾽ οὐκ ἐάσω οὐδαμῶς τοῦτο συντελεσθῆναι·
ἀντὶ τοῦ φᾶναι, καὶ οὐκ ἦν τῷ τότε εἱμαρμένον
τοιούτων ἵππων Ἕκτορα γενέσθαι διφρηλάτην,
οὓς εἱμαρμένη εὐτυχὴς παρέσχε τῷ Πηλέϊ,
πρόσωπον περιθέμενος Διὸς τῇ εἱμαρμένῃ,
τοῦτον εἰσφέρει λέγοντα λόγους τανῦν τοιούς δε.
Τίς δὲ θεῶν ὁ νηκερδῆ νῦν τὴν βουλὴν ποιήσας,
τίς εἱμαρμένη, τίς σκοπὸς ἀπώλεσε σὰς φρένας;
θεόφιν δὲ ἀτάλαντος τίς μήστωρ νῦν τυγχάνει,
ὁ τῇ φρονήσει ὅμοιος; εἴτ᾽ οὖν αὐτῷ πολέμῳ
δεινὴ περὶ Πατρόκλῳ δε πάλιν κροτεῖται μάχη·
καὶ τοῦ Διὸς προπέμψαντος, ἤ τοι τῆς εἱμαρπένης,
τὴν Ἀθηνᾶν ἐξ οὐρανοῦ, νῦν ἴριδα καὶ τόξον,
προσβοηθοῦν τοῖς Ἕλλησιν. ἠλέησε γὰρ τούτους·
ὁ πρῶτος Φοῖνιξ κατιδὼν Μενέλαον προτρέπει
περὶ Πατρόκλου καρτερῶς ἐγκαρτερεῖν τῇ μάχῃ·
ὁ δὲ Μενέλαος φησίν· εἴ περ Ἀθήνη κράτος
δώῃ μοι, τὸ φανὲν νυνὶ τόξον ἐκ τοῦ ἀέρος,
οὐ ῥάθυμος φανήσομαι ἀμύνειν τῷ Πατρόκλῳ·
οὕτως εἰπὼν καὶ παρελθὼν ἔγγιστα τοῦ Πατρόκλου,
υἱὸν τοῦ Ἠετίωνος, κλῆσιν Ποδῆν, ἀνεῖλεν,
τοῦ Ἕκτορος συντράπεζον καὶ φίλον πεφυκότα·
καὶ τὸν νεκρὸν πρὸς Ἕλληνας παρείλκυσεν εὐθέως·
Φαίνοψ ὁ Ἀσιάδης δε τοῦτο ἰδὼν, ἡλίῳ
τὸν Ἕκτορα παρώτρυνεν ὁρμῆσαι καθ᾽ Ἑλλήνων·
ὁ οὐρανὸς δὲ νέφεσιν ἐκάλυψε τὴν Ἴδην,
ἀστράψας δ᾽ ἐπεβρόντησε μέγα πρὸς Τρώων νίκην·
πρὸς δὲ φυγὴν συνήλασε στράτευμα τῆς Ἑλλάδος·
Ζεὺς ὁ διδοὺς ἑτεραλκῆ τὴν νίκην, εἱμαρμένη,
καὶ ὅς τις ὠλοφύρετο τὸν Αἴαντα, πατὴρ δε,

τὴν προσωποποιΐαν δὲ ταύτην νοεῖν σε δέον.
ὡς Αἴας μὲν ἐπηύξατο καὶ γέγονεν αἰθρία,
λέγει ὡς κατῳκτείρησεν αὐτὸν ἡ εἱμαρμένη·
ὃ μέγα πῆμα τε θεὸς τοῖς Δαναοῖς κυλίνδων,
οὐκ ἄλλο τῇδε τίς ἐστιν, αὐτή δε εἱμαρμένη.

## ʽΥΠΟΘΕΣΙΣ ΤΗΣ Σ. ʽΟΜΗΡΟΥ ʽΡΑΨΩΔΙΑΣ

ʽΟ ʼΑχιλεὺς ὀδύρεται θάνατον γνοὺς Πατρόκλου,
ὃν Θέτις παρηγόρησεν ἐλθοῦσα τῆς θαλάσσης.
εἴργει δʼ αὐτὸν πολέμου τε ἕως κομίσει ὅπλα·
ʽΗρας κελεύσει δʼ ἄοπλος ἔρχεται πρὸς τὴν τάφρον,
φανεὶς ἐκπλήττει Τρῶας δε καὶ πρὸς φυγὴν ἐκτρέπει·
οἱ Μυρμιδόνες δὲ νεκρὸν τὸν Πάτροκλον λαβόντες,
λούουσιν, ὅπλα δʼ ʽΗφαιστος τῷ ʼΑχιλεῖ σκευάζει·
τὸ δέμας αἰθομένοιο πυρὸς, τόπος τοῖς ἄλλοις,
εἴ τε θερμῶς ἐμάχοντο, ὡς σῶμα πυρὸς καῖον·
θεοὶ δʼ, οἱ μέλλουσι τανῦν τελέσαι τὰς κακώσεις·
ἀστέρες, ἐξ ὧν γίνονται πάντα τὰ εἱμαρμένα·
ὥς περ ἐδήλωσε ποτὲ ἡ μήτηρ μου ἡ Θέτις,
ζῶντος ἐμοῦ, τὸν Πάτροκλον χερσὶ θανεῖν τῶν Τρώων·
ὡς ἐξ ὑδρομαντείας δε καὶ λεκανομαντείας,
τοῦτο γινώσκω ἀκριβῶς, ἣν πρὶν ἐποιησάμην·
ὅπως τὸ ὕδωρ μήτηρ δε τυγχάνει ʼΑχιλέως,
ἢ ποσαχῶς, εἰρήκαμεν ἐν διαφόροις τόποις.
Φάσις καὶ ἀγγελία μεν κατὰ τοὺς ἀστρολόγους,
διαφορὰν ἐσχήκασι καὶ πάνυ δὲ μεγίστην·
φάσις γὰρ μήνυμα ἐστι ζώντων ἀποδημούντων,
ἡ δʼ ἀγγελία μήνυμα νεκρῶν, οὐ περὶ ζώντων·

Ὅμηρος ἀγγελίας δε ἄμφω κατονομάζει,
τὴν μὲν ἐσθλὴν, τὴν δὲ λυγρὴν, τὴν δ' ἀγγελίαν μόνον,
καθάπερ καὶ τὰ φάρμακα πρεπόντως ὀνομάζει
ἐσθλὰ, λυγρά· καὶ φάρμακα δίχα τινὸς προσθήκης,
τῶν ἄλλων πάντων φάρμακα γραφαῖς ὀνομαζόντων,
μόνα τὰ ἰατήρια· μὴ μέν τοι καὶ τὰ ἄλλα.
Νεκτάριον χιτῶνα δε, τὸν θαυμαστὸν νῦν λέγει·
τὸ, χεύατο δ' ἐς κεφαλὴν, τὴν αἰθαλώδη κόνιν·
τὸ μέγα τε, μεγαλωστὶ ταθῆναι τῇ κονίῃ,
σὺν τούτοις τὸ δαΐζειν τε φίλαις χερσὶ τὴν κόμην,
ψυχῆς ἐστὶ ζωγράφημα, ποίας σιωπητέον·
τὴν ἥν περ ὁ ἀμίμητος σοφίᾳ καὶ φρονήσει
Ὅμηρος νῦν ἐνζωγραφεῖ, καὶ ζωγραφῶν λανθάνει·
ᾤμωξε μέγα δ' Ἀχιλεὺς, ἤκουσε δὲ ἡ μήτηρ
παρὰ τῷ γέροντι πατρὶ θαλάσσῃ καθημένη·
κωκύει· συναθροίζονται σύμπασαι Νηρηΐδες,
καὶ στήθεα πεπλήγοντο· Θέτις δ' ἐξῆρχε γόου.
Ἀλλ' ἀλληγορητέον μοι πᾶν τὸ χωρίον τοῦτο,
καὶ τὸν ὀξὺν δὲ κωκυτὸν τῆς Θέτιδος ὃν λέγει,
καὶ Ἀχιλέως κεφαλὴν ὅπως κατέσχε τότε·
ὀλοφυρμὸν καὶ λόγους δε ῥηθέντας ἀμφοτέροις,
καὶ πᾶν ὁπόσον δέον μοι λεπτῶς ἀλληγορῆσαι.
Μήτηρ τοῦ Ἀχιλέως μεν ἡ Χείρωνος ἦν Θέτις,
καὶ Θέτις δὲ ἡ θάλασσα μήτηρ τοῦ Ἀχιλέως·
λέγεται οὕτω πενταχῶς ὥς περ καὶ πρώην ἔφην·
κατ' Αἰγυπτίους, Ὅμηρον, Θαλῆν τε καὶ ἑτέρους
τὸ ὕδωρ πρῶτον λέγεται στοιχεῖον πεφυκέναι·
ἐκ τούτου δὲ καὶ τὰ λοιπὰ γενέθλια στοιχεῖα·
οὕτω πρώτως ἡ θάλασσα καὶ τὸ ὑγρὸν στοιχεῖον
τοῦ Ἀχιλέως μήτηρ τε καὶ πάντων τῶν ἐν βίῳ·
ἡ θάλασσα καλεῖται δε δευτέρως τούτου μήτηρ,

διὰ τὸ ἄγριον αὐτȣ͂ καὶ θυμικὸν τȣ͂ τρόπȣ·
τρίτως ὅτι γενέθλιον ἔχων ἐν ὑδροχόῳ
ἐν ταῖς παρύγροις μάχαις τε καὶ ταῖς διαποντίοις,
καὶ τοῖς χειμῶνος δὲ καιροῖς μεγάλως συνηργεῖτο·
τετάρτως ὡς ἐξ ὕδατος καὶ λεκανομαντείας
μανθάνων ὥς περ ἐκ μητρὸς, τὰ μέλλοντα συμβῆναι·
πέμπτως ὡς καὶ θανόντος δε αὐτȣ͂ τȣ͂ Ἀχιλέως,
νεκρȣ͂ τε τȣ́τȣ σώματος εἰσέτι προκειμένȣ,
ἡ θάλασσα ταρύξασα κῦμα φρικτὸν καὶ μέγα
ἐξῆλθε μέχρι τȣ͂ νεκρȣ͂ περὶ Σιγείȣ τόπον,
ὡς πᾶν τὸ ϛράτευμα φυγεῖν κατακλυσμὸν δοκȣ͂ντας·
ἡ δὲ θρηνῶδες γοερὸν ὥς περ μυκησαμένη,
πάλιν πρὸς κοίτην τὴν αὐτῆς εὐθέως ὑποϛρέφει·
ὃ περ καὶ θρῆνον Θέτιδος φασὶ καὶ Νηρηΐδων.
καὶ νῦν τȣ͂ Ἀχιλέως δε τὸν Πάτροκλον θρηνȣ͂ντος,
τοιȣ͂τον περὶ θάλασσαν ἐγένετο σημεῖον·
ὃ προσωποποιΐαν μεν ὁ Ὅμηρος ποιήσας,
ἀλληγορεῖ τὰ σύμπαντα τὰ τῇδε γεγραμμένα,
θάλασσαν Ἀχιλέως μεν μητέρα Θέτιν λέγων,
ὥς περ τῷ πένθει τῷ αὐτȣ͂ δῆθεν λελιπημένη·
διὰ τὸ, τότε τȣ͂ ἀνδρὸς τὸν Πάτροκλον πενθȣ͂ντος,
αὐτὴν, ὡς ἔφην, ἐξελθεῖν μυκήματι μεγάλῳ,
ὃ μύκημα καὶ κωκυτὸν καὶ θρῆνον ταύτης λέγει·
πατέρα ταύτης γέροντα, τὴν φύσιν τῶν ὑδάτων·
ὅτι καθὼς εἰρήκαμεν πρῶτον ϛοιχεῖον ὕδωρ·
ἢ ὡς λευκὸν καὶ πολιὸν, καὶ γὰρ λευκὸν τὸ ὕδωρ·
κἂν οἱ λοιποὶ φιλόσοφοι πλὴν τȣ͂ σοφȣ͂ Ὁμήρȣ
καὶ τȣ͂ Ἀναξαγόρȣ δε καί τινων βραχυτάτων,
ἄμορφά τε καὶ ἄποια λέγȣσι τὰ ϛοιχεῖα·
ἔγνως πατέρα γέροντα καὶ κωκυτὸν καὶ θρῆνον,
αἱ Νηρηΐδες δὲ θεαὶ τίνες αἱ ἀθροισθεῖσαι,

καὶ στήθη πλήττουσαι αὐτῶν τῆς Θέτιδος γοώσης,
οὐκ ἄλλο τι καθέστηκεν, ἀλλ' ἢ αὐτὸ τὸ ὕδωρ,
καὶ μᾶλλον τὸ κινούμενον, ὃ καὶ Ναῒς καλεῖται,
τὸ ὕδωρ τὸ θαλάσσιον. πολλὰς γὰρ κλήσεις ἔχει·
Φόρκυς, καὶ Τρίτων, Ποσειδῶν, Νηρεὺς καὶ Ἀμφιτρίτη,
Θέτις καὶ Νηρηΐδες καὶ ἕτερα μυρία·
πλάττει καὶ Νηρηΐδων δὲ ὀνόματα προσφόρως,
ἀπό τε τῆς λευκότητος φύσεως τῶν ὑδάτων,
καὶ ἐκ τοῦ θάλλειν τὰ φυτὰ ταῖς ὕδατος ἀρδίαις,
ἀπὸ κυμάτων, νήσων τε, σπηλαίων, ταχυτῆτος,
ἁλὸς, ἀκτῶν τὲ καὶ λιμνῶν καὶ δόσεως μυρίων,
ἔκ τε τοῦ, πρῶτον τῶν λοιπῶν στοιχείων πεφυκέναι,
καὶ φέρειν τὰς ὁλκάδας δὲ καὶ δυνατὸν τελεῖν δὲ·
δεξαμενὴν τυγχάνειν δὲ, καὶ νέμεσθαι, ἡπλῶσθαι,
ὁπόσαι τὲ τοῖς ὕδασιν ἁρμόζουσαι αἱ κλήσεις·
κἂν περ τινὲς προσέθεντο καὶ στίχους ἀπροσφόρους.
Τὸν ἦχον τούτων λέγει δὲ, πλῆγμα στηθῶν οἰκείων,
τὸν περὶ νήσους καὶ ἀκτὰς, σπήλαια, πέτρας τ' ἄλλα·
τὴν Θέτιν δὲ κατάρξασθαι ταύτης τῆς γόου λέγει,
ὅτι πρῶτον ἀνοίδησε μυκώμενον τὸ ὕδωρ·
ἔπειτα προσρηγνύμενον οἷς περ εἰρήκειν τόποις,
δεινὸν, φρικώδη, μέγιστον οἷον ἐποίει ῥόχθον.
Πρόσωπον μὲν ὃς ἔφημεν τῇ Θέτιδι θαλάσσῃ
Ὅμηρος περιθέμενος μητρὸς τοῦ Ἀχιλλέως,
δεικνὺς ὅτι παθαίνεται τοῦτον καὶ τὸ στοιχεῖον,
καὶ λόγους περιάπτει δὲ οὕς περ ἂν εἶπε μήτηρ
ἐπὶ υἱῷ τοιούτῳ μὲν, ὄντι δὲ βραχυχρόνῳ,
καὶ θλιβομένῳ συνεχῶς λύπαις ἀλλοπροσάλλαις·
τὸ δὲ, ὀξὺ κωκύσασαν τούτου λαβεῖν τὴν κάραν,
καὶ λέγειν ταῦτα ἐκ Διὸς τετέλεσται ὡς ηὔχου,
καὶ πρὸς τὰς ναῦς τοὺς Ἕλληνας πεσεῖν ὑπὸ τῶν Τρώων,

τοῦτο φησὶν ὁ Ἀχιλεὺς Πάτροκλον ὡς ἐπένθει·
ἤκουσε δὲ τοῦ μυκηθμοῦ τοῦτό σου τῆς θαλάσσης,
εἰς κεφαλὴν καὶ λογισμὸν καὶ νοῦν δὲ τὸν οἰκεῖον,
συνεὶς ὡς εἱμαρμένον ἦν οὕτω γενέσθαι τάδε.
ὡς πρὶν αὐτὸς ἐζήτει τε καὶ ηὔχετο γενέσθαι·
λέγει αὐτὸς πρὸς ἑαυτόν· ὦ συνεργὸν στοιχεῖον,
καὶ βοηθοῦν μοι ἐσαεὶ δίκην πητρὸς φιλτάτης,
οἶδα ὡς ἡ οὐράνιος ἀστέρων εἱμαρμένη,
πληροῦσα πόθον τὸν ἐμὸν, Ἕλληνας οὕτως τρέπει,
τὸ δ᾽ ὄφελος ὁποῖον μοι θανόντος καὶ Πατρόκλου,
τὰ κάλλιστά τε ὅπλα μοι Ἕκτορος ἀφελόντος,
ἅ περ Πηλεῖ δεδώκασι δῶρα τῶν λαμπροτάτων
θεοὶ, ἀστέρες οὐρανοῦ, ἐξ ὧν τὰ εἱμαρμένα,
ἢ ἅπερ ἦσαν ἐκ χρυσοῦ, ἀργύρου, καὶ τῶν ἄλλων,
ἑκάστῳ τῶν ἀστέρων γὰρ ἀνάκειται τίς ὕλη,
ἢ ἃ θεοὶ καὶ βασιλεῖς δεδώκασι Πηλέϊ,
ὅτε βροτοῦ ἀνέρος σε συνέζευξεν ἐν κοίτῃ,
τουτέστιν ὅτε τῷ Πηλεῖ θεὰ θνητῷ ἐζύγης,
ἤ τοι ὅταν ἡ μήτηρ μου, ἡ σοὶ ὁμωνυμοῦσα,
ἡ Θέτις ἡ βασίλισσα ἡ Χείρωνος θυγάτηρ
θνητῷ ἐζύγη τῷ Πηλεῖ καὶ κοτωτέραν τύχην·
τοῦτο τὸ ἀλληγόρημα καὶ σχῆμα δὲ τὸ τούτου,
μετάβασις ὀνόματος πρὸς ὄνομα καλεῖται·
ὡς, ὤφελες ὦ μῆτερ μου, σὺ σὺν θεαῖς ἁλίαις
οἰκεῖν· ὁ δὲ Πηλεὺς θνητῇ πρὸς γάμον συζυγῆναι·
νῦν δ᾽ ἵνα πένθος ἐν φρεσὶ καὶ σοὶ μυρίον εἴη
παιδὸς ἀποφθιμένοιο, τὸν οἴκοις οὐχὶ δέξῃ·
τὸ, ὄφελες, ὡς ὄφελε τῇ μεταβάσει νόει·
ἁλίας, νησιώτιδας, ἢ παραθαλασσίας,
θεὰς, τὰς βασιλίδας δὲ φησὶ καὶ τὰς ἐνδόξους·
Πηλεὺς συζῆναι δὲ θνητῇ, τύχης τῆς κατωτέρας·

νῦν δ' ἵνα πένθος ἐν φρεσὶν εἴη καὶ σοὶ μυρίον,
ἤ τοι τῇ ὁμωνύμῳ σοι ἐκείνῃ τῇ μητρί μου·
τὸ, ἔζευξε, τὸ ἔζευκται παρῆκε τοῖς ἐνθάδε,
ἐλλειπτικῶς, μιμητικῶς, σχήματι τῶν πενθούντων·
εἴ τε καὶ οὕτω νόησον λέγειν τὸν Ἀχιλέα,
ὤφελον, μὴ ἐγένετο ἄνθρωπος μὴ δὲ κόσμος·
οὐ θέλω ζῆν τὸν Ἕκτορα μὴ κτείνας τῷ δορί μου·
Θέτις δὲ δακρυχέουσα τάδε φησὶ πρὸς τοῦτον·
ὠκύμορος ὦ τέκνον μου λοιπὸν οἷς λέγεις ἔσῃ·
μετὰ θανὴν γὰρ Ἕκτορος, θνήσκεις καὶ σὺ εὐθέως·
μέγα στενάξας Ἀχιλεὺς πρὸς τὴν αὐτὴν φησί δε,
αὐτίκα θάνοιμι κἀγώ· ἀλλὰ σαφηνιστέον·
οὐ θέλω ζῆν ὡς εἴρηκα τὸν Ἕκτορα μὴ κτείνας·
ὑδρομαντείας μέμνηται, ἥ τις λαμπρῶς ἐδήλου
μετὰ τὴν Ἕκτορος σφαγὴν καὶ τοῦτον τεθνηκέναι·
μέγα στενάξας δὲ φησὶ, τεθναίην παραυτίκα·
νῦν τὴν ὑδρομαντείαν τε καὶ λεκανομαντείαν,
ἐξ ἧς τὸ πᾶν ἐγίνωσκε, μητέρα λέγει τούτου·
κῆρα δ' ἐγὼ δεδέξομαι· ἤ τοι θανοῦμαι τότε,
ὅταν ὁ Ζεὺς καὶ οἱ λοιποὶ θελήσωσιν ἀστέρες,
ἐξ ὧν ἀνθρώποις γίνονται πάντα τὰ πεπρωμένα·
οὐ δ' Ἡρακλῆς γὰρ ὁ στεῤῥὸς ἐξέφυγε τὴν μοῖραν,
ὅς περ Διῒ τῷ ἄνακτι ὑπῆρχε πεφιλμένος,
ἢ ἀστρολόγῳ τῷ Διῒ ἐκείνῳ στεφηφόρῳ,
οὗ καὶ Ὀρφεύς που μέμνηται, εἴ τε καὶ τῷ ἡλίῳ,
ἔργα κλεινὰ γὰρ καὶ λαμπρὰ ζῶν Ἡρακλεῖς ἐτέλει·
ἢ τῷ Διῒ καὶ οὐρανῷ φίλον τὸν ἄνδρα λέγει·
ἄριστος ἀστρολόγος γαρ ὁ Ἡρακλῆς ὑπῆρχεν·
ὡς καὶ Ὀρφεὺς τοῖς λιθικοῖς βοᾷ διαπυρσίως,
οὕτω Διῒ τὸν Ἡρακλῆ νόει μοι πεφιλμένον·
τῇ εἱμαρμένῃ δὲ αὐτὸν μὴ εἴπῃς πεφυλμένον·

πάνυ γὰρ τληπαθέστατον ἔζη τὸν βίον οὗτος,
ὑπ' Εὐρυσθέως τοῦ δειλοῦ κακούμενος ἀμέτρως,
Διῒ τῷ ἀστρολόγῳ δὲ καὶ βασιλεῖ μοι φίλον,
ἢ τῷ ἡλίῳ· μάλιστα τῷ οὐρανῷ δὲ φίλον
τὸν Ἡρακλέα γόει μοι ἄριστον ἀστρολόγοις,
ἀλλὰ ἑ μοῖρα δάμασε καὶ χόλος ὁ τῆς Ἥρας·
ἀλλὰ καὶ ἄριστος τελῶν τοιοῦτος ἀστρολόγος.
ὑπὸ τῆς μοίρας τέθνηκε καὶ τῆς ὀργῆς τῆς Ἥρας·
ὀργὴν τῆς Ἥρας δὲ, ψυχῆς περιτροπὴν νῦν νόει·
τῆς Ὕδρας τῷ φαρμάκῳ γαρ χιτῶνα κεχρισμένον
ἐπενδυθεὶς ὁ Ἡρακλῆς καὶ τῶν φρενῶν ἐκστάς δε,
αὑτὸν βαλὼν εἰς τὴν πυρὰν ἐξέδραμε τοῦ βίου·
οὕτω φρενῶν τὴν ἔκστασιν χόλον νῦν Ἥρας νόει·
μὴ μέν τοι τοῦ ἀέρος γε, ὃς τικτομένου τούτου,
ὄντος μεγαλοσώμου δε δεινῶς βεβιασμένος,
δεκαμηναῖον δέδρακε ἀποτεχθεῖναι τοῦτον,
τῷ Εὐρυσθεῖ δὲ ἄρχεσθαι τεχθέντι ἑπταμήνῳ·
τῆς μάχης δὲ μὴ ἔρυκε, φιλοῦσα οὐ με πείσεις·
οἶδα ἐκ σοῦ ὦ μάντευμα τῆς ὑδατομαντείας,
ὡς εἰ ἀνέλω Ἕκτορα, κἀγὼ εὐθέως θνήσκω,
ὅμως καλόν μοι πολεμεῖν, οὐ φιλοψυχητέον·
αὐτῷ δ' ἡ ἀργυρόπεζα Θέτις ἀνταπεκρίθη·
καλὸν τοῖς φίλοις βοηθεῖν, ὦ πεφιλμένον τέκνον,
ἀλλ' ἄνευ ὅπλων, οὐ χρεὼν εἰς μάχην ἐξιέναι·
ὁ Ἕκτωρ ὁ τρικόρυθος ἔχει γάρ σου τὰ ὅπλα·
μικρὸν χρόνον καρτέρησον, εἰς πόλεμον μὴ χώρει,
ἕως ἐγὼ κομίσω σοι παρὰ Ἡφαίστου ὅπλα·
εἰποῦσα ταῦτα τῷ υἱῷ ταῖς Νηρηΐσι λέγει
στραφῆναι πρὸς τὴν θάλασσαν ταύτας καὶ τὸν Νηρέα·
ἡ δὲ, περὶ τὸν Ἥφαιστον πρὸς Ὄλυμπον ἐχώρει·
οὕτως ὥρμα πρὸς πόλεμον θυμῷ νενικημένος·

ὡς ἐκ μητρὸς δὲ διδαγχθεὶς, ὑγροῦ καὶ τῆς θαλάσσης,
ὅτι χειμῶνος νῦν καιρός· οἱ Ἕλληνες δ' ἡττῶνται,
καὶ μόνον ἄοπλον Τρωσὶ μάχην οὐ χρὴ συνάπτειν,
αὐτὸς αὐτῷ ἐπίσχεσιν μάχης ποιεῖσθαι λέγει·
ἔστ' ἂν αὐτῷ κομίσωσιν ὅπλα διὰ θαλάσσης
ἐκ τοῦ πυρὸς ἀρτιτευχῆ καὶ καινουργὰ καὶ νέα·
οὕτω περὶ τῶν ὅπλων μὲν ὁ Ἀχιλεὺς ἐσκόπει,
καὶ δὴ τινὰς ἀπέσταλκεν εἰς ὁπλουργοὺς Λημνίους,
ἢ πρὸς ἑτέραν νῆσον τε ἤ τε καὶ χώραν ἄλλην·
ἐξ ἧς καὶ ἀπεκόμισαν οἷα τὰ ὅπλα τούτῳ,
παντὸς τοῦ κόσμου φέροντα ποικίλμασιν εἰκόνα·
ἡ θάλασσα δ' ὑπέστρεφε πάλιν αὐτῆς εἰς κοίτην,
αἱ Νηρηΐδες εἰς αὐτὸν τὸν γέροντα πατέρα·
ἡ Θέτις δὲ, λεπτότερον ὂν εὐθεσίας ὕδωρ,
συγκριτικόν τε τοῦ θερμοῦ, πρὸς οὐρανὸν ἀνεῖλθεν·
οἱ Τρῶες δὲ τοὺς Ἕλληνας αὖθις ἐνίκων μάχῃ·
μικροῦ δεῖν ἂν καὶ Πάτροκλον καθείλκυσαν εἰς Τροῖαν,
εἰ μή που τότε Ἀχιλεὺς τὴν ἀερίαν Ἶριν,
ἔνυδρον νέφος προςλαβὸν ἀνάκλασιν ἡλίου,
ἰδὼν συνῆκε πόλεμον βαρύτατον κροτεῖσθαι,
καὶ καλειφθεὶς τῇ κεφαλῇ συνάμα καὶ τοῖς ὤμοις
σκέπασμα τί μηχανικὸν κατοπτρικὸν φρονήσει
πῦρ ταῖς ἀντανακλάσεσι προπέμπον ταῖς ἡλίου,
ὅ περ ἐπένδυσιν φησὶν αἰγίδος ὑπ' Ἀθήνης,
καὶ ἄκων πρὸς τὸ τάφρευμα στὰς καὶ βοήσας μέγα,
Τρῶας μὲν τρέπει πρὸς φυγὴν, Πάτροκλον δὲ λαμβάνει·
ὁ ἥλιος ἀέκων μὲν Ἥρας κελεύσει ἔδυ,
τῷ τοῦ ἀέρος ζοφερῷ καὶ πρόωρος ἐκρύβη·
τῆς μάχης δ' ἀπεπαύθησαν Ἕλληνες τὲ καὶ Τρῶες,
τὴν Πολυδάμαντος βουλὴν ἐῶ νῦν παραγράφειν.
Ὁ Ζεὺς καὶ ὁ τοῦ Κρόνου δε παῖς τοῦ ἀγκυλομήτου

οὓς πρὸς τὸν Πολυδάμαντα ὁ Ἕκτωρ τανῦν λέγει.
ἡ σκοτεινὴ καὶ ἄδηλος στερβλή τε εἱμαρμένη.
Φρένας τῶν Τρώων ἡ Παλλὰς ἐξείλετο Ἀθήνη·
τουτέστιν, ἠφρονεύσαντο αἰνέσαντες τὰ χείρω·
Ζεὺς δὲ, ὁ πᾶν τὸ νόημα μὴ συμπληρῶν ἀνθρώποις,
ἡ εἱμαρμένη πέφυκεν· ὁ Ζεὺς δ' ὁ μετὰ τοῦτον,
ὅς περ φησὶ πρὸς ἀδελφὴν καὶ σύζυγον τὴν Ἥραν,
ζάλη τοῦ νεφελώδους τε καὶ τοῦ λεπτοῦ ἀέρος
ἃ ἀδελφά τε πέφυκε ταὐτῷ τε τόπῳ κεῖται·
ἐπεὶ λεπτοῦ ἀέρος δε καὶ Ἴριδος φανείσης,
μικρὸν φανεὶς ὁ Ἀχιλεὺς νενίκηκε τοὺς Τρῶας·
μετὰ βραχὺ δὲ ζάλη τις γέγονε τοῦ ἀέρος,
τοῦ νεφελώδους τὲ αὐτοῦ καί γε τοῦ λεπτοτέρου·
τὸ νεφελῶδες μὲν ὑγρὸν ὁ Ὅμηρος ὡς Δία,
αὐτὸ δὲ τὸ λεπτότερον, ὡς Ἥραν παρισφέρων,
ἐν προσωποιΐᾳ νῦν καὶ λόγοις περιάπτει,
ὑψῶν, γλυκάζων ἅμα τε τὸ εὐτελὲς τοῦ λόγου·
οὕτω τοιαῦτα ἔλεγον ὁ Ζεύς τε καὶ ἡ Ἥρα,
οὔτω δὲ Ἥραν ὁ ἀὴρ ὁ ἔννεφος ἐκλόνει.
ἀντέτεινεν ἡ Ἥρα δε τούτῳ σὺν παῤῥησίᾳ,
ἤγουν ἤδη τὸ αἴθριον ἐνίκα τὸ νεφῶδες.
Ἡφαίστου δόμον δ' ἵκανεν ἡ Θέτις ἡ λευκόπους,
τὸ εὐθεσίας ὕδωρ δε φημὶ τὸ νεφελῶδες.
ὃ ἀνικώμενον κιρνᾷ τὸ φλογερὸν ἀέρος,
τοῦ ὕδατος τὰ ἄκρα δε πάντως τῶν λευκοχώων,
μέλλον πρὸς πῦρ μεταβαλεῖν, πάντως ἐξηθερώθη,
εἶτα πρὸς πῦρ μετέβαλεν· ἀλλά σοι νῦν φραστέον
πρῶτα τοῦ νῦν χωρίου μεν πᾶν τὸ τοῦ μύθους ὕφος·
εἶτ' ἀλληγορητέον μοι πραγματικῶς τὸν μῦθον
εἰς Ἀχιλέα τὸν υἱὸν τοῦ Θετταλοῦ Πηλέως,
εἶτα στοιχειακώτατα τοῖς περὶ κόσμου λόγοις

εἰς Ἀχιλέα τὸν υἱὸν Πηλέως, ἤτοι κόσμου.
Δεινῶς πολέμῳ τοῖς Τρωσὶν Ἑλλήνων ἡττομένων,
τὴν πανοπλίαν Πάτροκλος ἐνδὺς τοῦ Ἀχιλέως,
τὸν Σαρπηδόνα καὶ λοιποὺς κτείνει τοῦ Τρώων γένους·
Ἕκτωρ δὲ τοῦτον ἀνελὼν δεσπόζει καὶ τῶν ὅπλων·
θρηνοῦντος Ἀχιλέως δε τῇ τελευτῇ Πατρόκλου,
οἰκτρῶς μέγα κωκύσασα Θέτις ἡ τοῦ Νηρέως
σὺν Νηρηΐσιν ἀδελφαῖς ἐξῆλθε τῆς θαλάσσης·
παρηγορεῖται τοῦτον δε παῖδα τελοῦντα ταύτης,
εἴργει δὲ τοῦτον ἄοπλον ἐκβῆναι πρὸς τὴν μάχην,
ἕως αὐτῷ κομίσειε παρὰ Ἡφαίστου ὅπλα·
καὶ Νηρηΐσι λέγει μεν ἐλθεῖν πρὸς τὸν Νηρέα·
αὐτὴ πρὸς τὴν Ἡφαίστου δε παρέδραμεν οἰκίαν·
καὶ τοῦτον περὶ φύσας μεν εὗρεν ἠσχολισμένον·
ἐχάλκευε γὰρ τρίποδας εἰκοσαρίθμους μέτρῳ,
ἵστασθαι τούτους μέλλοντας τοίχῳ τερπνῷ μεγάρου·
χρυσοὺς τροχοὺς ὑπέθετο ἑκάστῳ τε πυθμένι,
ὡς εἰς ἀγῶνα θεῖον μεν αὐτόματοι κινοῖντο,
καὶ πάλιν ὑποστρέφοιεν θαῦμα φρικτὸν καὶ μέγα·
οὗτοι μὲν ἐξειργάζοντο· οὔπω δὲ εἶχον ὦτα·
ταῦτα κατασκευάζοντος τότε δὲ τοῦ Ἡφαίστου,
Χάρις ἡ τούτου σύζυγος τὴν Θέτιν κατιδοῦσα
χειρὶ λαβοῦσα φιλικῶς ἐνδότερον εἰσάγει·
καὶ ἀργυρέῳ θρόνῳ δε ταύτην ἐγκαθιδρύει,
καλεῖ δὲ καὶ τὸν Ἥφαιστον, ὃς κατιδὼν τὴν Θέτιν
φησὶν, εἰς οἶκον τὸν ἐμὸν ἦλθεν ἡ ἔσωσέ με·
ἀνθ' ὧν ἡ μήτηρ ἔκρυπτε χωλόν με γεννηθέντα·
ῥιφέντα καὶ παθόντα δε ἐλεινὰ μυρία,
εἴ περ μὴ ὑπεδέξατο ἡ Θέτις με τοῖς κόλποις,
καὶ παῖς ἡ Εὐρυνόμη δε ὠκεανοῦ καλόῤῥου·
αἷς παρεχάλκευον πολλὰ ἐννεατῆ πρὸς χρόνον·

περόνας, κάλικας, γναμπὰς, καὶ ἕλικας, καὶ ὅρμους·
ἐν γλαφυρῷ τῷ σπέϊ μέν· ὠκεανὸς δὲ ἔῤῥει·
οὕτω μοι Θέτιδι χρεὼν ζωάγρια παρέχειν·
οὕτως εἰπὼν παμμέγιστον ὁρμᾷ τοῦ ἀκμοθέτου
χωλεύων, ἀπὸ δὲ πυρὸς ἀπέθετο τὰς σφύρας,
ἐς ἀργυρᾶν δὲ λάρνακα συνέλεξε πᾶν ὅπλον·
σπόγγῳ δὲ σύμπας φαιδρυνθεὶς ἐνδύεται χιτῶνα·
σκῆπτρον λαβὼν δὲ στιβαρὸν ἐξέδραμε χωλεύων·
ὥρμων δ' εἰς τοῦτο πλάγιον χρυσαὶ θεραπαινίδες,
ζωαῖς οὖσαι νεάνισι πάμπαν ὁμοιωμέναι
αἷς νοῦς, φωνὴ, καὶ δύναμις καὶ γνῶσις θείων ἔργων·
αἱ μὲν, προεπορεύοντο· οὗτος δ' ἐλθὼν κατόπιν
πλησίον ἷζε Θέτιδος ἐν φαεινῷ τῷ θρόνῳ·
ἧς τῆς χειρὸς ἁψάμενος, ἤρετο τί δὴ θέλοι·
τὰς συμφορὰς δὲ τὰς αὐτῆς ἤρξατο λέγειν αὕτη,
ὅπως Πηλεῖ τῷ Αἰακοῦ ἄκουσα συνεζύγη·
καὶ οὗτος γήρει κεῖται μεν ἐν οἴκοις βεβλαμμένος·
ὁ παῖς δὲ ταύτης Ἀχιλεὺς λελύπεται μυρία,
ὅπλων δὲ δεῖται συσκευῆς ἄοπλος ὑπηργμένος·
εὐθὺς ἐξεργασάμενος ἣν πανοπλίαν γράφει,
δίδωσι ταύτης τῷ υἱῷ αὐτὴν ἀποκομίσαι.
Τὴν μὲν τοῦ μύθου σύμπασαν ὑφὴν νῦν ἠκηκόεις.
ἤδη πρὸς Ἀχιλέα δε τὸν Θετταλὸν ἐκεῖνον,
πραγματικῶς, ῥητορικῶς ἀλληγοροῦντες πρόσχες.
Ὁ μὲν Φθιώτης Ἀχιλεὺς ὁ στρατηγὸς ἐκεῖνος
παῖς Θέτιδος τῆς Χείρωνος ὑπῆρχε καὶ Πηλέως·
λέγεται δὲ καὶ Θέτιδος παῖς εἶναι τῆς θαλάσσης,
δι' ἃς αἰτίας ἐν πολλοῖς ἐγράψαμεν τοῖς τόποις·
ἐπεὶ δὲ καὶ τὸν Πάτροκλον νεκρὸν ὀδυρομένου,
ἤχῳ βρασθῆναι πρὸς τὴν γῆν τὴν θάλασσαν συνέβη·
καὶ πάλιν ὥς περ γοερὸν τότε μυκησαμένην,

παλινδρομῆσαι πρὸς αὐτῆς τὴν κοίτην καὶ τὴν θέσιν,
τὸ ταύτης δὲ λεπτότερον κεραστικόν τε ὕδωρ,
ὃ εὐθεσίας αἴτιον, ὃ καὶ κυρίως Θέτις.
πρὸς οὐρανὸν ἀναδραμεῖν καὶ ἐξαιθερωθῆναι
καὶ εὔδιον κατάστημα τότε γενέσθαι οὕτω,
ἐν ᾧ καιρῷ καὶ πλεύσαντες τινὲς τῶν Μυρμιδόνων
ἢ πρὸς Λημνίους ὁπλουργοὺς ἢ πρὸς ἑτέραν χώραν,
διὰ θαλάσσης ἔφερον ὅπλα ὁποῖα τούτῳ
ἐκ τοῦ πυρὸς ἀρτιτευχῆ καὶ καινουργὰ καὶ νέα·
οἵων μὲν Ὅμηρος φησὶν ὑλῶν ἐξεργασμένα
χαλκοῦ καὶ κασσιτέρου μεν, χρυσίου, καὶ ἀργύρου,
παντὸς δὲ κόσμου φέροντα ποικίλμασιν εἰκόνα·
οὗ πέρι φυσικεύεται ὁ Ὅμηρος ὡς δείξω·
ἐμύθευσαν ὡς Πάτροκλον θρηνοῦντος Ἀχιλέως
ἡ μήτηρ Θέτις ἐξ ἁλὸς ἦλθε σὺν Νηρηΐσι
παρηγορησαμένη τε ὅσα χρεὼν μητέρα·
ἐπεὶ καὶ ἄοπλος ὁ παῖς ταύτης ὑπῆρχε τότε,
ταῖς Νηρηΐσι λέγει μεν παλινδρομεῖν θαλάσσῃ·
αὐτὴ δὲ πρὸς τὸν Ἥφαιστον εἰς οὐρανὸν ἐλθοῦσα,
ὅπλα κατήνεγκεν αὐτῷ, θάμβος ἀνθρώποις ξένον.

Τὴν Ἀχιλέως Θετταλοῦ πᾶσαν ἀλληγορίαν
τῆς παρηγόρου Θέτιδος καὶ τῆς ὁπλοποιΐας,
ἔχεις καλῶς μοι σύμπασαν νῦν ἀλληγορουμένην·
πρὸ γὰρ βραχέος ἔφημεν πάντα λεπτολογοῦντες,
μέχρι περ οὗ ἀνέτρεχε πρὸς Ἥφαιστον ἡ Θέτις·
νῦν δ' ἐκ τῆς ἀνελεύσεως ἔφημεν ἄχρι τέλους·
ὅμως ἐπιτομώτερον καὶ πάλιν μοι ῥητέον.

Τοῦ Ἀχιλέως Πάτροκλον νεκρὸν ὀδυρομένου,
ἐξέδραμεν ἡ θάλασσα μυκήματι βιαίῳ,
ἣν καὶ μητέρα Ὅμηρος τοῦ Ἀχιλέως λέγει·
καὶ θρήνους περιτίθησι καὶ λόγους παρηγόρους,

δεικνὺς ὅτι παθαίνεται τοῦτον καὶ τὸ στοιχεῖον,
καὶ Ἀχιλέως κεφαλὴν λέγει λαβέσθαι ταύτην,
εἰπεῖν τε ὅτι εἵμαρται ταῦτα σοὶ γεγονέναι
ὥς περ ἐπηύχου τοῖς Τρωσὶν Ἕλληνας ἡττηθῆναι,
ἤ τοι συνεὶς ὁ Ἀχιλεὺς εἰς λογισμὸν οἰκεῖον
ἐκ πρὶν ὑδρομαντείας τε καὶ τοῦ συμβάντος τότε,
ὅτι χειμῶνι Ἕλληνες ἡττήσουσι τοὺς Τρῶας,
ὡς καὶ αὐτὸς ἐπηύχετο πρὸς ἑαυτὸν ἦν λέγων·
ὦ συνεργὸν στοιχεῖον μοι δίκην μητρὸς φιλτάτης,
ποῖον ἐμοὶ τὸ ὄφελος Ἑλλήνων ἡττημένων,
ἐπεὶ καὶ Πάτροκλος νεκρὸς νῦν σὺν ἐκείνοις κεῖται;
Ἕκτωρ τὰ ὅπλα δ' ἔλαβεν, ἅ περ ἡ εἱμαρμένη,
οἵ τε θεοὶ καὶ βασιλεῖς δεδώκασι Πηλέϊ
θνητῷ καὶ κατωτέρω δε τῆς τύχης ὑπηργμένῳ,
ὅ τε τὴν σοῦ ὁμώνυμον τοῦ Χείρωνος τὴν Θέτιν
τὴν βασιλίδα καὶ θεὰν ἐλάμβανεν πρὸς γάμον·
μετάβασις ὀνόματος καλεῖται δὲ τὸ σχῆμα,
ἢ ἅ περ ὅπλα συμπαρῆν χρυσοῦ τε καὶ ἀργύρου,
καὶ τῶν λοιπῶν δὲ τῶν ὑλῶν, ἅ περ θεοὶ δωροῦνται,
τῶν πλανητῶν ἑκάστῳ γαρ ἀνάκειταί τις ὕλη,
καθάπερ τερατεύονται παῖδες τῶν ἀστρολόγων·
ὡς ὄφελεν ἡ μήτηρ μου τοῦ Χείρωνος ἡ Θέτις,
ἡ νησιῶτις βασιλίς· ἡ παραθαλσσία·
τοῦτο γὰρ νῦν ἐστι Θεὰ Πηλεῖ μὴ συναφθῆναι
θνητῷ, καὶ κατωτέρας δε τῆς τύχης ὑπηργμένῳ,
ἤγουν ὡς ὤφελον φησὶν ὅλως μὴ γεννηθῆναι·
νῦν δ' ἵνα πένθος δι' ἐμὲ καὶ σὺ μυρίον ἔχῃς
τὸν ὃν οὐχ ὑποδέξῃ με τῇ Τροίᾳ τεθνηκότα,
λύπην συνήφθης τῷ Πηλεῖ καὶ δυστυχῶς γεννᾷς με.
ἐπεί δε καὶ ὁ Πάτροκλος τανῦν μοι ἀνῃρέθη,
οὐ θέλω ζῆν, τὸν Ἕκτορα μάχῃ μὴ κατακτείνας·

Θέτιδος δὲ μεθ' Ἕκτορα ταχὺ θνήσεις εἰπούσης,
μνησθεὶς ὑδρωμαντείας τε τούτῳ προδηλωσάσης,
ὡς καὶ αὐτὸς μετὰ σφαγὴν Ἕκτορος θνήσκεις τάχα,
μέγα στενάξας ἔλεξε, τεθναίην παραυτίκα
ὅταν ὁ Ζεὺς καὶ οἱ λοιποὶ ἐκλώσαντο ἀστέρες,
ἐξ ὧν ἀνθρώποις γίνεται πάντα τὰ πεπρωμένα·
οὐ δ' Ἡρακλῆς ὁ φίλος γαρ Διΐ τῷ ἀστρολόγῳ,
ἢ τῷ ἡλίῳ νῦν Διΐ, ἢ καὶ τῷ οὐρανῷ δε·
ἔργα κλεινὰ γὰρ καὶ λαμπρὰ ζῶν Ἡρακλῆς ἐτέλει,
καὶ οὐρανῷ δὲ φίλος ἦν καὶ ἀστρολόγος οἷος,
τὴν κῆρα καὶ τὸν θάνατον ἐξέδραμε τῇ τέχνῃ·
ἀλλά ἑ μοῖρ' ἐδάμασε καὶ χόλος ὁ τῆς Ἥρας·
παρατραπεὶς γὰρ τῶν φρενῶν Ὕδρας φαρμάκου χρίσει,
αὐτὸν εἰς πῦρ ἐνέβαλε Κηναίῳ τῆς Εὐβοίας.
οὕτως ὦ μῆτερ κἂν φιλῆς μάχης μὴ κάτειργέ με,
οἶδα ἐκ σοῦ ὦ μάντευμα τῆς ὑδατομαντείας,
ὅτι κτανὼν τὸν Ἕκτορα, θνήσκω κἀγὼ συντόμως·
ὅμως χρεών μοι πολεμεῖν καὶ βοηθεῖν τοῖς φίλοις·
τῷ δὲ ἡ ἀργυρόπεζα Θέτις ἀνταπεκρίθη,
ὡς Ὅμηρος ὁ πάνσοφος παίζων συμπλάττει λόγους.
εἰποῦσα Νηρηΐσι τε στραφῆναι πρὸς Νηρέα,
εἰς οὐρανὸν πρὸς Ἥφαιστον ὅπλα χωρεῖ κομίσαι.

Οὕτως ὥρμα πρὸς πόλεμον ὁ Ἀχιλεὺς ὡς ἔφην·
ὡς ἐκ μητρὸς δὲ διδαχθεὶς ὑγροῦ καὶ τῆς θαλάσσης,
ὅτι χειμῶνος νῦν καιρὸς, οἱ Ἕλληνες ἡττῶνται,
καὶ μόνον ἄοπλον οὐ χρὴ πρὸς μάχην ἐξιέναι,
αὐτὸς αὐτῷ ἐπίσχεσιν μάχης ποιεῖσθαι λέγει,
ἔστ' ἂν αὐτῷ κομίσωσιν ὅπλα διὰ θαλάσσης
ἐκ τοῦ πυρὸς ἀρτιτευχῆ καὶ καινουργὰ καὶ νέα·
ἐπεὶ δὲ τῆς θαλάσσης μεν τῆς ἐξελθούσης τότε,
τὸ ὕδωρ τὸ βαρύτατον πάλιν ἀνθυπεστράφη,

αἱ Νηρηΐδες πρὸς τὸν σφῶν πατέρα τὸν Νηρέα.
τὸ δὲ λεπτομερέστερον καὶ εὐθεσίας ὕδωρ
συγκρατικόν τε τοῦ θερμοῦ πρὸς οὐρανὸν ἀνῆλθεν·
ὃ Θέτιδος ἀνέλευσις πρὸς Ἥφαιστον καλεῖται,
ἤγουν, αἰθρία γέγονεν ἐν οὐρανῷ εὐδία,
στέλλει ναυσὶν ὁ Ἀχιλεὺς ὅπλα τινὰς ὠνεῖσθαι·
Ἑλλήνων ἡττημένων δὲ Τρωσὶ βιαιωτάτως,
ὁ Ἀχιλεὺς ἐξ Ἴριδος βαρεῖαν γνοὺς τὴν μάχην,
καὶ πρὶν κομίσαι πρὸς αὐτὸν ὅπλα τοὺς ἐσταλμένους,
καὶ πτοηθεὶς μὴ Πάτροκλος νεκρὸς Τρωσὶ ληφθείη,
σκέπει τινὶ συγκαλυφθεὶς τῇ κεφαλῇ καὶ ὤμοις,
ἐξ ἧς, ἐκ μηχανίματος, ὃ φρόνησις Ἀθήνη,
πῦρ ταῖς ἀντανακλάσεσιν ἔλαμπε τοῦ ἡλίου,
ὡς πρὸς τὴν τάφρον ἐξελθὼν καὶ τρεῖς βοήσας μέγα,
τρέπει τοὺς Τρῶας εἰς φυγὴν, Πάτροκλον δὲ λαμβάνει·
ἡλίου ἀκουσίως δὲ δύντος βουλαῖς τῆς Ἥρας,
τῷ τοῦ ἀέρος ζοφερῷ προώρου κεκρυμμένου,
τῆς μάχης ἀπεπαύθησαν Ἕλληνές τε καὶ Τρῶες·
ὁ Ζεὺς καὶ ὁ τοῦ Κρόνου δὲ παῖς τοῦ ἀγκυλομήτου
ἡ σκοτεινὴ καὶ ἄδηλος στρεβλή τε εἱμαρμένη,
ταῦτα καὶ τ' ἄλλα καθεξῆς κάλλιστα προεγράφη
μέχρις ἐκείνων τῶν ἐπῶν ὧνπερ ὁ νοῦς τοιός δε·
Ἡφαίστου δόμον δ' ἵκανεν ἡ Θέτις ἡ λευκόπους.
ἐντεῦθεν ἄκουε λοιπὸν σοὶ πᾶν ἀλληγοροῦντος·
Τὸ μὲν παχὺ τοῦ ὕδατος, ὃ Νηρηΐδας εἶπε,
μετὰ τὸν σάλον τὸν φρικτὸν τὸν τότε γεγονότα,
αὖθις ὡς πρὸς τὴν θάλασσαν ἔστραπται τὸν Νηρέα·
τὸ δὲ λεπτομερέστατον ὕδωρ τῆς εὐθεσίας
ὃ ἀνιμώμενον κιρνᾷ τὸ φλογερὸν ἀέρος,
λευκὰ τὰ ἄκρα πάντως δὲ τοῦ ὕδατος τυγχάνει,
διὰ τὸ βάθος μέλαν δὲ δοκεῖται καὶ καλεῖται·

μέλλον πρὸς πῦρ μεταβαλεῖν ἐξῃθερώθη πρῶτον,
ἔπειτα συνεκράθη δὲ καὶ πρὸς πυρὸς οὐσίαν·
Ἡφαίστου δόμον χάλκεον φησὶ τὰ πρὸς αἰθέρα,
οἷα καὶ πυρωδέστερα τυγχάνοντα τῇ φύσει,
κἄνπερ ὁ κομπολάκυθος οὐ λέγει Σταγειρόθεν·
κυλλοποδίων δὲ τὸ πῦρ, τὸ μὲν ὑλῶδες οὕτω,
ὡς ἄνευ ξύλων καὶ ὑλῶν τοὺς πόδας ὑποσκάζον
καὶ παρευθὺς σβεννύμενον· βαδίζειν οὐκ ἰσχύον,
καὶ ὡς ἀναφερόμενον ἔνθεν κἀκεῖθεν ῥέπον,
καὶ δόκησιν χωλότητος βαδίσματος ἐμφαῖνον,
ὅτι τὲ ποὺς διά πυρος βαδίζειν οὐκ ἰσχύει,
καὶ τῷ ἀΰλῳ δὲ πυρὶ συνᾴδουσι τὰ δύο,
δόμον δὲ ὃν ἐποίησεν ὁ Ἥφαιστος γινώσκεις·
τὸ πῦρ γὰρ κατὰ Ἕλληνας ἐν τῇ κοσμογενείᾳ
ἑκάστῳ διενείματο τοὺς τόπους κατ᾽ ἀξίαν·
τέλει τῆς ἄλφα γέγραπται τοῦτο σοι σαφεστάτως·
Τοῦτον δ᾽ εὗρεν ἱδρῶντα τε τότε περὶ τὰς φύσας,
τὸ πῦρ γὰρ πνεύματι κινεῖ λεπτύνον τὸ νεφῶδες,
τρίποδας δὲ τὸ τριμερὲς λέγει τοῦ χρόνου τεύχειν·
τὸ γὰρ θερμὸν ὑπέστησε καὶ κόσμον καὶ τὸν χρόνον,
τὸ εὐσταθὲς δὲ μέγαρον, ἅπας ἐστιν ὁ κόσμος·
ἐν ᾧ τὸ πῦρ τριμέρειαν ἐργάζεται τοῦ χρόνου·
εἴκοσι δὲ οἱ τρίπωδες εἰσὶ ὡς ὑπὲρ τέλος,
τὰ δέκα τέλεια εἰσὶν ἐν ἀριθμοῖς ὡς οἶδας,
τὰ εἴκοσι δ᾽ ὑπέρτερα τάξεως τοῦ τελείου·
Ὅμηρος ὑπὲρ τέλος δε κόσμον καὶ χρόνον λέγει,
τὰ κύκλα δὲ τὰ χρύσεα τὰ τρίποδας κινοῦντα,
αἱ τοῦ ἡλίου χρυσαυγεῖς τελοῦσι λαμπηδόνες,
ὑφ᾽ ὧν περ αἱ τριμέρειαι κινήσει τῇ τῆς σφαίρας,
ἥν περ ἀγῶνα θεῖον σοι σαφῶς κατονομάζει,
αὐτόματοι χωροῦσι, τε ὑποχωροῦσι πάλιν·

τί ταῦτα νῦν λεπτολογῶ τῷ Ἀχιλεῖ Φθιώτῃ;
τανῦν ἐπιτομώτερον δέον εἰπεῖν με ταῦτα,
ἐν δὲ τῷ κόσμῳ Ἀχιλεῖ τὸ πᾶν ἀναπτυκτέον·
μετὰ τὴν ζάλην τὴν δεινήν, ἥν ἔφην, τῆς θαλάσσης,
ἀναδραμὸν τὸ ἔνυγρον εἰς τὸ πυρῶδες ἄνω,
ὃ πρώτως μεταβέβληκεν ὡς πρὸς πυρὸς οὐσίαν,
πρὸς δέ γε τὸ μεσαίτατον καὶ κατηυκρατωμένον,
ὅ περ καὶ Χάριν σύζυγον Ἡφαίστου νῦν μοι νόει,
εἶτα καὶ πρὸς θερμότερον καὶ παντελῆ αἰθρίαν·
ὃ τῶν φυσῶν κατάλειψις ἐστὶ παρὰ Ἡφαίστου.
καὶ τοῦ προσώπου κάθαρσις καὶ ἔνδυσις εἱμάτων·
πλησιεδρία Θέτιδος καὶ κράτησις χειρός δε,
καὶ πρὸς αὐτὴν ἐρώτησις, οὗ τινος χρείαν ἔχει.
καὶ ταύτης δὲ ἀφήγησις τῆς ὅπλων ἀπωλείας,
καὶ αἴτησις ἐκ τούτου δε νεοχαλκεύτων ὅπλων,
ἅ περ ἐξεργασάμενος δίδωσιν οὗτος ταύτῃ·
ἡ δέ κατάγει τῷ παιδὶ ταῦτα πολλῷ τῷ τάχει·
ἐν οὐρανῷ αἰθρίας γαρ τοιαύτης γενομένης
διὰ θαλάσσης Ἀχιλεὺς πέμπει ὠνεῖσθαι ὅπλα,
ὁπλοποιῷ οἱ λέγουσι τὰ Ἀχιλεῖ συμβάντα·
ὃς ὅπλα οἷα Ὅμηρος φησὶν ἐξειργασμένος,
ἀπεμπολήσας δίδωσι τούτοις ἀποκομίζειν·
ἐπεὶ τὸ πῦρ δὲ Ἥφαιστος, καὶ πᾶς πυρὸς ἐργάτης
καὶ ὅσαι ὕλαι τοῦ πυρὸς κατὰ μετωνυμίαν·
διὰ θαλάσσης δ' Ἀχιλεῖ ἀπεκομίσθη ταῦτα,
ἀνέπλασαν τὴν Θέτιδα πρὸς Ἥφαιστον ἐλθοῦσαν,
πᾶν τὸ συμβὰν τῷ Ἀχιλεῖ λεπτομερῶς εἰποῦσαν.
καὶ πανοπλίαν ἄριστον ποιῆσαι ἐξαιτῆσαι,
τὴν ἣν καὶ ἀπεκόμισε τῷ Ἀχιλεῖ λαβοῦσα.

Ταῦτα πανσόφως Ὅμηρος περὶ τοῦ Ἀχιλεώς,
συγγεγραφὼς ὡς γέγονεν, ἀλληγορῶν τε ἅμα·

πλὴν ἐν ἀλληγορήματι πραγματικῷ ῥητόρων
παίζων καὶ φυσικεύεται περὶ κοσμογενείας,
ἀλληγορῶν στοιχειακῶς ἅπαν τὸ νῦν χωρίον·
ἐν τοῖς ἀκατελείπτοις γὰρ οὕτω χρεὼν συγγράφειν,
οὐ μὴν προδήλως γράφοντα κομπάζειν ἐψευσμένως,
καὶ σκόπει πᾶσαν ἀκριβῶς τὴν νῦν ἀλληγορίαν·
κἂν περ ὁ πάνσοφος ἀνὴρ τῷ σπεύδειν λεληθέναι
λέγῃ τὰ πρῶτα ὕστερον, τὰ ὕστερα προτέρως,
καὶ συστροβῇ τοὺς γράφοντας καὶ τριλογεῖν ποιῇ δε,
ἡμῖν δὲ κατ' εὐκρίνειαν τὴν τάξιν τηρητέον.
Ἥφαιστος νῦν ἤ τοι τὸ πῦρ εἰσφέρεται Ὁμήρῳ,
λέγων περὶ τῆς Θέτιδος ὑδάτων τῶν ὀμβρίων,
ἐν τῷ ἐμῷ οἰκάματι ἦλθε θεὰ μεγίστη,
ἥ πέρ με σέσωκε ποτὲ μέλλοντα κινδυνεύειν·
χωλὸς γὰρ ὢν καὶ τῆς μητρὸς θελούσης με συγκρύπτειν.
κατέπεσον· ἡ Θέτις δε σώζει καὶ Εὐρυνόμη,
ταῖς αἷς περ παρεχάλκευον εἰς χρόνον ἐνναέτη.
πόρπας γναμπτὰς καὶ ἕλικας καὶ κάλυκας, καὶ ὅρμους
ἐν σπῆϊ· ῥοῦς δ' ὠκεανοῦ ἀφρῷ μορμύρων ῥέεν.
Ἔρεβος εἶναι καταρχὰς καὶ χάος δογματίζει·
ἀέρος κινηθέντος δε, ὅ περ ὁ Ζεὺς τυγχάνει,
καὶ συμμιγέντος δὲ αὐτοῦ τῇ Ἥρᾳ λεπτυνθέντος,
καὶ πῦρ χωλόν τε καὶ ὑγρὸν καὶ ἀτελὲς ἐξέῤῥει·
ὃ πίπτον εἰς τὴν θάλασσαν ὂν πλῆρες καὶ πνευμάτων,
ἐνναετῶς ἐχάλκευεν, ἤτοι πολλοῖς ἐν χρόνοις·
πρὸς τὸ πυρῶδες ἐξορμῶν, πόσας στροφὰς ἐποίει,
πόσα δ' ἐκπυρηνίσματα σχήμασιν ἐν μυρίοις,
ἐν πόσῳ δὲ τῷ πνεύματι τὸ ὕδωρ συνεστρόβει,
ὡς ἀφριᾷν, μορμύρειν τε καὶ ἀναβράζειν οἷον·
λοιπὸν ὁ κόσμος, ὁ Πηλεὺς, πηλὸς ἦν ἀληθείᾳ
ὑγροῦ ἀέρος ζοφεροῦ, πέριξ κυκλοῦντος τοῦτον·

ἐν δὲ πλευραῖς τῆς Θέτιδος θαλάσσης συγκοιτέσης
ἀμφοῖν δὲ παῖς ἦν Ἀχιλεύς· γῆς φύσις ἀκαρπῦσα
δένδρα τινὰ καὶ ζῶα γαρ καὶ ἕτερα μυρία,
γινόμενα ἐφθείρετο τῷ ζοφερῷ ἀέρι·
ἕως ὁ Ζεὺς ὡς λέγουσι Κρόνον ταρτάρῳ βάλλει·
οὕτως ἐγήρα μὲν Πηλεὺς ὃν ἔφημεν, ὁ κόσμος·
ἤτοι μακραὶ περίοδοι παρέδραμον τῶν χρόνων·
ὑπῆρχε δ' οὗτος ὁ Πηλεὺς ἔνικμος καὶ πηλώδης·
ὁ Ἀχιλεὺς ὁ τούτου δε ἄτιμος παῖς ὑπῆρχε,
καὶ ἄοπλος, συνάμα δε γυμνὸς τῆς εὐκαρπίας,
παντός τε ὡραΐζοντος· κενός· ἐστερημένος·
τίς δ' Ἀχιλεὺς καθέστηκεν, ὁπόσον τῆς γῆς μέρος·
πολλοὺς χιλοὺς δὲ καὶ καρποὺς πᾶσαν τροφήν τε φέρει,
τότε δ' ὑπῆρχεν ἄκαρπος καὶ Ἀχιλεὺς τῷ ὄντι·
ἐπεὶ λελυπημένους δε νῦν, οὐ Πατρόκλου χάριν,
Ὁμήρου δ' ἀστεΐσμασιν ἕνεκα παγκαρπίας,
καὶ πάσης πανοπλίας δε μέγιστον ᾤμωξέ τι·
τὸ μὲν πυρῶδες ἔνυργον πίπτον ἐν τῇ θαλάσσῃ
ζάλην καὶ θροῦν καὶ συστροφὰς, ἃς εἴπομεν, ἐποίει·
ἐπεὶ δὲ καὶ μυκήματα τῆς γῆς ἀπετελέσθη,
ξηραινομένου τοῦ ὑγροῦ κινήσει τῶν πνευμάτων
ἐκβράττεται καὶ θάλασσα ῥόχθῳ πρὸς γῆν μεγάλῳ,
ὅ περ κατέσχεσις χειρὸς ἐστὶ τῆς Ἀχιλέως,
καὶ κεφαλῆς ἐφάπτεται μερῶν τῶν ὑπερτέρων,
καὶ Νηρηΐδες αὖθις μεν χωροῦσι πρὸς Νηρέα·
ὕδωρ τὸ παχυθάλασσον, εἰς κοίτην τὴν οἰκείαν,
αὕτη δὲ Θέτις τὸ λεπτὸν καὶ εὐθεσίας ὕδωρ.
συγκρατικόν τε τοῦ θερμοῦ πρὸς οὐρανὸν ἀπῆλθε·
μέλλον δ' εἰς πῦρ μεταβαλεῖν πρῶτον ἀπηερώθη·
εἶτα καὶ ἠθερώθη δε, ὅ περ ὁ μῦθος λέγει
περιπλοκὴν τῆς Χάριτος τῆς γυναικὸς Ἡφαίστου·

εἰσαγωγὴν πρὸς οἶκον τε καὶ ξένισμα πρὸς Θέτιν·
ἕως ὁ Ἥφαιστος, τὸ πῦρ, ἀφεὶς καὶ τὸ χαλκεύειν,
ἔλθοι καὶ μάθοι παρ' αὐτῆς τίνος ἀνῆλθε πέρι·
τρίποδας γὰρ ἐείκοσιν ἐχάλκευε τῷ τότε
ἀπειρομέτρων ἀριθμῷ, λέγω κινήσεις χρόνων·
τὸ γὰρ θερμὸν ὑπέστησε καὶ κόσμον καὶ τὸν χρόνον·
τὸ εὐσταθές δε μέγαρον, ἅπας ἐστὶν ὁ κόσμος,
τὰ κύκλα δὲ τὰ χρύσεα, τὰ τρίποδας κινοῦντα,
ὁ σφαιροδρόμος ἥλιος καὶ χρόνους ἀπαρτίζων·
θεῖον ἀγῶνα λέγει δε τὰς σφαῖρας περιδρόμους·
δι' ὧν περ αἱ τριμέρειαι τῶν χρόνων συμπληροῦνται,
καὶ πάλιν ἀνακάμπτουσιν ἐξ ὑπαρχῆς ἑτέρας·
ὦτα δ' αὐτοὺς τοὺς τρίποδας λέγει μὴ ἔχειν ἔτι,
ταῦτα κατασκευάζειν δε τὸν Ἥφαιστον τῷ τότε·
οὔπω γνωστὸν καὶ ἀκουστὸν κίνησις ἦν ἡλίου,
ὑφ' οὗ τρισσάκις ὁ ἀὴρ τῷ ἔτει μετατρέπει·
ἔμελλε δ' ἤδη γίνεσθαι τοῦτο καθὼς ἐρεῖ σοι,
παίζων, καὶ τὴν Ἀχίλειον ἀσπίδα καταλέγων
κόσμου παντὸς τὴν σφαίρωσιν, ἣν μετ' εὐτάκτου δρόμου
περιπολῶν ὁ ἥλιος πάντα γεννᾷ καὶ τρέφει·
οὕτως ἡ Θέτις Χάριτι συνῆν καὶ συνετρίφα,
τὸ ὕδωρ ἐλεπτύνθη τε καὶ ἤδη ἠθεροῦτο·
ἐξ ἀκμοθέτου δ' Ἥφαιστος ἀνασκιρτᾷ μεγάλως
χωλεύων· τούτου πόδες δε ἀσθενεστάτως ὥρμων·
μακρόθεν θεὶς δὲ τοῦ πυρὸς τὰς φύσας ὅπλον ἅπαν,
ἐς ἀργυρᾶν τὴν λάρνακα θεὶς καὶ λελαμπρυσμένος
καὶ βακτηρίαν δὲ λαβὼν, ἐξέδραμε χωλεύων·
χρυσαῖ θεραπενίδες δε προέβαινον ἐκείνου
ζώσαις καλαῖς νεάνισι τοῖς πᾶσιν ἐοικυῖαι
αἷς νοῦς καὶ σθένος καὶ φωνὴ καὶ ἀθανάτων ἔργα·
αὗται προεπορεύοντο, οὗτος δ' ἐλθὼν κατόπιν

πλησίον ἵζει Θέτιδος καὶ τῆς χειρὸς λαμβάνει·
καὶ κατακέσας ταύτης δὲ ποιεῖ τὴν πανοπλίαν,
ἐξ ἀκμοθέτου δ' Ἥφαιστος ἀνασκιρτᾷ μεγάλως,
ἐκ δὲ τοῦ ὑπεκκαύματος καὶ αἰθερίου τόπου,
χωλὸν καὶ ἀδιάρθρωτον ὥρμησε πῦρ ἐκπνέειν,
συγκερασθὲν δὲ τῷ ὑγρῷ, ὁ λάρναξ ἀργυρέα,
καὶ συνεδρία Θέτιδος, ταύτης χειρός τε σχέσις,
καὶ βακτηρία· στηριγμὸς, καὶ λαμπρισμὸς ὡσαύτως·
αἱ δὲ χρυσαῖ νεάνιδες αἱ τούτω προπολοῦσαι,
αἵ τε θερμαὶ καὶ θρεπτικαὶ καὶ ζωογόνοι φύσεις·
ὁ οἶκτος δὲ τῆς Θέτιδος, τοιόν δέ τι τυγχάνει,
μόνον τὸ ὕδωρ τῷ θνητῷ, Πηλεῖ τῇ γῇ ἐζύγει,
ἐν ᾗ καὶ ἄπαν τὸ θνητὸν καὶ τῆς φθαρτῆς οὐσίας,
τὰ τῶν στοιχείων δὲ λοιπὰ τοῖς θείοις γειτνιῶσι·
καὶ νῦν ὁ γέρων οὗτος μεν κεῖται βλαβεὶς τῷ γήρει·
ὁ δὲ υἱός μου Ἀχιλεὺς νῦν δεῖται πανοπλίας·
λοιπὸν ὁ Ἥφαιστος αὐτῷ τεύχει τὴν πανοπλίαν
ἤτοι μακραὶ παρέδραμον περιστροφαὶ τῶν χρόνων,
καὶ κόσμος κατεῤῥάγη δε καὶ γῆς ἦν ἀκαρπία,
καὶ τῶν στοιχείων δὲ δεινὴ σύγχυσις πεφυρμένη,
ἕως τὸ φλέγον κερασθὲν, οἷς εἶπον τανῦν τρόποις,
πῦρ, ὕδωρ, γῆν, ἀέρα τε ποιεῖ καὶ τὸν αἰθέρα,
καὶ πάντα συνεστήσατο συντόμως φάναι κόσμον,
διηρθρωμένον κάλλιστα, ὡς τοῦ ἡλίου πλέον
τηροῦντος δρόμον εὔτακτον ἀεὶ περὶ τὴν σφαῖραν·
καὶ πᾶν φυτὸν ἐκτρέφοντος καὶ πᾶν ζωογονοῦντος,
καὶ τὰς μυρίας δὲ τροφὰς πᾶσι διδοῦντος ζώοις,
τὴν πανοπλίαν Ἀχιλεῖ ταῦτα τῷ κόσμῳ τεύχει·
ἀλλὰ καὶ πᾶν τὸ χρήσιμον λεκτέον τοῦ κειμένου,
ὅσον εἰς ἀλληγόρημα τῶν χρειωδῶν τυγχάνει·
ἂν δὲ πολυλογήσαμεν, Ὅμηρον αἰτιᾶσθε·

πολλῇ πυκνώσει τῶν φρενῶν τῷ σπεύδειν λεληθέναι,
πρωθύστερά τε γράφοντα καὶ πάλιν συμμιγνῦντα,
καὶ τῷ κεκαλυμμένῳ δε τῶν νοημάτων βάθει,
τὸν Τζέτζην περιτρέποντα γράφειν ἁπλῶς, συντόμως.
καὶ τότε καὶ σχεδίῳ δε τῷ λόγῳ συντιθέντα,
ἅ περ ἐδεὶς ἐτόλμησεν ἐ παλαιὸς, ἐ νέος
εἰ μή που τὶς ἐκ τῶν ἐμῶν μεταποιήσας ταῦτα
πρός τινας τερατεύοιτο αὐτὸς συντεθεικέναι.
ὡς καὶ λοιποῖς συγγράμμασιν δρῶσιν ἐμοῖς πολλάκις·
ὅτι δ' οὐδεὶς ἐτόλμησιν ἀλληγορῆσαι τάδε,
ὁρᾶτε τὸν Ἡράκλητον καὶ τὴν Μιμὼ σὺν τέτῳ,
τὴν ἀλαζόνα σφίγγα τε, μᾶλλον τὴν ἐπηρμένην,
Κουρνέτους, Παλαιφάτους τε πάντας ἀλληγορἕντας
καὶ τὰ ἐμὰ βιβλίδια, τὸ εὐτελές τε τόδε
οἰκονομίᾳ συγγραφὲν σπεδῇ τῇ τῆς Ἀνάσσης.
καὶ ὅ περ παρεσπάσθη μοι τῆς χρονικῆς με βίβλε,
τῆς ἱστορέσης τεχνικοῖς ἰάμβοις τὰ τῶν χρόνων,
ἀλληγορἓν δὲ σύμπαντα συντετμημένῳ λόγῳ·
ἀλλὰ γὰρ πᾶν τὸ χρήσιμον ῥητέον τἓ κειμένε·
φῦσαι, τὸ πνευματῶδες μεν τὸ τἓ πυρὸς τυγχάνει·
χόανοι τὸ θερμότερον αὐτἓ καὶ κεραννύον·
τὸ εἴκοσιν ἐν τρίποσι, τοῖς εἴκοσι προέφην·
ὡς ὑπὲρ τέλος Ὅμηρος κόσμον καὶ χρόνον λέγει,
ἀεὶ τῷ πνευματώδει δε πυρός τε καὶ τῇ θέρμῃ
μέλλειν κιρνᾶσθαι σύμπαντα σαφῶς σοι δογματίζει
χαλκὸν δὲ βάλεν ἐν πυρὶ καὶ τὰς λοιπὰς τὰς ὕλας,
τῇ θέρμῃ παρυπέστησαν τὰ τέσσαρα στοιχεῖα·
ἡ γῆ, καὶ θάλασσα, ἀὴρ, πῦρ, ὁ αἰθήρ τε πέμπτος,
γῆ καθ' ἡμᾶς κασσίτερος, τήκεται γὰρ ὡς ἕτος,
ἄργυρος, θάλασσα, ἀὴρ, χρυσὸς, αἰθέρος φύσις·
χαλκὸς, τὸ πῦρ ἀνώτερον ὂν πέριξ τἓ αἰθέρος.

τὸν δ' ἀκμοθέτην νόει μοι πᾶσαν τȣ͂ κόσμȣ σφαῖραν,
τὴν οὕτως ἀδιάρθρωτον, μίγματι τῶν στοιχείων·
ἄκμονα δὲ, τὸ καρτερὸν τῶν ἐσομένων δρόμων·
ῥαιστῆρα, τὴν λεπτίνȣσαν καὶ διαρθρȣ͂σαν φύσιν·
πυράγραν, τὴν ἐπέσχεσιν καὶ κρᾶσιν τȣ͂ πυρώδȣς·
σάκος δὲ τὸ πεντάπτυχον, ἡ σφαῖρα ἠρθρωμένη,
ἄντυξ καὶ περιφέρεια τριπλῆ δὲ, μαρμαρέη,
ἀὴρ, αἰθὴρ καθέστηκε καὶ τȣ͂ πυρὸς τὸ σῶμα.
Ὁ τελαμὼν ὁ ἀργυρȣ͂ς ὅς τις ὑπάρχει, μάθε·
ἀναθυμίασις, ἀὴρ ὁ συγκινῶν τὴν σφαῖραν·
λευκὸς δὲ ὡς ὁ ἄργυρος ἐστὶν ἀὴρ τῇ θέᾳ,
καὶ συγκινεῖ τὴν σφαίρωσιν ἀναθυμίασις τις,
ὡς ἡ Ὁμήρȣ πολλαχȣ͂ δεικνύει Καλλιόπη·
ἀλλὰ περὶ τῆς σφαίρας δε φησὶν ὁ Σταγειρόθεν·
τὰς πέντε πτύχας ἄκȣσον πῶς Ὅμηρος νῦν λέγει·
γῆν λέγων καὶ τὴν θάλασσαν· σελήνην ἀντ' ἀέρος·
ἀντὶ πυρὸς τὸν ȣ̓ρανὸν, ἥλιον ἀντ' αἰθέρος·
ἃ στεφανȣ͂ται ȣ̓ρανός· τείρεα δέ μοι νόει
νῦν μὴ τὸ δωδεκάζωδον καὶ τὸν ἐκείνȣ κύκλον·
τὰ ἀπλανῆ τῶν ἄστρων δε ὀκτὼ πρὸς τριεικάδι,
ὅσα τε Ἕλληνες φαμὲν καὶ ὅσα διαγράφει
Τεῦκρος ὁ Βαβυλώνιος ἐν τῇ βαρβάρῳ σφαίρᾳ,
ὧν καὶ Πλειάς τε καὶ Ὑὰς, Ὠρίων, καὶ αἱ Ἄρκτοι,
ἅ περ καὶ παρενέγραψεν ὁ Ὅμηρος ἐνθάδε·
νῦν ταῦτα λέγει τείρεα· τείρȣσι γὰρ ὡς οἶδας
χειμῶνας ἐπεισφέροντα καὶ θέρη τὰ καυσώδη·
μετὰ μικρὸν ὁ γέρων δε παίζων σωφρονεστάτως
ἐρεῖ τὸ δωδεκάζωδον, γέροντας καθημένȣς,
λίθοις ξεστοῖς ἤτοι στεῤῥοῖς ἐν ἱερῷ τῷ κύκλῳ,
καὶ πάλιν χορὸν ποίησεν κλυτὸς ἀμφιγυείης,
ᾧ νέοι καὶ παρθένοι δε χορεύȣσι συμμίκτως·

τῶν γὰρ ζωδίων ἓν παρ' ἕν, ἄρσεν ἐστὶ καὶ θῆλυ,
ὡς ἀστρολόγοι λέγουσι, καὶ νῦν ὁ θεῖος γέρων,
πλὴν τοῦ Ὀρφέως, πρότερος ὢν πάντων ἀστρολόγων·
ἀλλ' εἴ τι παρεδράμομεν, λεπτῶς ἀναληπτέον.
Δύο τὸ πῦρ ἐποίησε πόλεις ἀνθρώπων λέγει·
τὸ πῦρ, τὸ πᾶν διήρθρωσε καὶ ἄστρα καὶ ἀστέρας·
δύο ἀφ' ὧν ἐγγίνονται βροτοῖς περιπολήσεις,
ἡ εὐτυχὴς καὶ δυστυχὴς ἑκάστου γενεθλίῳ·
καὶ ταῖς λοιπαῖς δὲ καταρχαῖς, αἷς τί τις πράττειν θέλει·
τὴν εὐτυχῆ δεικνύει σοι γάμους καὶ τ' ἄλλα λέγων·
καὶ τοὺς φιλονεικοῦντας δὲ κρίσει τὸ νεῖκος λύειν·
κρίνεσθαι δὲ καὶ γίνεσθαι ταῦτα φησὶ τὰ πάντα,
τῶν δώδεκα τῶν θαυμαστῶν γερόντων καθημένων,
Κριοῦ, Ταύρου, Διδύμων τε, Καρκίνου, Λέοντός τε,
Παρθένου, ἅμα δὲ Ζυγοῦ, Σκορπίου καὶ Τοξότου,
αὐτοῦ τοῦ Αἰγοκέρωτος, Ὑδρόχου καὶ Ἰχθύων,
περιτρεχόντων πανταχοῦ τῶν πέντε δὲ κηρύκων,
τῶν σκηπτροφόρων ὧν φησὶ καὶ τῶν μεγαλοφόνων,
ἤγουν τῶν σθένος μέγιστον, οἳ καὶ περιθρυλλοῦνται·
εἰ δεῖ με παῖξαι καὶ μικρὸν τῶν μανδατωριτζίων,
Κρόνου. Διός, καὶ Ἄρεος, Ἀφρογενοῦς, Ἑρμοῦ τε·
δύο χρυσοῦ δὲ τάλαντα, ἥλιος καὶ σελήνη,
οὓς ἀστρολόγοι βασιλεῖς λέγουσι τῶν ἀστέρων.
ἅ περ ἐν μέσῳ ἔκειτο λῆψις εὐθυδικοῦσι,
τῶν πέντε ὧν περ εἴπομεν ἀστέρων πλανομένων,
τῶν ἀγαθῶν ὑπάρχουσιν ὁ Ζεὺς καὶ Ἀφροδίτη·
φθοροποιοὶ καὶ βλάπτοντες, ὁ Κρόνος τε καὶ Ἄρης·
Ἑρμῆς συνὼν δὲ ἀγαθοῖς ἐς πλέον ἀγαθύνει·
τοῖς βλαπτικοῖς συντρέχων δε, τὸ βλάβος ἐπιτείνει·
οὗτοι δὲ περιτρέχοντες τῶν ζωοφόρων κύκλων,
ἀμοιβαδὶς δικάζουσιν· ἄλλα ἀλλοίως δρῶντες·

ὅταν δ' οἱ φαῦλοι ἀγαθὰ δρῶσι τοῖς γενεθλίοις
καὶ καταρχαῖς πραγμάτων δὲ πάντων τῶν ἐν τῷ βίῳ,
καὶ οἱ χρηστοὶ πάγκαλλιστον ἂν ὦσι δεδρακότες,
τοῦτο ποιοῦσι τὸ χρηστὸν τὸ μέγιστον τῷ τότε.
χρυσᾶ λαβόντες τάλαντα δύο τὰ λελεγμένα,
ἤγουν παραμεσάζοντος ἡλίου καὶ σελήνης,
καὶ ζυγουλκούντων ἄριστα σαφῆ ταλαντουργίᾳ.
δύο στρατοὶ δὲ εἵατο πρὸς τῇ ἑτέρα πόλει·
τὴν ἐκπεριπολήσεως ἀστέρων εὐτυχίαν,
εἰπὼν τὰ νῦν τὴν δυστυχῆ μοῖραν σοὶ καταλέγει,
πολέμους καὶ διαρπαγάς· ἐν δὲ τῷ λέγειν τοῖς δε
χρυσοῦν ὁμοῦ τὸν Ἄρεα καὶ Ἀθηνᾶν ὑπάρχειν
καλῶν βουλαῖς ὑπερμαχεῖν ὑπὲρ πατρίδος λέγει·
τὰ πάντα τ' ἄλλα δὲ σαφῆ μοίρας δυστυχεστάτης·
τὰ ὡρισμένα μόνα δε ὁ Τζέτζης ὀβελίζει,
οἷον ποιμένες δύο τε καὶ τέσσαρες ποιμένες,
καὶ πάντα δὲ τὰ ὅμοια, πραγματικὰ εἰσί γαρ·
οὐ μὴν ἀλληγοροῦνται δε ὡς τάλαντα τὰ δύο
καὶ πέντε πτύχες καὶ λοιπὰ τῶν αλληγορουμένων.
Τὸ, ἐν δὲ τίθει δὲ νειὸν, καὶ τὰ λοιπὰ τὰ πάντα
δεικνύουσι σαφέστατα ὅτι καὶ γεωργία,
καὶ βίος δὲ ποιμνητικὸς καὶ αἱ λοιπαὶ δὲ τέχναι
ἐκ τῆς περιπολήσεως γίνονται τῶν ἀστέρων,
τὴν ἣν περιχορεύουσι τὸν ζωοφόρον κύκλον,
ὃν κύκλον Ἥφαιστος ποιεῖ χορείαν τῶν ἀστέρων,
ἐν ᾧ περιπολεύουσι παρθένοι τὲ καὶ νέοι·
τὸ πρὶν σαφῶς εἰρήκειμεν πάντα σοὶ περὶ τούτων,
Κνωσσόν δε νῦν καὶ Δαίδαλον ὁ Τζέτζης ὀβελίζει
καὶ στίχους ἄλλους ὡς ὀκτὼ μέχρι τοῦ στίχου τοῦδε.
Περὶ χορὸν δὲ ἱμερτὸν, πλῆθος εἱστήκει πόσον
τῷ ζωκφόρῳ πύκλῳ δε πλῆθος ἀστροθεσίας.

οἱ δύο πάλιν ὀρχησταὶ ἥλιος καὶ σελήνη
ὠκεανὸν δὲ ἔθετο ἄντυγα τῇ ἀσπίδι·
τοῦ κόσμου τέρμα γὰρ παντὸς, ὠκεανὸς ὑπάρχει·
ἐπεί δε σάκος ἔτευξε μέγα τε στιβαρόν τε,
ἔτευξε καὶ τὸν θώρακα λαμπρὸν, πυρὸς ἐς πλέον·
ὅρα τὸν χρυσογέροντα πῶς παίζει νῦν διόλου·
πέντε τοῦ κόσμου γὰρ εἰπὼν τοῦ σάκους εἶναι πτύχας,
πῦρ, ὕδωρ, γῆν καὶ θάλασσαν καὶ πέμπτον τὸν αἰθέρα,
καὶ θώρακα τοῦ κόσμου δε νῦν Ἀχιλέως λέγει·
τὸ μέρος τὸ αἰθέριον, τὸ πῦρ δε κόρυν τούτου,
τὴν γῆν κνημίδας τούτου δε δῆθεν ἐκ κασσιτέρου.
Ἐπεὶ τὰ ὅπλα πάντα δε ὁ Ἥφαιστος ἦν τεύξας,
ἔμπροσθεν ταῦτα τέθεικε μητρὸς τοῦ Ἀχιλέως,
ὡς ἴρηξ αὕτη δ' ἥλλατο κομίζουσα ἐκεῖνα.
Ἐπεὶ τὸ πῦρ ὑπέστησε κόσμου παντὸς τὴν θέσιν
τὴν γῆν ἐξαπικμάσαμεν τῇ ζέσει τῇ πυρφόρῳ,
μετεωρῆσαν ἄνω δε τὸν ἔνυγρον ἀέρα,
ἐς πλέον τὸν αἰθέρα δε καὶ φύσιν τὴν τῶν ἄστρων·
ὄμβροι τε κατεφέροντο, καὶ Ἀχιλεὺς ὡπλίσθη
ἐξ ἀκαρποῦντος, πάγκαρπος, πολυχιλὲς δειχθείς τε.

## ῾ΥΠΟΘΕΣΙΣ ΤΗΣ Τ. ῾ΟΜΗΡΟΥ ῾ΡΑΨΩΔΙΑΣ

Παρὰ Ἡφαίστου Ἀχιλεῖ Θέτις κομίζει ὅπλα.
ὃς τὴν εἰς Ἕλληνας ὀργὴν εὐθέως ἀποῤῥίψας,
καὶ τὰ παρ' Ἀγαμέμνονος εἰσδεδεγμένος δῶρα,
ἀριστησάντων τῶν λοιπῶν, νῆστις αὐτὸς ὑπάρχων,
ὁπλίζεται πρὸς πόλεμον· Ξάνθος δ' ὁ τούτου ἵππος
θάνατον προμαντεύεται· ταῦτα μὲν οὕτως ἔχει·

ἤδη τὰ τῦ κοιμένου δὲ λοιπόν μοι μοχλευτέον.
Ἠώς ἐςι κροκόπεπλος, λαμπρὰ καὶ ποικιλείμων,
τὸ φῶς τοῖς ἀθανάτοις δὲ καὶ τοῖς βροτοῖς εἰςφέρει,
στοιχείοις καὶ ἀνθρώποις ἐμφανεςάτως λέγει·
Θέτις δ' ἐς νῆας ἵκανε θεῦ φέρυσα δῶρα
τῷ Ἀχιλεῖ δε ἥρωϊ, τῷ Θετταλῷ ἐκείνῳ,
διὰ θαλάσσης καὶ νηῶν προσήχθη πανοπλία,
ἔργον θεῦ τυγχάνυσα, ἤτοι σοφῦ τεχνίτου,
ἢ εἱμαρμένης καὶ θεῦ δῶρον εἰς Ἀχιλέα.
Τὸ φῦ χειρὶ, σημαίνει δε, ὅτι πρακτικωτάτως
ἤδη τὰ ὅπλα κατιδὼν ὁ Ἀχιλεὺς ὓ λόγοις
θρήνυ τῦ περὶ Πάτροκλον ἀπέπαυσε καὶ γόων·
ἐτέρπετο τῶν ὅπλων δε προςβλέπων ποικιλίαν·
ἄγαν ἐκπεπληγμένων δε βλεπόντων Μυρμιδόνων
ἐλέγχων νηπιώδεις τε καὶ ἀγεννεῖς ἐκείνυς.
ἠγριωμένον κατιδὼν, μέμφεται μέγα τύτοις·
αὐτίκα λέγει δὲ ταυτὶ πρὸς τὴν αὐτῦ μητέρα,
τοὺς τύτῳ προςκομίσαντας διὰ θαλάσσης ὅπλα.
τῆς συνεργύσης Ἀχιλεῖ τρόπῳ μητρὸς ὡς ἔφην·
ὦ οἱ ἀποκομίσαντες θαλάσσῃ μοι τὰ ὅπλα.
ἅ περ θεὸς παρέσχηκεν ἤτοι ἡ εἱμαρμένη,
ἢ ἃ σοφὸς ἐποίησε δημιυργὸς τεχνίτης·
τὰ ὅπλα ταῦτα ἔργα μεν εἰσὶ τῶν ἀθανάτων,
ὐδὲ βροτὸς ἂν δέδρακε τοιαύτην πανοπλίαν,
ἤτοι ἐξ εἱμαρμένης μοι ταῦτα τῆς τῶν ἀςέρων,
τὰ ὅπλα ἐκομίσθησαν, οἷα θνητὸς ὐ τεύξει·
τοῖς οἷς ἐγὼ νῦν ὁπλισθεὶς χωρήσω πρὸς τὴν μάχην·
πτοῦμαι δὲ τὰ τραύματα μὴ συσσαπῇ Πατρόκλυ·
οἱ δ' εἶπον· πρὸς τὸν πόλεμον πάνυ ταχέως χώρει,
ἡμεῖς δὲ τῦτον ἄσηπτον τηρήσομεν εὐτέχνως·
καὶ ἀμβροσίᾳ μὲν αὐτοὶ, φαρμάκοις ἀσηψίας,

ἐλαίῳ πάνυ παλαιῷ καὶ ἐρυθρῷ δὲ οἴνῳ,
καὶ τοῖς λοιποῖς κατέχρισαν τὸν Πάτροκλον φαρμάκοις·
ὁ δ' Ἀχιλεὺς παρώρμησε τοὺς Ἕλληνας κραυγάζων·
καὶ τ' ἄλλα πάντα μὲν σαφῆ τȣ̃το τανῦν ῥητέον·
ἣν ἐν ναυσὶν ἡ Ἄρτεμις ὤφειλε κτεῖναι βέλει·
ἢ λοιμικῷ νοσήματι, εἴθε προσανῃρέθη
τὰ λοιμικὰ τῶν νόσων γὰρ καὶ τὰ ὀξέα πάντα,
ἡλίῳ τὲ προσάπτουσιν ὁμοῦ καὶ τῇ σελήνῃ·
» ἀλλὰ Ζεὺς καὶ Μοῖρα καὶ ἠεροφοῖτις Ἐριννὺς,
ἡ ἡμαρμένη τὲ αὐτὴ καὶ ἡ ἑκάϛȣ μοῖρα,
καὶ σὺν αὐταῖς ἡ σκοτεινὴ ἀόρατός τε βλάβη·
θεὸν καὶ πάθος δὲ ψυχῆς, τὴν Ἄτην ὀνομάζει·
καὶ τȣ̃ Διὸς φησὶν αὐτὴν καὶ εἱμαρμένης παῖδα,
πᾶν ἀγαθὸν καὶ βλάβη γὰρ εἰσὶ τῶν εἱμαρμένων·
ἄκουε καὶ τὴν Ἄτην δε ἣν περ ὁ Ζεὺς ἐβλάβη
ἐξ Ἥρας· ὅτε ἔμελλεν ὁ Ἡρακλῆς τεχθῆναι
καὶ πῶς ἡ Ἥρα λέγεται σχεῖν τοκετὸν Ἀλκμήνης·
παῖς ἦν τȣ̃ Ἀμφιτρίωνος ὁ Ἡρακλῆς ἐν λόγῳ,
ἔργῳ Διὸς δὲ ἄνακτος· ὄντος καὶ ἀϛρολόγου,
ὃς διαφόροις γυναιξὶ πολλȣ̀ς ἐσχήκει παῖδας·
πρὸς τόκῳ δ' οὔσης ὑπ' αὐτῆς ποτὲ καὶ τῆς Ἀλκμήνης,
τὸν Ἡρακλῆ μελλȣ́σης τε τῷ τότε τίκτειν χρόνῳ·
οὔσης ἐγγὺς τότε δε τȣ́τῳ καὶ τῆς Ἀρχίππης,
πλὴν ἀτελὲς ἑπτάμηνον τέκνον τὸν Εὐρυσθέα,
ὁ Ζεῦς ἐκεῖνος βασιλεὺς ὁ μέγας ἀϛρολόγος
τότε καὶ μόνον ἔψευϛο· ἰδὼν γὰρ τοὺς ἀϛέρας
καλῶς κειμένους ἅπαντας καὶ τόποις βασιλείοις,
πρὸς τοὺς ἀϛέρας ἀπιδὼν μόνȣς τȣ̀ς γενεθλίους,
μὴ προσκοπήσας εἰ τεχθῇ τῷ τότε δὲ καὶ βρέφος
θεοὶ σοφοὶ καὶ ἄρχοντες τȣ̃το, φησὶ, προλέγω,
Ἀλκμήνη τίκτει σήμερον· τίκτει δὲ βασιλέα·

οὕτω μὲν εἶπεν Ἡρακλῆ νομίζων γεννηθῆναι,
μεγαλοσώμου τοῦ παιδὸς τούτου δὲ τικτομένου,
καὶ περισχόντος ἅπαντα τῆς μήτρας τὸν ἀέρα,
ὅ περ καὶ Ἥρας κράτησιν ἔφασαν γενεθλίαν.
μᾶλλον καὶ Ἰφικλέους δὲ σὺν τούτῳ τικτομένου·
Ἀλκμήνη δυστοκήσασα μετά τινας ἡμέρας,
δεκαμηναῖον τέτοκεν· ἡ δὲ Ἀρχίππη τότε
ἑπτάμηνον ἐγέννησεν ἄστρασι βασιλείοις
τὸν Εὐρυσθέα. καὶ λοιπὸν ἦρχε τοῦ Ἡρακλέος·
Ζεῦ πάτερ ἀργικέραυνε· ὦ ἄναξ δέσποτά τε·
δίκην ἀεὶ τῶν κεραυνῶν λαμπροὺς προπέμπων λόγους.
ὡς Ἥρα περιτίθησι λόγους τινὰς ἀέρι.
Ὄλυμπον νῦν κατάστερον καὶ οὐρανόν σοι λέγει,
εἰς ὃν μὴ πάλιν ἀνελθεῖν ὤμοσε Ζεὺς τὴν Ἄτην,
τὴν κεφαλὴν τοῦ λογισμοῦ τὸ ὄργανον ἐκείνου,
κἂν φιλοσόφοις ὄργανον τοῦ λογισμοῦ, καρδία·
θεὸς νῦν, ὁ θυμός ἐστιν· ἡ ζέσις τῆς καρδίας,
ὃν ἀμφοτέροις τοῖς στρατοῖς, μένος προσπνεῦσαι λέγει·
ἐν μοίρᾳ πάντα ἔλεξας, πρεπόντως, ἁρμοδίως·
οὐδὲ ἐπιορκήσαιμι πρὸς δαίμονας καὶ μοίρας,
ἢ πρὸς αὐτοῦ τοῦ δαίμονος, τουτέστι τῆς ψυχῆς μου·
ἤτοι, ὀμνύω τὴν ἐμὴν ψυχὴν, οὐ ψευδορκήσω·
ὁ Ζεὺς ὁ δοὺς τὸ κῦδος δε, τανῦν ἡ εἱμαρμένη·
καὶ Ζεὺς ὁ τοῖς ἀνθρώποις δε ταμίας τοῦ πολέμου·
Ταλθύβιος ἀλίγκιος θεῷ, εἰς τὴν αὐδήν δε·
λιγὺς ὀξυφωνότατος, εὔμουσον μέλος ἔχων,
οἷον ἠχεῖν ἁρμονικὸν φασὶ καὶ τοὺς ἀστέρας·
Ζεὺς δὲ ὁ ὕπατος θεῶν, νῦν οὐρανὸς ὑπάρχει·
θεοὶ, στοιχεῖα τὰ λοιπά· τέως ἐν τοῖς ἐνθάδε·
θεοὶ δὲ δοῖεν ἄλγεα, ἀστέρες, εἱμαρμένη·
ὁ Ζεὺς πατὴρ δε ὁ διδοὺς τὰς Ἄτας, εἱμαρμένη,

καὶ Ζεὺς ὁ θέλων θάνατον τοῖς Ἀχαιοῖς γενέσθαι·
γυνὴ εἰκυῖα δὲ θεαῖς, κάλλει· ἐπιθυμίᾳ·
ταῖς ψυχικαῖς δυνάμεσιν εἴ τε καὶ τῇ σελήνῃ
θεοειδής, ὡς τὸ, γυνὴ εἰκυῖα ταῖς θεαῖσι.
Κρονίων ὁ τοὺς γέροντας οἰκτείρας μυρομένους,
ἡ σκοτεινὴ καὶ ἄδηλος νῦν ἐστιν εἱμαρμένη·
πῶς Ἀθηνᾶ καθέστηκε παῖς δε τῆς εἱμαρμένης,
ἡ Ἀθηνᾶ δὲ ὁ ἀὴρ ἐστὶν ἐν τοῖς ἐνθάδε,
ὅτι πᾶν τὸ γινόμενον, ἔργον τῆς εἱμαρμένης·
καὶ τὸ ἐκ τοῦ ἀέρος δε, σημεῖον τί γενέσθαι·
καὶ τὸ ψυχρὸν ἢ καὶ θερμὸν, ἀέρα γεγονέναι·
τότε δ' αὐτοῖς ἐγένετο σημεῖον ἐξ ἀέρος·
ἅρπη ὀξὺ βοήσασα· ὄρνεον δ' ἐστι τοῦτο,
ἁρπάζον τὰ νεόττια ὀρνίθων κατοικίων,
καὶ ἐκ μακέλλης κρέα δε καὶ ἐκ τῶν κατεχόντων·
αὕτη λοιπὸν βοήσασα, τούτους κινεῖ πρὸς μάχην·
ὡς οἰωνὸς τῶν δεξιῶν καὶ τύχης εὐξυμβόλων,
καὶ Ἀχιλεῖ δὲ γίνεται λήθη λιμοῦ καὶ πείνης,
προθύμως ἀνορμήσαντι πρὸς πόλεμον καὶ μάχην·
ὁ ἀμβροσίαν Ὅμηρος καὶ νέκταρ ἄρτι λέγει·
αὐτὴ πρὸς τὸν ἀέρα δε ἀνέπτη πατρὸς δόμον,
ἀνεπετάσθη πρὸς αὐτὸν, τουτέστι τὸν ἀέρα·
πατὴρ ὀρνέων δὲ ἀὴρ, ὡς τούτῳ πετομένων·
γέλασε πᾶσα περιχθὼν· τουτέστιν ἐλαμπρύνθη·
δύσετο δῶρα δὲ θεοῦ, σοφοῦ, τῆς εἱμαρμένης,
ἅ τινα Ἥφαιστος, τὸ πῦρ. ἔκαμε τεύχων τῇδε·
Ἥφαιστος νῦν, ὁ χαλκουργός· τεχνίτης ὁ τῶν ὅπλων·
τίς ἡ φωνὴ τοῦ Ξάνθου δε τοῦ Ἀχιλέως ἵππου,
ἥ περ προεμαντεύσατο καὶ θάνατον ἐκείνῳ;
ἐλεινὸς, ὀλοφυρμός· τοῖς δὲ φρονοῦσι, πάντα
λαλεῖ· καὶ προσημαίνουσι τὰ μέλλοντα γενέσθαι·

κἀκτȣ͂ σημαίνειν τῆς φωνῆς τȣ͂ ἵππȣ τῆς θρηνώδȣς,
θάνατον ἐμαντεύσατο ἐκείνῳ προμηνύειν·
ἐπεὶ φωνὴ τυγχάνει δέ τίς πλῆξις τȣ͂ ἀέρος,
ἔφασαν, ὡς φωνήεντα τȣ͂τον ποιεῖ ἡ Ἥρα·
θεῶν ὁ ἄριστος ἐστὶ καὶ παῖς ὁ τῆς Λητȣ͂ς δὲ
Ἀπόλλων καὶ ὁ Ἥλιος, ᾧ Πάτροκλος ἐκτάνθη·
θεῷ δὲ ἐστι μόρσιμον καὶ ἐν ἀνδρὶ δαμῆναι,
στοιχείῳ καὶ ἀνθρώπῳ δὲ πέπρωται τεθνηκέναι,
ἐν γὰρ ναῷ Ἀπόλλωνος ὁ Ἀχιλεὺς τεθνήκει,
ἢ Ἀλεξάνδρȣ ταῖς χερσὶν ἢ καὶ τȣ͂ Δηϊφόβȣ·
οὕτως εἰπόντος, Ἐριννῦς φωνὴν αὐτȣ͂ κατέσχον·
οὕτως εἰπὼν τὸ λυπηρὸν, εὐθέως ἀπεπαύθη.

## ῾ΥΠΟΘΕΣΙΣ ΤΗΣ Υ. ῾ΟΜΗΡΟΥ ῾ΡΑΨΩΔΙΑΣ

Διὸς βȣλαῖς ἐφάπτονται θεοὶ τῆς συμμαχίας,
καὶ τῷ στρατῷ Ἑλλήνων μὲν ὑπῆρχον συμμαχȣ͂ντες
Ἥρα, Ἀθήνη, Ποσειδῶν, καὶ Ἥφαιστος, Ἑρμῆς τε·
Τρωσὶν ἡ Ἀφροδίτη δὲ· καὶ σὺν τῇ Ἀφροδίτῃ
Σκάμανδρος, Ἄρης, καὶ Λητὼ, Ἄρτεμις καὶ Ἀπόλλων,
ὃς Ἀχιλεῖ μαχόμενον Αἰνείαν νέφει κρύπτει·
πολλȣ̀ς δὲ κτείνας Ἀχιλεὺς καὶ παῖδα τὸν Πριάμȣ
Πολύδωρον ἀπέκτεινεν· Ἕκτορα δ' ἀντιστάντα
αὐτὸς Ἀπόλλων ἔσωσε καὶ ῥύεται θανάτου·
τοὺς δὲ λοιπȣ̀ς ὁ Ἀχιλεὺς κατήπειγεν εἰς Τροίαν.
Οὕτως ὡπλίζοντο σὺν σοὶ Ἕλληνες, παῖ Πηλέως·
ἑτέρωθεν οἱ Τρῶες δὲ ἐπὶ θρωσμῷ πεδίου,
ἐκ πολυπτύχου δ' οὐρανȣ͂ Θέμιν ὁ Ζεὺς κελεύει
πάντας καλέσαι τȣ̀ς θεȣ̀ς εἰς δόμον τὸν ἐκείνȣ·

ἢ καὶ δραμοῦσα σύμπαντας συγκέκληκεν εὐθέως·
οὐ ποταμὸς ἐλείφθη τις, ὠκεανοῦ δὲ ἄνευ·
οὔτέ τις νύμφη ναίουσα πείσεα τὲ καὶ ἄλση,
καὶ τὰς πηγὰς τῶν ποταμῶν· καὶ συνελθόντες πάντες
ξεσταῖς αἰθούσαις ἵζανον, ταῖς οὔσαις πρὸ δωμάτων,
ἅς περ ὁ Ἥφαιστος Διῒ ἐποίησεν ἐντέχνως,
καὶ Ἐνοσίχθων μετ' αὐτοὺς ἐξῆλθε τῆς θαλάσσης·
μέσοις καθίσας δ' ἐν αὐτοῖς, ἀνήρετο τὸν Δία·
τί νῦν ὦ ἀργυκέραυνε θεοὺς συνεκαλέσω;
ἆρα περὶ τῶν Τρώων τί βουλεύῃ καὶ Ἑλλήνων;
ἐγγὺς ἡ μάχη τούτων γαρ καὶ πόλεμος τυγχάνει·
ὁ Ζεὺς φησὶ δὲ πρὸς αὐτὸν, ἔγνως τὸ βούλημά μου·
φροντίδα τούτων ἔχω γαρ, καί περ ἀπολλυμένων·
ἀλλὰ ἐγὼ καθήμενος, ἔνθεν τερποίμην βλέπων·
ὑμεῖς ὡς πρὸς τοὺς Τρῶας δὲ καὶ Ἕλληνας ἐλθόντες
γίνεσθε μέρους βοηθοὶ, οὗ ἕκαστος θελήσει·
εἰ πρὸς τὸν Ἀχιλέα γαρ μάχοιντο μόνοι Τρῶες,
οὐδὲ βραχύ τι κατασχεῖν ἰσχύσουσιν ἐκεῖνον.
Φύσιν πλουτῶν ὁ Ὅμηρος ὑπὲρ ἀνθρώπου φύσιν,
ὢν τὲ φρενῶν θησαύρισμα καὶ νοῦς αἰθεροδρόμος,
καὶ θάλασσα καὶ πέλαγος, ὠκεανὸς χαρίτων,
πασῶν τεχνῶν τε λογικῶν ἀσύγκριτος ἀκρότης,
πανσόφοις πάντα χάρισι τὸν λόγον κεραννύει·
ὥς περ κἀνταῦθα νῦν ποιεῖ συγκεραννὺς μυρία·
ἐν τῷ τὴν μάχην λέγειν γαρ τῶν μυθικῶν θεῶν σοι,
τῶν συνεργούντων Ἕλλησι καὶ γένει τῷ τῶν Τρώων,
τοῦ μύθου τῷ γλυκάζοντι τέρπει τοὺς ἀπλουστέρους·
ῥητόρων δὲ δεινότητι καὶ τῇ φρενῶν πυκνώσει,
δοκεῖ τὸν Ἀχιλέα μεν πάντων ὑπερεξαίρειν·
δείκνυσι δὲ τὸ ἀληθὲς τῇ πρὸς Αἰνείαν μάχῃ,
καὶ λόγοις, οἷς ὁ Ἀχιλεὺς φησὶ πρὸς τὸν Αἰνείαν·

ἀλληγορῶν δὲ φυσικῶς, τέρπει σοφὰς καρδίας·
καὶ πράξεις γράφων χρονικὰς, διδάσκει καὶ προγνώσεις·
καὶ δὴ προσέχων, ἄκουε, πᾶν μου λεπτολογοῦντος.
Οἷα προάγγελα πολλὰ συμβαίνουσι σημεῖα
ἐπὶ μελλούσαις συμφοραῖς ἐθνῶν καὶ πολισμάτων,
καὶ διωνύμων δὲ ἀνδρῶν ἔν τισι τῶν στοιχείων·
οὕτω κτανθῆναι μέλλοντος καὶ Ἕκτορος τῷ τότε,
καὶ Τροίας δὲ τοῖς δόρασιν Ἑλλήνων πορθηθῆναι,
πρῶτον μὲν νέφος πάμπυκνον ἀέρος συγκινήσει,
τὸν οὐρανὸν ἐμέστωσεν ὑδάτων ἀνιμήσει,
τῶν ἐκ θαλάσσης, ἐκ πηγῶν, καὶ ποταμῶν, ἀλσῶν τε,
ἁπλῶς ἐκ τόπου σύμπαντος ὄντος ἐκ τῶν παρύγρων·
καὶ θάλασσα δ' ἐξέδραμε τούτης βρασμῷ τῆς κοίτης·
καὶ ζάλη γέγονε δεινὴ σύμμικτος τῶν στοιχείων,
καὶ καταιγίδες καὶ σκηπτοὶ, καὶ κεραυνοὶ, βρονταί τε,
ὄμβρων ῥαγδαίων χύσεις τε καὶ ποταμῶν πλημμύραι·
ὑφ' ὧν ἐπελαγίζοντο τῆς γῆς αἱ πεδιάδες,
ἐκλήψεις τῶν φωστήρων τε, σεισμοὶ, ῥηγμοὶ καὶ βόμβοι·
Ὅμηρος γέρων δ' ὁ χρυσοῦς δεινότητι ῥητόρων
τὰ πάντα ταῦτά σοι καλῶς νῦν προσωποποιήσας,
Δία φησὶ τὸν οὐρανόν· Θέμιν δ' αὖ ὀνομάζει
δύναμιν τὴν ἀνάγουσαν εἰς οὐρανὸν ἰκμάδας,
καὶ πᾶσαν φύσιν ἔνυγρον, ἥν περ καλεῖ καὶ Νύμφας·
Ὄλυμπον δὲ πολύπτυχον τὸν οὐρανὸν νῦν λέγει,
διὰ τὰς ζώνας τὰς αὐτοῦ· τὰς καθ' ἑτέρους σφαίρας·
αἵ περ ὀκτὼ τῷ ἀριθμῷ κατά τινας τελοῦσιν,
αἱ τῶν ἑπτὰ πλανήτων τε καὶ ἡ ἀπλανεστάτη,
ἐννέα καθ' ἑτέρους δὲ καὶ κατ' αὐτὸν τὸν Πρόκλον·
καὶ γὰρ τὴν γῆν συντάττουσι ταῖς σφαίραις τῶν ἀστέρων,
ὡς καὶ τοῖς ἔπεσιν αὐτοῦ Ἐρατοσθένης γράφει·
Ὄλυμπον μὲν πολύπτυχον, τὸν οὐρανὸν οὕτως πως,

τὴν νέφους δ' ἐπιστήριξιν ὡς πρὸς τὸν ἄνω τόπον,
θεῶν καθέδραν σοι φησὶν, ἐν ταῖς Διὸς αἰθούσαις·
ἤτοι, ὑπαίθροις καὶ θερμοῖς καὶ μετεώροις τόποις,
οὕς περ ὁ Ἥφαιστος, τὸ πῦρ, ὑπέστησεν ἀρχῆθεν·
τὴν δὲ θαλάσσης ἔκβρασιν τὴν τότε γεγονυῖαν,
ἀφ' ἧς καὶ τὸ λεπτότερον ἀνιμηθὲν ἀνήχθη,
μὴ παρακέσαντα φησὶ Θέμιδος Ποσειδῶνα,
ἀλλ' ἀνελθόντα σὺν λοιποῖς καὶ μέσον ἱδρυνθέντα,
ἀνερωτῶντα τε Διῒ, φωνὴν τὸν ἦχον λέγων·
μή τοι ἆρα τὸ βούλημα καθέστηκε τὸ τότε,
περὶ Ἑλλήνων Τρώων τε μάχης, καὶ τοῦ πολέμου;
καὶ οὐρανὸν τὸν Δία δε λέγοντα τούτῳ πάλιν·
ἔγνως δι' ἣν ἐκλήθητε νῦν Πόσειδον βουλήν μου·
τὸ ὕδωρ δ' Ἐνοσίγαιον ὁ Ὅμηρός σοι λέγει,
ὡς τῶν σεισμῶν παραίτιον, μακρηγορεῖν οὐ δέον·
τὸν οὐρανὸν τὸν Δία δε πλάττει συγκατανεύειν,
ὅτι οὕτως ἀπέβησαν τὰ πράγματα τῷ τότε·
μένει δ' ὁ Ζεὺς ἐν τῇ πτυχὶ καθήμενος Ὀλύμπου,
οἱ δ' ἄλλοι συγκατέρχονται πρὸς Ἕλληνας καὶ Τρῶας·
ὅτι ἀὴρ ὁ οὐρανὸς, ἀνωφερὲς στοιχεῖον,
ὡς ἔστι πλέον, ὁ αἰθήρ· τὸ πῦρ δὲ, ἐπὶ πλέον·
τὸ ὕδωρ δὲ, βαρύτερον, κατωῤῥεπὲς τυγχάνει·
ἡ λαλιὰ δὲ τοῦ Διὸς Κρονίδου, τοῦ ἀέρος,
τοῦ ἐξ Ἐρέβους, Κρόνου πρὶν καὶ χάους γεννηθέντος,
πνεῦμα δεινὸν καὶ βίαιον, κλονῆσαν τὰ στοιχεῖα·
ὃ συμβουλὴν πρὸς πόλεμον, θεῶν νῦν ὀνομάζει·
ἡ Ἥρα μὲν καὶ Ἀθηνᾶ καὶ οἱ λοιποὶ οὓς λέγει
ἔβαινον πρὸς βοήθειαν Ἑλλήνων· οἱ δὲ Τρώων·
νῦν σοι κατὰ προέκθεσιν καὶ προκατάστασίν δε
θεοὺς Ἑλλήνων συνεργοὺς καὶ τοὺς τῶν Τρώων λέγει·
τὴν συμβολὴν τῆς μάχης δε τούτων, προβαίνων εἴποι·

ἡμεῖς δὲ νῦν ἐροῦμεν σοι τίνα στοιχεῖα τάδε,
καὶ πῶς τὰ μὲν τοῖς Ἕλλησι, τὰ δὲ Τρωσὶ συνήργει.
Ἥρα, αἰθήρ· ὁ καθαρὸς, λεπτομερὴς ἀήρ τε·
ἡ Ἀθηνᾶ, ὁ πρόσγειος καὶ καθαρὸς ἀήρ δε,
ὡς Ὅμηρος τοῖς ὄπισθεν ὑπέδειξε ταδί μοι,
οὕτω κατ' ἔπος τὰ ῥητὰ προσενεγκὼν ἐκεῖσε·
» Πλησίαι αἵγ' ἥσθην· κακὰ δὲ Τρώεσσι μεδέσθην·
καὶ πάλιν, ἐμφανέστερον οὐ μύθῳ κεκρυμμένῳ
ἐλάτη δὶ ἠέρος τίς ἵκανεν εἰς αἰθέρα·
οὕτως ἡ Ἥρα, ὁ αἰθήρ· ἀὴρ, ἡ Ἀθηνᾶ δε·
ὁ Ποσειδῶν, ἡ θάλασσα· γῆν ὁ ὀχῶν, βαστάζων·
Ἑρμείας Ἐριούνης δε, καὶ ὠφελῶν μεγάλως·
πυρὰ, τὰ διεκτρέχοντα ἐν καθαρῷ ἀέρι·
ἃ γίνεται κινήσεσιν ἀνέμων κεκραμένων,
λυσιτελῶν, καὶ τὸ ὑγρὸν πᾶν ἐκπυρηνιζόντων·
Ἥφαιστος, ἡ θερμότης δε ἀέρος, ἐξ ἡλίου,
ὃς βλεμμεαίνει ἄγριον, καὶ καυστικόν τι φαίνει·
κυλλοποδίων καὶ χωλὸς, οὕτω πῶς κεκλημένος,
δὶ ἃς περ τρεῖς εἰρήκειμεν σοὶ πρότερον αἰτίας.
καὶ ὅτι ἄκρατον τὸ πῦρ καὶ ἀμιγὲς ὑπάρχον,
οὐ κίνησιν εἰς γέννησιν, ἀλλὰ φθορὰν εἰσφέρει·
ταῦτα Ἑλλήνων συνεργὰ καὶ συμμαχοῦντα ἦσαν·
οὖσιν ἐν ἐκστρατείᾳ γαρ τοῖς Ἕλλησιν, ὡς οἶδας,
στρατοπεδευομένοις τε τοῖς τόποις τοῖς ὑπαίθροις,
οὐκ ἐν οἰκίαις οὖσι δε, καὶ τείχει πολισμάτων
ὅτε λεπτομερέστερος ἀὴρ καὶ καθαρός δε,
ἔτι τε, ὁ παχύτερος πλὴν καθαρὸς καὶ οὗτος,
συνείργει τούτοις ποσαπλῶς εὐδίῳ καταστάσει·
ἄνευ πελμάτων καὶ πηλοῦ βαδίζειν μὲν τὸ πρῶτον·
ὕπνον καθεύδειν. ἄνομβρον· κἂν γέμοντα μερίμνης·
ῥαδίως ξυληγεῖσθαι τε καὶ τέμνειν δὲ καὶ χόρτον·

χλόην τοὺς ἵππους νέμεσθαι, χειμῶνος μὴ ὀχλοῦντος·
τὰς τῶν βελῶν πτερώσεις τε καὶ τὰς νευρὰς τῶν τόξων,
καὶ νεῦρα πλέον τὰ αὐτῶν χειμῶνι μὴ χαυνοῦσθαι·
οὕτως συνήργουν Ἕλλησιν ἡ Ἀθηνᾶ καὶ Ἥρα·
ὁ Ποσειδῶν, ἡ θάλασσα. τούτοις συνείργει πάλιν
καὶ ὁ Ἑρμῆς, ἡ κίνησις πνευμάτων κεκραμένων,
ὡς δὲ ὁλκάδων πνεύμασιν εὐκράτοις καὶ προσφόροις,
κομιζομέναις ἅπαντα τὰ χρησιμοῦντα τούτοις·
οἱ ἄνεμοι καὶ πνεύματα πῶς μεγαλωφελῆ δε.
ὡς πᾶν φυτὸν ἐκτρέφοντες, κομίζοντες ὁλκάδας,
ὡς εὐζωΐας αἴτιοι, τί δεῖ μηκύνειν λόγους;
Ἥφαιστος, ἡ θερμότης δε ἀέρος ἐξ ἡλίου,
ὅσα συνήργει τῷ στρατῷ τῷ τῶν Ἑλλήνων, οἶδας·
οὕτω θεοὺς στοιχειακῶς ἐνθάδε σύ μοι νόει·
πραγματικῶς δὲ μηδαμῶς· μή δέ γε ψυχικῶς μοι·
μὴ δ' ἀστρονομικώτατα τούτους ἀστέρας νόει·
ἀλλ' ὥς περ εἶπον σοι, ταυτὶ στοιχειακῶς μοι νόει
τοῖς Ἕλλησιν, ὡς ἔφημεν, οὕτω λυσιτελοῦντα·
ἤδη δὲ λέξω τοὺς θεοὺς τῶν Τρώων τοὺς συμμάχους.
Κορυθαίολος Ἄρης μὲν, πῦρ ἄτακτον καὶ ζάλη·
οἷον τὸ πῦρ τῶν κεραυνῶν, ὃ ζάλης καὶ χειμῶνος·
κοριθαίολος φέρει δε τοῦτο τὸ πῦρ τὴν κλῆσιν,
τοῖς ἄνω τόποις ὡς ποιοῦν ποικίλας τὰς ἑλίξεις·
Τρώων δ' ὑπῆρχε συνεργὸν, τοὺς Ἕλληνας ὡς βλάπτον·
Φοῖβος Ἀπόλλων, ἥλιος· τὸ φάος τὸ τοῦ βίου·
ἀκερσεκόμης, δ' ὁ μακρὰς ἀκτῖνας κεκτημένος·
πῶς δὲ συνήργει τοῖς Τρωσὶ, πῶς ἦν Ἑλλήνων βλάβη;
τῷ μὲν θερμῷ τοῖς Ἕλλησι τὰ μέγιστα συνήργει,
ὅ περ καὶ Ἥφαιστον φησὶ. βολαῖς δὲ τῶν ἀκτίνων
ἐν τῷ πολέμῳ μέγιστα τοὺς Ἕλληνας ἐστρόβει,
μέγα συνήργει δὲ Τρωσί· λάμπων τῶν μὲν κατόπιν,

Ἑλλήνων δὲ πρὸ πρόσωπον μέχρι καὶ μεσημβρίας·
Λητώ τε καὶ ἡ Ἄρτεμις, αὐτὴ ἡ Ἀφροδίτη·
Λητὼ νῦν, νὺξ ἡ σκοτεινὴ, Ἄρτεμις ἡ σελήνη·
ἄϛρων καὶ τῶν ἀϛέρων δε κρᾶσις, ἡ Ἀφροδίτη·
ταῦτα Τρωσὶ δὲ ὄφελος· Ἕλλησι δ' ἦσαν βλάβος·
οἱ Τρῶες καταϛέροις γαρ νυξὶ καὶ πανσελήνοις,
καὶ ἀσελήνοις δὲ νυξὶ, καταδρομαῖς λαθραίαις,
τοῖς Ἕλλησιν εἰργάζοντο τὰ δυσχερῆ παντοῖα·
ἵππους ἐλαύνοντες αὐτῶν, συλῶντες τὲ μυρία,
καὶ καταδορατίζοντες καὶ κτείνοντες ὁπόσους·
καὶ Σκάμανδρος ὁμοίως δε, Τρωσὶ μὲν ἐβοήθει.
Ἕλλησι δ' ἦν ἀντίθεος· οἷς περ ἀκούσῃ λόγοις·
ὑπῆρχον γνώριμοι Τρωσὶν οἱ πόροι τȣ̃ Σκαμάνδρου,
δι' ὧν νυξὶν ἐκτρέχοντες, τοὺς Ἕλληνας ἐκάκουν·
κἂν ταῖς ἡμέραις πάλιν δε, λοχῶντες λόχμαις τούτου,
πολλȣ̀ς ἀνῄρουν ἀπ' αὐτῶν, αἴφνης ἐπιδραμόντες·
οὕτω Τρωσὶ προςβοηθῶν ὁ Σκάπανδρος ὑπῆρχε·
τοῖς Ἕλλησιν ἀπείροις δε τῶν πόρων ὑπηργμένοις,
ἦν πύργος καὶ ἀντίφραγμα, χωρȣ̃σι κατὰ Τρώων·
καὶ ἄλλως Τρώων βοηθὸν τὸν Σκάμανδρον νῦν λέγει·
ὅτι ῥαγδαίων ὑετῶν αἴφνης καταῤῥαγέντων
ὡς περαιτέρω σοι σαφῶς ὁ Ὅμηρος διδάξει,
ὑπερκοιτήσας τῇ πολλῇ χύσει τῇ τῶν ὑδάτων,
μικρȣ̃ δεῖν ἂν ἀπέπνιξε τότε τὸν Ἀχιλέα.
θεοὺς Ἑλλήνων βοηθοὺς καὶ Τρώων ἠκηκόεις.
ἄκουε τȣ́των ἔριδα καὶ συμβολὴν τῆς μάχης·
Ὦρτο μὲν ἔρις καρτερά· ἐβόα δ' ἡ Ἀθήνη·
ποτὲ παρὰ τὴν τάφρον μεν, ὁτὲ πρὸς τὰς ἀκτάς δε·
ὁ Ἄρης δ' αὖ ἑτέρωθεν αὔε Τρωσὶ κελεύων,
ἐξ ἀκροπόλεως ποτέ· ποτὲ πρὸς τῷ Σιμȣ̃ντι·
ὦρτο μὲν ἔρις, σύγχυσις γέγονε τῶν ϛοιχείων·

ἡ Ἀθηνᾶ δ' ἐβόησε, λαίλαψ δεινὸς ἐβόμβει·
ὁ Ἄρης ἄτακτον δὲ πῦρ δεινῶς ἐςρατηλάτει·
τὸ πνεῦμα τὸ ὀράνιον, ὁ ὀρανὸς αὐτός δε,
ὁ καὶ πατὴρ καθέςηκεν ἀνθρώπων καὶ ςοιχείων,
δεινὸν κροτήσει τῶν νεφῶν ἐβρόντησε τῷ τότε·
τὸ δ' ὕδωρ, ὁ καὶ Ποσειδῶν, ἐκ βάθρων, καὶ κρηπίδων,
πᾶσαν τὴν γῆν ἐσάλευσε σεισμῷ φρικοδεστάτῳ·
καὶ μύκημα δὲ βίαιον ἐκ γῆς ἐχώρει στένον·
ὅ περ βοὴν νῦν Ὅμηρος Ἄδȣ κατονομάζει·
τὴν δ' ἐκ τῶν βάθρων κίνησιν ταύτης τῶν κατωτέρων,
ἅ περ καὶ Ἅδης λέγεται πᾶσι μυθογραφȣ̃σιν,
ἅλμα τȣ̃ Ἅδου Ὅμηρος ἐκ θρόνων τȣ̃του λέγει.
Τόσος ἦν κτύπος τῶν θεῶν ἔριδι ξυνιόντων,
τόσος ὁ κτύπος γέγονε συγχύσει τῶν στοιχείων.
Ἄντα τȣ̃ Ποσειδῶνος μεν, εἶχεν Ἀπόλλων βέλη·
ὄμβροι μὲν κατεφέροντο βίαιοι καὶ ῥαγδαῖοι,
καὶ ἥλιος ὑπέφαινεν ἅμα βραχὺ σὺν ὄμβροις·
Ἄντα Ἐνυαλίȣ δε ἵστατο ἡ Ἀθήνη·
ἀντία δὲ τȣ̃ Ἄρεος, ἤτοι πυρὸς ἀτάκτου,
πυρὸς ἀτάκτου λέγω δε κεραυνοβολημάτων·
ἡ Ἀθηνᾶ καὶ ὁ ἀὴρ, ὕδασι πάχος σχȣ̃σα,
ἡ γὰρ ὑγρότης τῷ πυρὶ πάντως τῶν ἐναντίων.
Ἥρῃ δ' ἡ χρυσηλάκατος ἡ Ἄρτεμις ἀντέστη·
τῷ λεπτομερεστέρῳ δε ἀέρι αἰθερίῳ,
ὅ περ κινεῖ μὲν πνεύματα καὶ νέφη συνταράττει,
σελήνη νῦν ἡ Ἄρτεμις χρυσοβελὴς, χρυσάκτιν,
ἀντέτεινεν· ἀνθίστατο τῇ τῶν νεφῶν κινήσει·
κελαδεινὴν δ' ὁ Ὅμηρος νῦν τὴν σελήνην λέγει,
διὰ τὰ κυνηγέσια καὶ τὰς κραυγὰς τὰς τȣ̃των·
ἐν ἐνσελήνοις γὰρ νυξὶν οἱ παλαιοὶ ἐθήρων·
τὴν δὲ σελήνην ἀδελφὴν ἡλίου καλεῖν θέλει,

οὐ θυγατέρα τούτου δὲ καθὼς δοκεῖ τοῖς ἄλλοις,
οὐκ ἀγνοῶν δανείζεσθαι ταύτην ἡλίῳ σέλας.
τῷ τῆς δημιουργίας δὲ λόγῳ κατονομάζει
ταύτην ἡλίου ἀδελφὴν, ἄμφω καὶ γὰρ παρήχθη
τέλεια καὶ ὁλόκληρα δημιουργίας λόγῳ·
οὕτω τῇ Ἥρᾳ Ἄρτεμις ἀντέστη, ἡ σελήνη.
Λητοῖ, νυκτί δὲ σκοτεινῇ, ἀντέστη ὁ Ἑρμείας·
πυρὰ τὰ μερικώτερα τῶν πνευματωδεστέρων,
οἵων ἀστέρων χύσεις δὲ, δοκίδες, καὶ τοιάδε
ἠναντιοῦτο τῆς νυκτὸς τῷ ζοφερῷ τῷ τότε.
Ἓν δὲ Λητὼ καὶ ὁ αἰθὴρ κατά τι ὑπηργμένα·
ἓν δὲ καὶ Ἄρης καὶ Ἑρμῆς, ὡς ἕτερα ἑτέροις,
κατά τι διαφέρουσιν ἅ περ τανῦν μοι μάθε·
Ἡ μὲν Λητὼ, ἡ νύξ ἐστιν· ὡς φέρουσα δὲ ὕπνον·
τὴν ληθεδόνα τῶν κακῶν, Λητὼ κατωνομάσθη·
καὶ ὁ αἰθὴρ δὲ, νύξ ἐστιν· εἰ μὴ γὰρ νὺξ ἐπέλθοι,
τίς διακρίνειν αἰσθητῶς αἰθέρα οὐκ ἰσχύει,
ἂν τοὺς ἀστέρας ἴδοι δε, γινώσκει τὸν αἰθέρα·
ὡς μὲν οὖν ὑπνοδότειραν, τὴν νύκτα Λητὼ λέγει,
ὡς πυραυγῶν ἀστέρων δε γεννήτριαν, αἰθέρα,
κἄνπερ ὁ Σταγειρόθεν σοι οὐχ' οὕτω δογματίζῃ·
Ἔγνως τὴν Ἥραν καὶ Λητώ· πάλιν Ἑρμῆς καὶ Ἄρης,
πυρὰ μὲν καὶ ἀμφότερα, καὶ κατὰ τοῦτο, ἔντι·
ἀλλ' ἡ πνευματωδέστερον καὶ ἀφλεγὲς, Ἑρμείας·
ἡ δὲ σφοδρὸν καὶ καυστικὸν ἄτακτον ἔχον ῥύμην,
Ἄρης κατονομάζεται, καὶ τὰ λοιπὰ, ὁμοίως.
Σῶκον καὶ Ἐριούνην δε, πνεῦμα πυρῶδες λέγει,
ὡς σωστικὸν λυσιτελὲς, καὶ διεκτρέφον πάντα·
τοῖς ψυχικοῖς, ἑτέρως δὲ τοῖς πρακτικοῖς, ἀλλοίως.
Τῶν μὲν λοιπῶν ἀκήκοας θεῶν ἐπωνυμίαν·
ἄντιος τοῦ Ἡφαίστου δὲ ἦν ποταμὸς ὁ μέγας

ὃν οἱ θεοὶ καὶ οἱ σοφοὶ, Ξάνθον καλοῦσι κλῆσιν,
Σκάμανδρον πάντες δὲ βροτοί· ἤτοι, ἀσόφων γένος·
πῶς ἐναντίος Σκάμανδρος Ἡφαίστῳ δὲ ὑπῆρχεν;
ὅτι καὶ θέρμης οὔσης μὲν ἡλιακῶν ἀκτίνων,
ὅμως ὁ Ξάνθος ταῖς βροχαῖς, ἐξέδραμε τῆς κοίτης·
ὅτέ περ ἔμελλε βολαῖς κλύζειν τὸν Ἀχιλέα,
κἂν πάλιν ἀνθυπέδραμε πρὸς κοίτην τὴν οἰκείαν,
καὶ ταῖς ἀκτῖσι θερμανθεὶς, ἀνέπεμπεν ἰκμάδας·
ἅς περ πρὸς Ἥραν δέησιν κατονομάζει Ξάνθου·
πλὴν ἀλλὰ πρόσχες ἀκριβῶς, βαθύς ἐστιν ὁ γέρων.
καὶ παίζων τοῖς μυθώδεσιν ἠπάτησε μυρίους·
μὴ ἐν ἡμέρᾳ σύμπαντα ταῦτα γενέσθαι δόξῃς·
στοιχειακῶς γὰρ ὁ Ἑρμῆς πῶς ἐν ἡμέρᾳ λέγει
Λητοῖ ἀντέστη τῇ νυκτὶ, αἰθέρι δὲ σελήνη,
νοεῖν γὰρ ταῦτα ψυχικῶς, ἐσχάτης ἀγνωσίας·
ἀλλ' οὕτω λέγει προφανῶς ὁ γέρων καὶ διδάσκει,
ὅτι τῷ τότε σύγχυσις ἐτέλει τῶν στοιχείων
ἐν ταῖς ἡμέραις καὶ νυξὶν, οὐ μὴν ἡμέραις μόνον·
Ἀπόλλων ὁ Αἰνείαν δὲ κατ' Ἀχιλέως ὄρσας
ὁμοιωθεὶς Λυκάονι, παιδὶ τῷ τοῦ Πριάμου.
αὐτός ἐστὶν ὁ ἥλιος· ὃν περ ἰδὼν Λυκάων
λάμποντα κατὰ πρόσωπον στρατοῦ τοῦ τῶν Ἑλλήνων,
καὶ Ἀχιλέα βλάπτοντα πρὸς συμβολὰς τῆς μάχης,
τῷ Ἀχιλεῖ μονομαχεῖν, λόγοις Ἀνείαν πείθει.
Ὁ Ζεὺς, ἡ εἱμαρμένη νῦν· Ἀθήνη, πανουργία·
θεῶν δὲ εἷς ὁ τὸν λοιγὸν τῷ Ἀχιλεῖ ἀμύνων,
θυμὸς καὶ εὐτυχία δε· δόλοι, καὶ πανουργίαι·
εἰ δὲ θεὸς ὁ πόλεμος ἢ καὶ θυμὸς ἐνθάδε·
θεοῖς ἀειγενέτῃσιν· αὐτῇ τῇ εἱμαρμένῃ,
τῇ ἐκ τῶν ἄστρων ἅμα τε καὶ δρόμου τῶν ἀστέρων·
καὶ σὲ δὲ κόρης τοῦ Διὸς φησὶ τῆς Ἀφροδίτης.

ἤτοι, ὡραίας θυγατρὸς Διὸς, νῦν βασιλέως·
ὁ Ἀχιλεὺς δὲ, χείρονος θεᾶς. ἤτοι ἀρχούσης·
ἡ σὴ γὰρ μήτηρ, παῖς Διὸς, τουτέστι βασιλέως·
ἡ Ἀχιλέως μήτηρ δὲ τοπάρχου θαλασσίου,
ἡ Ἥρα δ' ἣν οὐκ ἔλαθεν ὁ παῖς ὁ τοῦ Ἀγχίσου,
εἰποῦσα τὲ ἃ εἴρηκε πρὸς Ποσειδῶ Ἀθήνη,
πνεῦμα κινῆσαν θάλασσαν ἐστὶ καὶ τὸν ἀέρα,
ὃ τάχα καὶ ἀντέτεινεν ἡλίου ταῖς ἀκτῖσι,
κἂν οὐ κατίσχυσαν αὐτὸν νεφώσει συγκαλύψαι·
» Πάντες δ' οὐλύμποιο κατήλθομεν ἀντιόωντες·
Ἐμπεδοκλῆς καὶ Στωϊκοὶ θέρος φασὶν ὑπάρχειν
πύκνωσιν κάτω τοῦ πυρός· χειμῶνα δ' ἀντιστρόφως
ἀέρος εἶναι πύκνωσιν, ὡς πρὸς τὸ ἄνω μέρος.
Ὅμηρος ἐν τῷ ἔπει δὲ ᾧ περ τανῦν εἰρήκειν,
φαίνεται καὶ τὴν πάχυνσιν ἀέρος εἰς τὸ κάτω,
ὡς ἀλλοχοῦ ἀνίμησιν ὑδάτων εἰς τὸ ἄνω·
χειμῶνα ὁριζόμενος καὶ περιτράνως λέγων,
» εἰδ' Ἀχιλεὺς οὐ ταῦτα θεῶν ἐκπεύσεται ὀμφῆς·
εἰ Ἀχιλεὺς οὐ μάθοι δὲ ταῦτα ἐκ μαντευμάτων,
θεῶν, ἀστέρων, ἢ σοφῶν, εἴ τε καὶ τῶν στοιχείων·
τουτέστιν, ἅ τε δὶ αὐτῆς τῆς ὑδατομαντείας,
ἢ ψυχικῶν δυνάμεων, ἤτοι φρεσὶν οἰκείαις·
δήσειν, ὁπότε τίς θεὸς κατεναντίον ἔλθοι·
θεοὺς, τὸ πῦρ, καὶ ὕδωρ δε καὶ τὰ λοιπὰ νῦν λέγει·
αἰνίττεται δὲ Σκάμανδρον μέλλοντα τοῦτον κλύζειν·
τὸ, χαλεποὶ δὲ οἱ θεοὶ βροτοῖς ὁρᾶσθαι μάχαις.
δύσκολον μάχεσθαι φησὶ θνητὸν πρὸς τὰ στοιχεῖα.
πρὸς γῆν, πρὸς πῦρ, πρὸς ὕδατα, πρὸς ἄλλο τῶν στοιχείων·
τὸ, Ἥρα περιῆψε δὲ πανσόφως νῦν τοὺς λόγους,
καὶ Ποσειδῶνα λέγουτα πρὸς ταύτην παρεισφέρει.
ὡς ἐξ ἀέρος τοῦ λεπτοῦ πνευμάτων κινηθέντων

μετ' ἤχου τε τὴν θάλασσαν, σφῆς ἐκβρασάντων κοίτης,
μέχρι τοῦ τείχους, ὃ φασὶ τεῖχος τοῦ Ἡρακλέος·
ἐγὼ θεοὺς οὐ θέλω νῦν ἔριδι ξυνελάσθαι·
» Ἀλλ' ἡμεῖς μὲν ἔπειτα καθεζόμεσθα κιόντες
» ἐκ πάτου ἐς σκοπιήν· πόλεμος δ' ἄνδρεσσι μελήσει·
» εἰ δέ κ' Ἄρης ἄρχησι μάχης, ἢ Φοῖβος Ἀπόλλων,
» ἢ Ἀχιλῆ' ἴσχωσι καὶ οὐκ εἰῶσι μάχεσθαι,
» αὐτίκ' ἔπειτα καὶ ἄμμι παρ' αὐτόφι νεῖκος ὀρεῖται
οὔπω ἀκμὴν ἡ σύγχυσις γέγονε τῶν στοιχείων·
ἔμελλε δ' ἤδη γίνεσθαι· ὅθεν τὸ ὕδωρ λέγει·
νῦν μὲν ἐκτὸς ἐκ τῆς ὁδοῦ καὶ τοῦ προφανεστάτου
αὐτὸς φησὶ καθέζεσθαι, ἤγουν ἐφησυχάζειν·
ἂν ἄτακτα δὲ Ἄρεος πυρά τινα φανείη,
εἴτε καὶ κατὰ πρόσωπον ἥλιος Ἀχιλέως,
ἢ Ἀχιλέα Σκάμανδρος τῆς μάχης ἀποπαύει,
αὐτίκα μάχην καὶ ἡμεῖς συμβάλωμεν ἀλλήλοις,
οἶμαι στραφῆναι τάχει δὲ πρὸς οὐρανὸν σὺν νίκῃ·
ῥητῶς δ' εἴργειν τὸν Σκάμανδρον, οὐκ εἶπεν Ἀχιλέα,
ὅτι τὸ ὕδωρ Ποσειδῶν, καὶ Σκάμανδρος δὲ ὕδωρ,
καὶ πῶς ὕδωρ τῷ ὕδατι πολέμιον φανείη;
ἀλλ' ὁ παχὺς καὶ ἔνυγρος ἀὴρ ὁ ἐξ ὑδάτων,
ἡλίου παύσει τὰς βολὰς μὴ βλάπτειν Ἀχιλέα·
εἶτα δὲ καὶ τὸν Σκάμανδρον ἐκ τῆς ὀμβροβλυσίας,
ἀνακυμήναντα δεινὸν σφῆς κοίτης ἐκδραμόντα,
καὶ Ἀχιλέα μέλλοντα τοῖς ῥεύμασι συμπνίγειν,
ἥλιος ἐξικμάσειε θερμότητι προσλάμψας,
ὅ περ καὶ Ἥφαιστον καλεῖ, δεινὸς ὢν λογογράφος·
ὅπως μὴ τὸν Ἀπόλλωνα, τὸν ἥλιον δὲ λέγω,
ὃν εἶπε Τρώων σύμμαχον, δείξῃ καὶ τῶν Ἑλλήνων,
νομίζω τούτους δὲ νικᾶν ὁ Ποσειδῶν εἰρήκει,
ὅτι τότε συμβέβηκεν οὕτω γενέσθαι ταῦτα,

στοιχεῖα ἡττηθῆναι τὲ τὰ σύμμαχα τῶν Τρώων,
ἄλλοις καιροῖς δ' ἐγένετο τὰ τούτοις ἐναντία·
» Ὣς ἄρα φωνήσας, ἡγήσατο Κυανοχαίτης
» τεῖχος ἐς ἀμφίχυτον Ἡρακλῆος θείοιο·
τὸν μετὰ ἤχου ἐκβρασμὸν τὸν τότε τῆς θαλάσσης,
φωνήν τε καὶ προήγησιν φησὶ τοῦ Ποσειδῶνος·
Κυανοχαίτην λέγει δε, ὡς ζάλης κινουμένης,
θαλάσσης οἰδαινούσης τε καὶ συμμελαινουμένης·
» Ἔνθα Ποσειδάων κατ' ἄρ' ἕζετο καὶ θεοὶ ἄλλοι,
» ἀμφὶ δ' ἄρ' ἄῤῥηκτον νεφέλην ὤμοισιν ἕσαντο·
ἤτοι τὸ ὕδωρ καὶ ὑγρὸν καὶ νέφος πνευματῶδες
ἦσαν πρὸς οἷς εἰρήκειμεν τόποις τῆς Τροίας μέρος,
ἀρεϊκαὶ δὲ σελασμοὶ καὶ κεραυνῶν ἐκχύσεις,
ἅμα θ' ἡλίῳ λάμποντι ἑτέρωθεν ὑπῆρχον·
τὸ μήπω συγχυθῆναι δε ταῦτα πρὸς μίαν ζάλην,
βουλὰς αὐτῶν καὶ ἄοκνον πρὸς μάχην εἶναι λέγει·
τὸ Ζεὺς δὲ, τὸ οὐράνιον πνεῦμα ἐκίνει ταῦτα·
ὅ περ Διὸς νῦν κέλευσιν ὁ γέρων ὀνομάζει.
» Ἦγον· ἀτάρ σε Ζεὺς ἐῤῥύσατο καὶ θεοὶ ἄλλοι·
Ζεὺς ὁ ἀστὴρ ὡς καὶ θεοὶ οἱ ἄλλοι τῶν ἀστέρων,
ἐξ ὧν τῷ βίῳ γίνεσθαι φασὶ τὰ εἱμαρμένα·
ἡ Ἀφροδίτη νῦν δηλοῖ ἀπέραστον ὡραῖαν·
» Δάρδανον αὖ πρῶτον τέτοκεν νεφεληγερέτα Ζεύς·
τὸ Ζεὺς νῦν. βασιλεὺς δηλοῖ, τὸ νεφεληγερέτα
ὁ γέρας σχὼν καὶ τὴν τιμὴν ἐκ νεφελῶν, ἐξ ὕψους,
ἤγουν ἐξ εἱμαρμένης τε καὶ μοίρας οὐρανίας·
» Τὸν καὶ ἀνηρείψαντο θεοὶ Διῒ οἰνοχοεύειν
» κάλλεος εἵνεκα οἷο, ἵνα ἀθανάτοισι μετείη·
τὸν ὂν θεοὶ, νῦν οἱ σοφοὶ καὶ τέχνης ἀστρολόγων·
ἀπὸ τῆς γῆς ἀνήρειψαν· ἤγουν, ἐξῆραν ἄνω,
τουτέστιν, ἠστροθέτησαν διὰ τὸ κάλλος τούτου,

ἵνα σὺν ἀθανάτοισι καὶ ἄστροις συμπαρείη,
καὶ τῷ Διῒ καὶ οὐρανῷ καλῶς οἰνοχοεύῃ·
ὁ ὑδροχόος γὰρ αὐτός ἐστὶν ὁ Γανυμήδης·
» Ζεὺς δ' ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τὲ, μινύθει τε·
ἡ ἐκ τῆς εἱμαρμένης δὲ μοῖρα καὶ πεπρωμένη,
καὶ στρατιώτου καὶ σοφοῦ καὶ τῶν λοιπῶν ἁπάντων,
τὰς τεχνικὰς τὰς ἀρετὰς ἤτοι τὰς προτερήσεις,
καὶ ἐλαττοῖ καὶ αὔξει δὲ κατὰ τὰς εὐτυχίας·
θεῶν ἐρικυδέα δὲ δῶρα κατονομάζει
τὰ ἔργα, ἃ ποιήσουσι σοφοί τινὲς τεχνῖται,
ἐπεί περ πέντε ἤλασε πτύχας Κυλλοποδίων,
(αὐτὸ) τὸ πῦρ ὥς περ φησὶ, πλὴν ἐν χερσὶ τεχνίτου·
ὁ Ποσειδῶν ἡ θάλασσα, ὁ σώσας τὸν Αἰνείαν·
ᾧ περ καὶ λόγους Ὅμηρος, οὕς περ φησὶ, προσάπτει,
φεύγων διὰ θαλάσσης γαρ ἐνώθη καὶ τῶν πλοίων·
δῶρα θεοῖς τοῖς ἔχουσι τὸν οὐρανόν δὲ λέγει,
αὐτοῖς ὁμοῦ τοῖς ἄστρασιν, ἤγουν τῇ εἱμαρμένῃ·
Κρονίδης, ἡ ἀόρατος τυγχάνει πεπρωμένη·
πῶς δ' Ὅμηρε χολώσεται ἡ εἱμαρμένη λέγε;
ἂν τὸν Αἰνείαν Ἀχιλεὺς ἀνεῖλε τῷ πολέμῳ,
ἐπεὶ ὡς γράφεις, μόρσιμος ἐστὶν ἐκπεφευγέναι,
παῖζε καὶ γέλα καπυρὸν. Τζέτζην γελᾷν μὴ δόκει,
χρῶ μὲν τῷ καθ' ὑπόθεσιν σχήματι παίζων οὕτω·
εἰ τοῦτον κτείνει Ἀχιλεὺς χολώσεται Κρονίδης,
ἀλλ' οὐχ ὑπάρχει μόρσιμος θανεῖν ὑπ' Ἀχιλέως·
Κρονίδης Δάρδανον φιλεῖ, ἤτοι ἡ εἱμαρμένη,
ἤγουν ὑπῆρχεν εὐτυχὼν ὁ Δάρδανος ἐν βίῳ·
Πριάμου πάλιν γενεὴν ἤχθηρεν ὁ Κρονίων,
ἡ εἱμαρμένη λέγει σοι ἐμίσησεν ἐκείνους·
» Τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη·
Ἥρα ὡς ἔφαμεν αἰθὴρ. καὶ τὸ πυρῶδες πνεῦμα·

ἀὴρ δὲ πάλιν ὁ παχὺς ἡ Ἀθηνᾶ τυγχάνει.
ἐπεὶ νυκτὶ δὲ γέγονεν ἡ πόρθησις τῆς Τροίας,
ὄντος καὶ τοῦ ἀέρος μεν τῷ τότε χειμερίου·
νῦν δὲ πνεῦμα λεπτότερον τὴν θάλασσαν ἐκίνει,
ὡς Ἥρας τοῦτο πρόσωπον ὁ Ὅμηρος εἰσάγει,
λαλοῦν ὡς πρὸς τὴν θάλασσαν δῆθεν τὸν Ποσειδῶνα.
ὅσα τοῖς ἔπεσι φησὶ δεινότητι ῥητόρων·
τίς ἡ ἀχλὺς, ἣν Ποσειδῶν τῷ Ἀχιλεῖ ἐποίει;
ἡ κρύψις, ἣν ἐκρύπτετο φεύγων Αἰνείας τότε,
διὰ θαλάσσης τε αὐτῆς καὶ πλοίων τῶν Ἑλλήνων,
μέχρι περ οὗ πρὸς ἔσχατα ἐξήχθη τοῦ πολέμου.
ὁ Ποσειδῶν δ' ὁ προσλαλῶν Αἰνείᾳ, οὐδεὶς ἄλλος,
αὐτὸς δ' Αἰνείας πρὸς αὐτὸν σωθεὶς θαλάσσῃ λέγει·
εἰ μὴ διὰ θαλάσσης τε φεύγων καὶ τοῦ ναυστάθμου
τὸν Ἀχιλέα ἦν φυγὼν, πάντως ἂν ἀνῃρέθη·
τίς με θεῶν, ἀστέρων τε, τὰς φρένας παραβλάψας,
πρὸς Ἀχιλέα συμβαλεῖν παρώτρυνεν ἐν μάχῃ;
ταῦτα Αἰνείας πρὸς αὐτὸν ἦν λέγων ἁρμοδίως
Ὅμηρος δὲ γλυκύτερον χρῄζων ποιεῖν τὸν λόγον,
τὸν Ποσειδῶνα φέρει σοι δῆθεν λαλοῦντα ταῦτα·
Αἰνείας φίλος δὲ θεοῖς, φίλος τῇ εἱμαρμένῃ,
τουτέστιν, εὐτυχέστατος ἐστὶ καὶ ὁ Αἰνείας·
» Οὐδέ κ' Ἄρης ὥσπερ θεὸς ἄμβροτος, οὐδέ κ' Ἀθήνη·
οὐδὲ τὸ πῦρ τῶν κεραυνῶν ἀήρ τε βιοτρόφος·
μαχοίμην ἀθανάτοισι, τουτέστι τοῖς στοιχείοις,
τουτέστι γῇ καὶ ὕδασιν, ἀέρι καὶ πυρί δε·
Ἀπόλλων Ἕκτορι φησὶ, τῷ Ἀχιλεῖ μὴ μάχου,
ἤγουν ὁ Ἕκωρ ἔγνωκεν ἐκ τοῦ ἡλίου μόνος
ὡς οὐ χρεὼν νῦν προμαχεῖν αὐτὸν κατ' Ἀχιλέως·
οὐ γὰρ λαμπρὸς ἦν ὥσπερ πρὶν οὐδὲ κατ' Ἀχιλέως,
ὃν νύμφη τέκε τίς Νηῒς, ὃς σκότιος ὑπῆρχε,

ῥιφεὶς κατά τινα πηγὴν ἐν καταδένδρῳ τόπῳ·
κεῖται θεῶν ἐν γένασι, καμπῇ τῆς εἱμαρμένης,
ἐν τῇ στρεπτῇ καὶ τῇ λοξῇ ἀδήλῳ εἱμαρμένῃ·
ἡ Ἀθηνᾶ δ' ἡ τρέψασα τοῦ Ἕκτορος τὸ δόρυ,
ἀὴρ καὶ πνεῦμα βίαιον ἦν καταιγίζον τότε,
Ἀπόλλων δ' ὁ τὸν Ἕκτορα Πηλείδου διαρπάσας
κατ' Ἀχιλέως ὀφθαλμῶν, ἥλιος λάμπων ἐστιν.

## ὙΠΟΘΕΣΙΣ ΤΗΣ Φ. ὉΜΗΡΟΥ ῬΑΨΩΙΔΙΑΣ.

Διχῇ τοὺς Τρῶας τῇ φυγῇ διαιρεθέντας τότε,
οὓς Ἀχιλεὺς πρὸς Σκάμανδρον, οὓς δὲ πρὸς Τροίαν τρέπει·
ζωγρεῖ δὲ καὶ δυώδεκα, θύειν Πατρόκλῳ μέλλων·
κτείνει δὲ καὶ Λυκάονα καὶ τὸν Ἀστεροπαῖον,
Σκαμάνδρου κινδυνεύοντα θανεῖν δὲ τῇ πλημμύρᾳ,
σώζει τοῦτον ὁ Ἥφαιστος τὸν ποταμὸν ἐμπρήσας·
εἶτα καὶ μάχη τοῖς θεοῖς ῥήγνηται κατ' ἀλλήλων.
Ἀπόλλων δὲ Ἀγήνορι ὁμοιωθεὶς καὶ φεύγων,
τὸν Ἀχιλέα μὲν αὐτὸν ἐξαπατᾷ διώκειν,
τοὺς Τρῶας οὕτω σώζει δε δύντας ἐντὸς τῆς Τροίας·
» Ξάνθου δινηέντος· ὃν ἀθάνατος τέκετο Ζεύς.
τουτέστιν, ὃς ἐπαύξεται τοῖς οὐρανίοις ὄμβροις·
» Τῇ ῥ' οἵγε προχέοντο πεφυγότες· ἠέρα δ' Ἥρη
» πίτνα· πρόσθε βαθεῖαν ἐρυκέμεν, ἡμίσεες δέ·
ἀορασίαν δὲ πολλὴν ἐκείνοις ἐνεποίει
τὸ πνεῦμα τὸ λεπτότερον, ἐξανασπῶν ἰκμάδας,
ὁμίχλην παχυτάτην δε δεινὴν ἐξηργασμένον·
» Μοῖρ' ὀλοή· μέλλω που ἀπέχθεσθαι Διῒ πατρί·
μοῖρα ἐστὶ τῆς τελευτῆς τοῦ καθενὸς ὁ τρόπος

Ζεὺς καὶ πατὴρ ὑπάρχει δὲ πάλιν ἡ εἱμαρμένη,
ἡ ἐκ τῶν γενεθλίων πως οὖσα προωρισμένη,
ἔοικα μισηθῆναι δέ φησι, τῇ εἱμαρμένῃ·
ἀντίθεον· ἰσόθεον· νῦν εὐπρεπῆ, ὡραῖον·
δαίμων· ἡ εἱμαρμένη δέ, ἢ ἐκ τοῦ διακόπτειν,
ἢ ἐκ τοῦ δαίειν σύμπασι καὶ νέμειν ἅ περ θέλει.
» Πατρὸς δ' εἰμ' ἀγαθοῖο· θεὰ δέ με γείνατο μήτηρ·
εἴ τε γυνή τις βασιλὶς, εἴτε πρακτικωτάτως
τὸ ῥωμαλέον λέγεται νῦν μήτηρ Ἀχιλέως·
αἱ πρακτικαὶ γὰρ ἀρεταὶ, θεαὶ ὡς προειρήκειν,
θεοὶ δὲ πάλιν λέγονται ὅσαι τῆς θεωρίας.
» Ὣς ἄρ' ἔφη· ποταμὸς δ' ἐχολώσατο κηρόθι μᾶλλον
» ὥρμηνεν δ' ἀνὰ θυμὸν, ὅπως παύσειε πόνοιο,
» δῖον Ἀχιλῆα· Τρώεσσι δὲ λοιγὸν ἀλάλκοι·
δεινός ἐστὶν ὁ Ὅμηρος ἐντέχνως πάντα γράφων,
κἂν περ σπουδάζων γράφῃ τί, κἂν παίζων ὡς ἐνθάδε·
θέλων εἰπεῖν γὰρ, οἴδαινεν ὁ ποταμὸς τῷ τότε,
ἔμελλε δ' ἤδη πλημμυρῶν εἴργειν μὲν Ἀχιλέα,
πολλοῖς Τρωσὶ δὲ θάνατον καὶ ὄλεθρον ἐκτρέπειν,
λέγοντα πρῶτα παρεισφρεῖ τὸν Ἀχιλέα τάδε·
φθείρεσθε Τρῶες, Σκάμανδρος ὑμῖν οὐ βοηθήσει,
ᾧ ταύρους ἦτε θύοντες μονώνυχάς τε ἵππους·
εἶτα ὡς ἔμψυχον αὐτὸν τὸν ποταμὸν εἰσφέρει,
οἷα ταῖς ὕβρεσιν αὐτοῦ δεινῶς ἐξωργισμένον,
καὶ οὕτως ἐφορμαίνοντα λοιπὸν κατ' Ἀχιλέως·
» Υἱέϊ Πηλεγόνος, τὸν ἀγ' Ἄξιος εὐρυρέεθρος·
παῖς οὗτος ἦν ὁ Πηλεγὼν, οὐ παταμοῦ Ἀξίου·
Ἀξίου κλῆσιν δέ τινος ἀνθρώπου καλουμένου,
ἀφ' οὗ Ἀξίου κέκληται καὶ ποταμὸς τὴν κλῆσιν·
» Κεῖσ' οὕτω· χαλεπόν τοι ἐρισθενέος Κρονίωνος
» παισὶν ἐριζέμεναι· ποταμοῖο περ ἐκγεγαῶτι·

ἐρισθενοῦς Κρονίωνος, νῦν δὲ τῆς εἱμαρμένης·
οὐ Κρόνου τοῦ κατάρξαντος πρώτως ἀνθρώπων λέγει,
ἀφ' οὗ Κρονίδαι σύμπαντες οἱ βασιλεῖς καλοῦνται,
καὶ Δίες ὁμοτρόπως ἀπὸ Διὸς, τοῦ Κρόνου,
καὶ τοῦ Διὸς ἀστέρος δὲ τοῦ βασιλεῖς ποιοῦντος·
ἤτοι ἐγὼ υἱός εἰμι μοίρας εὐτυχεστάτης,
ἢ καὶ ἀνθρώπων ὑψηλῶν υἱὸς καὶ αἰθερίων·
τὸ, ποταμοῦ γεγῶτι δὲ εἰρήκειμέν σοι πρῶτον,
ὅτι Ἀξίου ἦν υἱὸς ὁ Πηλεγὼν, ὃν εἶπεν,
ἀφ' οὗ περ καὶ ὁ Ἄξιος ὁ ποταμὸς καλεῖται·
οὗτος ὑψῶν τὸν λόγον δὲ σχήματι μεταβάσει
τὸν τοῦ Ἀξίου νῦν υἱὸν ἀνθρώπου τοῦ ῥηθέντος
Ἀξίου λέγει ποταμοῦ δῆθεν υἱὸν τυγχάνειν·
ὁ δ' Αἰακὸς ἦν ἐκ Διὸς, τουτέστι βασιλέως,
ἢ ὥς περ εἴπομεν τὸ πρὶν μοίρας εὐτυχεστάτης,
ἢ καὶ ἀνθρώπων ὑψηλῶν καὶ ὄντως αἰθερίων·
Διῒ Κρονίωνι τανῦν τῇ εἱμαρμένῃ λέγει,
ἢ μᾶλλον ὥς περ εἴπομεν, ἀνάκτων ὑπερτάτων,
οἷς περ ἐξ ὕψους οὐρανοῦ τὸ σκηπτραρχεῖν ἐδόθη,
οὗτοι δὲ κρείττους ποταμῶν, καὶ παῖδες παίδων τούτων·
» Καὶ γάρ σοι ποταμός γε πάρα μέγας εἰ δύναταί τι
» χραισμεῖν· ἀλλ' οὐκ ἔστι Διῒ Κρονίωνι μάχεσθαι·
» τῷ οὐδὲ κρείων Ἀχελώϊος ἰσοφαρίζει,
» οὐ δὲ βαθυῤῥείταο μέγα σθένος ὠκεανοῖο·
» ἐξ οὗ περ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα
» καὶ πᾶσαι κρῆναι, καὶ φρείατα μακρὰ νάουσιν·
» ἀλλὰ καὶ ὃς γε δέδοικε Διὸς μαγάλοιο κεραυνὸν,
» δεινὴν τὲ βροντὴν· ὅτ' ἀπ' οὐρανόθεν συῤῥαγήσῃ·
ἐγὼ φησὶν ὁ Ἀχιλεὺς γένος εἰμὶ ἀνθρώπων,
οἵ περ ἐξ αἵματος εἰσὶ μεγάλων βασιλέων
οἷς περ ἐξ ὕψους οὐρανοῦ τὸ σκηπταρχεῖν ἐδόθη·

οὐ οὐρανοῦ τὴν ἀστραπὴν καὶ τῆς βροντῆς τὸν ἦχον,
καὶ ὁ πατὴρ ὠκεανὸς πάντων ὑδάτων τρέμει.
» Καὶ νύκ' ἔτι πλέονας κτάνε Παίονας ὠκὺς Ἀχιλεὺς,
» εἰ μὴ χωσάμενος προσέφη ποταμὸς βαθυδίνης
» ἀνέρι εἰσάμενος, βαθέης δ' ἐφθέγξατο δίνης·
Ὑψῶσαι χρήζων Ὅμηρος τὰς πράξεις Ἀχιλέως,
πρόσωπον περιτίθησι τῷ ποταμῷ Σκαμάνδρῳ,
καὶ λόγους οὓς περ ἔπλασε δῆθεν ἐκεῖνον λέγειν·
ἀεὶ ἀμύνουσι θεοὶ, ἤτοι ἡ εἱμαρμένη,
καὶ Κρόνου παῖς, ἡ ἄδηλος ὁμοίως εἱμαρμένη.
» Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλεύς.
Ἠθοποιεῖ ὁ Ὅμηρος χωρίῳ τῷ ἐνταῦθα
τίνας ἂν εἶπεν Ἀχιλεὺς τῷ ποταμῷ Σκαμάνδρῳ,
δαίμονι ἴσως λέγει δε ὡς ἕν τι τῶν στοιχείων·
ὡς πῦρ, εἴ τ' ἄνεμος τυφὼς, εἴ τε θαλάσσης ὕδωρ·
» Καὶ τότ' Ἀπόλλωνα προσέφη ποταμὸς βαθυδίνης·
» ὢ πόποι ἀργυρότοξε, Διὸς τέκος, οὐ σύ γε βουλὰς
» εἰρύσαο Κρονίωνος· ὅ τοι μάλα πολλ' ἐπέτελλε:
» Τρωσὶ παρεστάμεναι καὶ ἀμύνειν εἰσόκεν ἔλθῃ
» δείελος ὀψὲ δύων· σκιάσῃ δ' ἐρίβωλον ἄρουραν·
Ἐπεὶ Τρωσὶν, ὡς εἶπον πρὶν, ἥλιος σινεμάχει
ὡς λάμπων κατὰ πρόσωπον στρατεύματος Ἑλλήνων,
μέχρι καιροῦ μεσημβρινοῦ, τότε δ' οὐκ ἦν προφαίνων,
ἅ τε τοῦ καταστήματος ὄντος συγκεχυμένου·
ὁ ποταμὸς δ' ὁ Σκάμανδρος μόνος Τρωσὶ συνήργει,
καὶ μᾶλλον κατασύρειν δε, ὥρμα τὸν Ἀχιλέα·
λόγους συμπλάσας Ὅμηρος τὸ πέλαγος τῶν λόγων,
οἵους ἂν εἶπε βοηθὸς ἔθνους τινῶν ἀνθρώπων·
πρὸς βοηθὸν καὶ σύμμαχον ἕτερον ῥαθυμοῦντα,
αὐτὸς ἀγωνιζόμενος γενναίως ὑπὲρ φίλων
Σκάμανδρον τούτους λέγοντα τανῦν σοι παρεισφέρει·

μεμφόμενον ἡλίῳ δὲ καὶ λέγοντα ἐκείνῳ,
Ἄπολλον, οὐκ ἐφύλαξας βουλὰς τῆς εἱμαρμένης,
ἐξ ἧς θεσμός σοι ἔκειτο περιφρουρεῖν τοὺς Τρῶας
μέχρι δειέλου, τοῦ καιροῦ τάχα τῆς μεσημβρίας·
τὸ δ' ἀργυρότοξος δηλοῖ, λευκὸν τὸ φῶς ἡλίου·
μέγας θεὸς, τὸ μέγιστον στοιχεῖον ἤτοι ὕδωρ,
καὶ τὸ θεοὶ δὲ φέρτεροι ἀνθρώπων, τὰ στοιχεῖα·
ἀθάνατοι φοβέουσιν, οὐράνια στοιχεῖα,
ὄμβροι καὶ πῦρ, καὶ ὁ ἀήρ· μὴ καταπίπτειν πάντα·
Ζεῦ πάτερ· νῦν ὦ οὐρανὲ, εἴ τε καὶ εἱμαρμένη·
φίλην μητέρα ψεύδεσι θέλγουσαν τοῦτον λέγει,
τὰ λεκανομαντεύματα, ἐξ ὧν ἐμεμαθήκει,
ὡς ἐν ναῷ Ἀπόλλωνος ἔγγιστα τείχους Τρώων,
τὸν βίον ἐκμετρήσειεν· ὅν περ ναὸν νῦν λέγει
καὶ βέλη τοῦ Ἀπόλλωνος ὡς ἀνελόντα τοῦτον·
τὸν Ἀχιλέα σώζει δὲ ὁ Ποσειδῶν, Ἀθήνη,
εἴτ' οὖν οἰκεῖος λογισμὸς, εἴ τέ τις τῶν εὐφρόνων,
εἰπὼν αὐτὸν πρὸς θάλασσαν χωρεῖν καὶ τὰς ἐκχύσεις,
ἐκεῖ γὰρ ἀβαθέστερος ὁ ποταμὸς εἰσρέει·
καὶ σὺ σωθήσῃ οὕτω μεν· τῶν Τρώων δὲ μὴ φείδου·
εἰπόντες μὲν ἀπέβησαν οὗτοι μετ' ἀθανάτους,
ἤτοι ἡ θάλασσα μὲν ἦν ἐν κοίτῃ τῶν ὑδάτων,
ἡ δὲ βουλὴ τῷ λογισμῷ τοῦ συμβεβουλευκότος·
νῦν ἐφετμὴ δὲ τῶν θεῶν, τῶν συμβεβουλευκότων·
τὸ, φίλε δὲ κασίγνητε, Σιμόει παρεμβαίνει
ὡς καὶ Σιμόεις εἰς αὐτὸν τὸν Σκάμανδρον εἰσβάλλει,
ἶσα θεοῖσι μέμονε, τουτέστι τοῖς στοιχείοις.
» Ἥρη δ' αὖ μέγ' ἄϋσε περιδδείσασ' Ἀχιλῆϊ,
» αὐτίκα δ' Ἥφαιστον προσεφώνει ὃν φίλον υἱόν·
Πνεῦμα λεπτὸν κεκίνητο πᾶν ἐκκαθαῖρον νέφος,
θερμότερον ὁ ἥλιος ἐκλάμψας δὲ τῷ τότε,

ἐκ ποταμοῦ καὶ πάσης δὲ τῆς ἐν τῇ γῇ νοτίδος
ἐξατμιζοῦσας ἔνθερμον, ἀνῆγε τὰς ἰκμάδας,
ὅ περ Ἡφαίστου δέησιν ὡς πρὸς τὴν Ἥραν λέγει·
Ἡφαίστου σβέσις δὲ πυρὸς κελεύσει τῇ τῆς Ἥρας,
τὸ συγκρυβῆναι πάλιν μὲν ἀκτῖνα τὴν ἡλίου,
καὶ τῶν στοιχείων σύγχυσιν αὖθις δεινὴν γενέσθαι,
ἥν περ καὶ μάχην τῶν θεῶν τῶν ἄλλων ὀνομάζει.
» Σὺν δ' ἔπεσον μεγάλῳ πατάγῳ· βράχε δ' εὐρεῖα χθών·
» ἀμφὶ δ' ἐσάλπιγξε μέγας οὐρανός· ἄϊε δὲ Ζεὺς
» ἥμενος οὐλύμπῳ· ἐγέλασσε δὲ οἱ φίλον ἦτορ
» γηθοσύνῃ· ὅθ' ὁρᾶτο θεοὺς ἔριδι ξυνιόντας·
» ἔνθ' οἵγ' οὐκέτι δηρὸν ἀφέστασαν· ἦρχε γὰρ Ἄρης
» ῥινοτόρος· καὶ πρῶτος Ἀθηναίῃ ἐπόρουσε,
» χάλκεον ἔγχος ἔχων, καὶ ὀνείδειον φάτο μῦθον.
» Τίπτ' αὖ ὦ κυνάμαια, θεοὺς ἔριδι ξυνελαύνεις,
» θάρσος ἄητον ἔχουσα, μέγας δέ σε θυμὸς ἀνῆκε;
Τζέτζης τὸ, ἢ οὐ μέμνῃ δὲ, ὅτε τὸν Διομήδην,
ἑτέρους τρεῖς τε καθεξῆς τῶν στίχων ὀβελίζει·
τὸν πέμπτον πάλιν γράφει δὲ ὡς ὄντα τῶν Ὁμήρου,
ὃς στίχος, οὕτως ἔχει τε κατὰ ῥητὸν καὶ λέξιν.
» Ὣς εἰπὼν, οὔτησε κατ' ἀσπίδα θυσανόεσσαν,
» σμερδαλέην, ἣν οὐδὲ Διὸς δάμνησι κεραυνὸς,
» τῇ μιν Ἄρης οὔτησε μιαιφόνος ἔγχεϊ μακρῷ·
» ἡ δ' ἀναχασσαμένη, λίθον εἵλετο χειρὶ παχείῃ
» κείμενον ἐν πεδίῳ· μέλανα, τρηχύν τε μέγαν τε·
» τόν ῥ' ἄνδρες πρότερον θέσαν ἔμμεναι οὖρον ἀρούρης,
» τῷ βάλε θοῦρον Ἄρηα κατ' αὐχένα· λῦσε δὲ γυῖα.
Ἀλλ' ἀλληγορητέον μαι πᾶν τὸ χωρίον τοῦτο·
σὺν δ' ἔπεσον, συνήραξαν, συνέβαλον εἰς μάχην·
τὴν τῶν στοιχείων σύγχυσιν νῦν ὀνομάζει μάχην,
καὶ συῤῥαγὴν πρὸς πόλεμον· γέγανε γὰρ τῷ τότε

ἐκ γῆς δεινὰ μυκήματα πρός γε τῶν ἄλλων πάντων,
ἃ συῤῥαγῇ τῇ τῶν θεῶν, ἦχος τῆς γῆς σοι λέγει·
ἐξ οὐρανοῦ δ' ἐκρότησεν, ἦχος βροντῆς βιαίας·
εἶτα κροτήσει τῶν νεφῶν, καὶ κεραυνὸς ἐξήχθη.
ἀέρι παχυτέρῳ δὲ προςβάλλων τῷ προςγείῳ,
ἐσβέννυτο καὶ πάλιν τι μικρὸν ἐκπυρινίσας,
ἡττήθη ᾧ ἐρήκειμεν καὶ πρότερον ἀέρι·
εἶτ' ἐκ τῆς ζάλης γέγονεν εὐθέως καὶ αἰθρία·
ὁ γέρων δ' οὗτος ὁ δεινὸς εἰς τὸ συγγράφειν λόγους,
ὁ πάντων ἀλλ' ἐς πόσον δὲ ῥητόρων ὑπεκτρέχων,
καὶ φιλοσόφων καὶ λοιπῶν, ὧν περ τὸ ἔργον λόγος,
γράφων καὶ σύμπαν τὸ τυχὸν, τὸ γεγονός τῷ τότε
μεθόδῳ τῆς δεινότητος θέλων ὑψοῦν τὸν λόγον.
καὶ τῷ γλυκεῖ τοῦ μύθου δὲ τέρπειν ἠκροαμένους,
τὴν μὲν βροντὴν ὡς οὐρανὸν σαλπίσαντα παράγει,
Ἄρεα δὲ τὸν κεραυνὸν, τὸν δὲ παχὺν ἀέρα
Ἀθήνην· καὶ ἀσπίδα δὲ τούτης κατονομάζει,
ἣν κεραυνὸς οὐ δάμνησιν ὡς καὶ αὐτός σοι λέγει·
τὸ ἔτι καὶ παχύτερον καὶ ἔνυγρον ἀέρος,
λίθον παχὺν καὶ μέλανα, ὅν περ οἱ πάλαι ἄνδρες,
ἤγουν οἱ πρότεροι σοφοὶ οὗρον ἀρούρης θέσαν·
ὅρος γὰρ γῆς καὶ διαιρῶν, ἀὴρ τυγχάνει, ταύτην·
ἀναχωρεῖ δὲ Ἀθηνᾶ, εἶτα τὸν Ἄρην πλήττει·
τὸν γὰρ ἀέρα τέμνει μεν ὁ κεραυνὸς τὸ πρῶτον·
εἶτα δὲ κατασβέννυται τούτου τῷ παχυτέρῳ,
καὶ θραύεται ὁ τράχηλος ἐκείνου καὶ ἡ ἄρσις·
τὸ πῦρ ὅ περ μετέωρον εἴληχεν ἔχειν φύσιν,
τὸν κεραυνὸν δ' ὡς κάθυγρον, τοῖς κάτω καταῤῥέει·
αἱ χαῖται δὲ τοῦ Ἄρεος εἰσὶν αἱ κονισθῆσαι,
αἱ μέχρι πρὸς τὰ πρόσγεια τῶν κεραυνῶν ἐκχύσεις·
τεύχεα τ' ἀμφαράβησε, πάλιν ἑτέρως λέγει

τρόπῳ μεταποιήσεως ῥητορικῷ διδάσκων,
τὰ νέφη τὲ καὶ τὴν βροντὴν, Ἄρεος πανοπλίαν·
τὰ νέφη συῤῥαγέντα γὰρ ἀλλήλοις πατταγοῦσιν.
ὁ τῶν νεφῶν δὲ πάτταγος, πάντως βροντὴ τυγχάνει,
τῇ παρατρίψει τούτων δὲ ξηρὸς ἀὴρ ἐκτρέχων,
ὁπλίζει πάντως καὶ ποιεῖ τῶν κεραυνῶν τὴν φύσιν·
οἵ περ ἐξυγραινόμενοι τῷ πάχει τοῦ ἀέρος,
ῥέπουσι κάτω καὶ πρὸς γῆν, οὐχ' ὡς τὸ πῦρ τοῖς ἄνω.
Γέλασεν ἡ Ἀθήνη πως, ἀὴρ δὲ ἐφαιδρύνθη,
ὁ γὰρ ἀὴρ τῶν κεραυνῶν κρείττων ἐστὶν εἰς σθένος·
οἶδας ὅπως ἐκσβέννυσι τοὺς κεραυνοὺς τῷ πάχει·
μήτηρ τοῦ Ἄρεος ἐστὶ καὶ τοῦ Ἡφαίστου πλέον,
ἡ Ἥρα, ὁ αἰθέριος λεπτὸς ἀὴρ ξηρός τε·
ἐπεὶ δὲ τὸ κατάστημα τὸ αἴθριον ἀέρος
δῆθεν ἡ Ἥρα ἡ θεὰ τοῖς Ἕλλησι συνήργει,
καὶ σὺν αὐτῇ ὁ Ἥφαιστος υἱὸς αὐτῆς ὑπάρχων
τὸ ἔτι ἐνθερμότερον καὶ αἴθριον πυρῶδες·
τὸ δὲ πυρῶδες κεραυνῶν χειμῶνας ὄμβρους φέρον,
Ἕλλησι βλάβην ἔφερε Τρωσὶ δ' ἐλυσιτέλει,
ἀέρα λέγων Ἀθηνᾶν καὶ προσωποποιήσας,
καὶ λόγους λέγουσαν αὐτὴν ὡς πρὸς τὸν Ἄρην πλάττει·
τὰς ἐριννύας τῆς μητρὸς τῆς Ἥρας ἀποτίνοις,
ἥ περ ὀργιζομένη σοι τοιαῦτα μηχανᾶται·
γεννᾷ τὸ πῦρ τῶν κεραυνῶν Ἥρα· ξηρὸς ἀήρ τις·
λίαν δ' ἐπινυσσόμενος καὶ διεγηγερμένος,
καὶ ἀνιμῶν ἰκμάδας δὲ παχύνων τὸν ἀέρα,
πάλιν τὸ τούτων καυστικὸν ὑγραίνει καὶ σβεννύει
ὅτι παρεὶς δὲ Ἕλληνας τοῖς Τρώεσιν ἀρήγεις,
χάρις ἐστὶ καὶ ἡδονή· ἀπάτη τε τῶν νέων·
θεὸν τινὰ νομίζουσιν Ἄρεα τοῦτον εἶναι,
καὶ ἡττηθῆναι Ἀθηνᾶν Ἥρας ὀργιζομένης·

ἀνθ' ὧν ἡ μὲν τοῖς Ἕλλησιν, ὁ δὲ Τρωσὶ συνήργει·
γέρον δαιμονιώτατε τοῖς χάρισι τῶν λόγων,
ἀεὶ οὕτω σβεννύεται τῶν κεραυνῶν τὸ φλέγον,
καὶ πρὸς τοὺς Τρῶας εἶναι δὲ καὶ χρόνοις ἡμετέροις,
τί δρᾷς ὦ βαθυνούστατε τοὺς ἁπλουστέρους παίζων;
» Ὣς ἄρα φωνήσασα, πάλιν τρέπεν ὄσσε φαεινώ·
» τὸν δ' ἄγε χειρὸς ἑλοῦσα Διὸς θυγάτηρ Ἀφροδίτη,
» πυκνὰ μάλα στενάχοντα, μόλις δ' ἐσαγείρατο θυμόν.
Ἐπαύθη μὲν ὁ ἔνυγρος παχυμερὴς ἀήρ τε·
βραχὺ δ' εὐδία γέγονεν, ἣν Ἀφροδίτην λέγει,
κρατοῦσαν τοῦτον τῆς χειρὸς ὥς περ ἀναῤῥωννῦσαν,
ἡ ἐκ πυρώδους γίνεται βραχέος κεκραμένου·
πυκνοὺς δὲ τούτου στεναγμοὺς, κρότους βροντῶν μοι νόει,
πλὴν ἀμυδροὺς καὶ κεραυνοὺς ἀσθενεστάτους πάνυ·
ὅθεν καὶ μόλις τὸν θυμὸν ἀγείρατο εἰρήκει·
πρὸς Ἀθηνᾶν δὲ λόγους μοι νόει τῆς Ἥρας εἶναι,
οἷς πειθομένη Ἀθηνᾶ νικᾷ καὶ Ἀφροδίτην·
τὸ, τῷ θερμῷ τοῦ πνεύματος κινούμενα τὰ νέφη,
πάλιν συγκύψαι καὶ αὐτὸ τὸ αἰθριάζον μέρος.
Ἃ δὲ φησὶν ἡ Ἀθηνᾶ δῆθεν ὡς καυχωμένη,
Ὁμήρου πλάσμα πέφυκε καὶ προσωποποιΐα,
Ἥρας δὲ τὸ μειδίασμα πάλιν αἰθρίας μέρος·
οἱ δὲ πρὸς τὸν Ἀπόλλωνα τοῦ Ποσειδῶνος λόγοι,
τὸ πάλιν νέφος ἔνυγρον, πλὴν μὴ παχὺ τελέως
ὁτὲ συγκρύπτειν ἥλιον, ὁτέ δ' ἐᾷν προφαίνειν,
οἷα πολλάκις γίνεται καιροῖς ὀμβροευδίοις·
τὸν Ποσειδῶνα πρότερον Ἀπόλλωνος δὲ λέγει,
ὅτι τὸ ὕδωρ πρότερον καθ' Ὅμηρον στοιχεῖον·
ἄκουε καὶ τῶν λόγων δὲ τῆς προσωποποιΐας,
οὓς διὰ Λαομέδοντα καὶ Τροίαν δοκεῖ λέγειν,
περὶ τῆς πρώτης λέγει δὲ συστάσεως τοῦ κόσμου,

ὅς περ καὶ μέδων τῶν λαῶν ἐστὶ καὶ τῶν ἀνθρώπων,
καὶ πῶς ὕδωρ καὶ ἥλιος λατρεύουσι τῷ κόσμῳ·
Ἴλιον νῦν, τὴν συστροφὴν ὥς περ ἐκ τοῦ ἑλίσσω,
καὶ πέδιλον γενόμενον γράφεις διὰ ἰῶτα,
Ἴλιον νῦν, τὴν συστροφὴν τὴν πρώτην τῶν στοιχείων·
ὁπότε κόσμος κατ' ἀρχὰς τὸ πρῶτον διηρθροῦτο·
τὸν κόσμον, Λαομέδοντα· πῶς δὲ ἀγήνωρ οὗτος;
εἴτ' οὖν ὡς ἄγαν ἀνορμῶν καὶ τρέχων εἰς αὐξήσεις,
εἴτ' οὖν ὡς ἄγαν ὢν ἀνδρῶν καὶ τῶν ἀνθρώπων πλήρης.
» Πὰρ Διὸς ἐλθόντες θητεύσαμεν εἰς ἐνιαυτόν·
Τὸ πὰρ Διὸς δὲ νόει νῦν, εἴ τε τῆς εἱμαρμένης,
οὕτω γὰρ εἵμαρτο φησὶ τὸν κόσμον γεγονέναι,
εἴ τε Διὸς καὶ πνεύματος εἰδοποιοῦντος πνεύσεις·
ὃ πνεῦσαν ἐταρτάρωσε τὸν Κρόνον καὶ τὴν ὕλην·
ἐκεῖνο, τὸ πρωτόγονον τὸ σκότος τὸ ὑλαῖον,
τὸ πᾶν δὲ εἰδοποίησεν ἀρίστως διαρθρῶσαν,
ἡμᾶς τῷ κόσμῳ δ' ἔταξε χρόνοις μακροῖς θητεύειν·
μισθῷ, φησὶν, ἐπὶ ῥητῷ· πάλιν ὁ γέρων παίζει·
ἡλίῳ γὰρ μισθός ἐστιν ἰκμάδας ἀναπίνειν,
ὁπόσων σκύφων ἀκριβῶς οὐ κάτοιδά σοι φράσαι,
καὶ γῆν αὐτῷ τε τοὺς καρποὺς καὶ πάντα ζῶα φέρειν·
τῷ ὕδατι μισθός ἐστι πάλιν τῷ θαλασσίῳ,
αἱ παροχαί τε τῶν κητῶν καὶ τῶν λοιπῶν ἰχθύων,
ἢ μᾶλλον προσφυέστερος μισθὸς ἦν ἀμφοτέροις,
εὐχαριστία προσφυὴς τῶν εὐεργετημάτων·
ὁ Λαομέδων δὲ φησὶν ἐπέτελλε σημαίνων·
κόσμος ἐστὶν ὁ οὐρανὸς, ὃς νῦν καὶ Λαομέδων.
ὃς πνεύματι κινούμενος τὸ τῆς εἰδοποιΐας,
τὸν Ποσειδῶνα ἔταξε πόλιν Τρωσὶ τειχίζειν,
τὸ ὕδωρ βάθραν δὲ τῆς γῆς θεὶς καὶ τῶν πολισμάτων,
ἢ τῆς περιπολήσεως, οὗ περ περιπολοῦσι,

Τρῶες οἱ πάντες ἄνθρωποι· τρῶ δ' ἔστι τὸ φοβοῦμαι,
ἤτοι, δηλοὶ καὶ ἄθλιοι φύλλοισιν ἐοικότες,
ὡς καὶ αὐτοῦ ἀκούσειας μετὰ μικρὸν Ὁμήρου·
οὕτω τὸν Ποσειδῶνα μεν πυργοῦν Τρωσὶ κελεύει,
ἤτοι βάθρας ὑπέρεισμα γενέσθαι τῶν ἀνθρώπων·
τῷ Φοίβῳ, φάει βίου δε νέμειν κελεύει ζῶα·
Ἴδην δὲ πάσης πλάτος γῆς, πᾶν ὄρος ὀνομάζει·
ὅτε δ' ἐπέστη ὁ καιρὸς ὁ τῆς μισθοδοσίας,
κατέσχε τοῦτον μὲν αὐτὸς, ἠπείλησεν ἡμῖν δε.
» Σοὶ μὲν ὅγ' ἠπείλησε πόδας καὶ χεῖρας ὕπερθεν
» δήσειν, καὶ περάαν νήσων ἐπὶ τηλεδαπάων·
» στεῦτο δ' ὅγ' ἀμφοτέρων ἀποκοψέμεν οὔατα χαλκῷ·
» νῶϊ δὲ τ' ἄψοῤῥοι κίομεν κεκοτηότι θυμῷ,
» μισθοῦ χωόμενοι· τὸν ὑποστὰς οὐκ ἐτέλεσσε·
» τοῦ δὴ νῦν λαοῖσι φέρεις χάριν, οὐδὲ μεθ' ἡμέων.
Μισθὸν κάτεσχε μὲν αὐτὸς τὸν τῆς εὐχαριστίας,
ἤτοι, τῷ κόσμῳ, ἔνεστι πᾶσα εὐχαριστία·
ἥλιος δ' ὥς περ δέσμιος χεῖρας ὁμοῦ καὶ πόδας
ἄνω καὶ κάτω φέρεται τῇ περιδρόμῳ σφαίρᾳ,
μικροῦ δεῖν ἂν ἀπέσβεστο καὶ ἀκοὴ τῶν δύο·
χαλκῷ καὶ παχυτέραις δε γνώμαις καὶ διανοίαις,
ὡς ὕδωρ τὲ καὶ ἥλιος λυσιτελοῦσι πόσα·
ἀεὶ δὴ νῦν καὶ ἄκοντες ἥλιος τὲ καὶ ἥδωρ,
λελυπημένοι τῷ μισθῷ, ὃν εἶπον, μὴ λαμβάνειν,
ἄψοῤῥοι, ἐπισθόρμητοι τρέχουσιν ἐν τῇ σφαίρᾳ·
ἀεὶ γὰρ θέρος γίνεται, χειμέριοί τε ὄμβροι·
ὁ λόγος τοῦ Ἀπόλλωνος ὡς πρὸς τὸν Ποσειδῶνα,
ὁ λέγων ὡς οὐ βούλεται τούτῳ σινάπτειν μάχην,
ἀνθρώπων ἕνεκα δειλῶν ὁμοιωμένων φύλλοις,
δηλοῖ ἀέρα ἔνυγρον ὑπάρχειν μὲν τῷ τότε,
ἥλιον δ' ἀμυδρότατον· εἶτα κρυβέντα πάντῃ.

Πῶς δὲ πατροκασίγνητον τὸ ὕδωρ τοῦ ἡλίου;
τέσσαρα μὲν τὰ ἀδελφὰ τυγχάνουσι στοιχεῖα,
καὶ πέμπτον σῶμα, ὁ αἰθήρ, οὗ ἥλιος ἐξέφυ·
τὸ δ' ὄνειδος Ἀρτέμιδος τὸ πρὸς Ἀπόλλω μάθε,
Ἥραν τὴν, ἣν ἐμάστιξε, τόξα δ' ἀφεῖλε ταύτης,
καὶ πῶς τὰ τόξα ἡ Λητὼ συνέλεξεν ἐκείνης,
καὶ πῶς Ἑρμῆς ἀπείπατο, μάχην Λητοῖ συμπλέκειν,
καὶ πῶς ἐν γόνασι πατρὸς Ἄρτεμις ἦν δακρύῤῥους·
ὁ ἥλιος ἐκρύβη μὲν τοῖς νέφεσιν, ὡς εἶπον·
τῷ τῆς ἑσπέρας δὲ καιρῷ τῆς τότε γεγονυίας,
σελήνη γέγονε λαμπρὰ, οὐκ ἐν ἡμέρας χρόνῳ·
ὡς οὐδ' Ἑρμῆς πρὸς τὴν Λητὼ χρόνῳ τῷ τῆς νυκτός δε,
συγχύσεις γὰρ ἐγίνοντο τῷ τότε τῶν στοιχείων,
καιροῖς ἡμέρας καὶ νυκτός· Ὅμηρος δὲ πανσόφως,
ἀλληγορῶν τὰ σύμπαντα, φησὶ τοιουτοτρόπως·
τῷ τῆς ἡμέρας μὲν καιρῷ συνεπεπτώκει τάδε,
κἂν τῇ νυκτὶ συγχύσεις μεν ἦσαν ὁμοιοτρόπως·
εὐθὺς γὰρ πρῶτον μὲν λαμπρὰ ὡράθη ἡ σελήνη,
φέρει δὲ ὀνειδίζουσαν ἐκείνην τῷ ἡλίῳ.
δι' ἣν αἰτίαν τῷ καιρῷ καὶ χρόνῳ τῆς ἡμέρας
τῷ Ποσειδῶνι, καὶ ὑγρῷ φαίνεται δοὺς τὴν νίκην·
εἶτα καὶ αὕτη πνεύματος ὑγρὰ κινοῦντος νέφη,
τῷ μὲν παχεῖ ἐκρύπτετο, ὃ χεὶρ σκαιὰ τῆς Ἥρας,
τῷ δὲ λεπτῷ τοῦ πνεύματος, ὃ χεὶρ δεξιωτάτη,
νέφη κινοῦσα συνεχῶς, ἀκτῖνας τὰς ἐκείνης,
ἃς τόξα νῦν Ἀρτέμιδος κατονομάζει γράφων·
ποτὲ μὲν εἴα φαίνεσθαι, ποτὲ δὲ συνεστρόβει,
παίουσα τὰ ἀνώτερα τῇ συνεχεῖ κινήσει·
ἡ δὲ σελήνη ἔνδακρυς, ἔνυγρος οὖσα νέφει,
ἐκρύπτετο, τὰ τόξα δὲ ταύτης ἐκεῖ παρῆκε.
» Λητοῖ δὲ προσέειπε διάκτορος Ἀργειφόντης·

τῇ δὲ νυκτὶ ἑρμαϊκὰ σέλα βραχὺ φανέντα,
εὐθέως ἀπεκρύβησαν ὥς περ καὶ ἡ σελήνη,
καὶ πᾶς ὑγρὸς ὁ οὐρανὸς ἐγένετο τῷ τότε,
ὅ περ ἐν γόνασι πατρὸς ἔνδακρυς ἐστιν ἕδρα.
» Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
» αὐτὰρ Ἀπόλλων Φοῖβος ἐδύσετο Ἴλιον ἱρήν·
Ταῦτα μὲν ἦσαν ἐν νυκτὶ, τῇ δὲ ἡμέρᾳ πάλιν
ἀνέτειλεν ὁ ἥλιος, ὡς πρὶν Τρωσὶν ἀρήγων,
τῷ πέμπειν κατὰ πρόσωπον Ἑλλήνων τὰς ἀκτῖνας·
καὶ νῦν Ἀγήνωρ Ἀχιλεῖ πρὸς μάχην ὡς ἀντέστη,
οἱ φεύγοντες ἐσώζοντο τῶν Τρώων πρὸς τὴν πόλιν·
πλέον δ' ὡς ἔφευγε τραπεὶς πρὸς τὸ Σκαμάνδρου μέρος,
καὶ Ἀχιλεὺς ἐδίωκεν ἐκεῖνον ὡς ἀνέλῃ
μάτην διώκων καὶ κενῶς τοῖς ἀνηνύτοις δρόμοις,
εἶχε καὶ γὰρ κατ' ὀφθαλμῶν ἡλίου τὰς ἀκτῖνας·

## ῾ΥΠΟΘΕΣΙΣ ΤΗΣ Χ. ῾ΟΜΗΡΟΥ ῾ΡΑΨΩΔΙΑΣ

Πάντων τῶν Τρώων πρὸς αὐτὴν τὴν Τροίαν ἐγκλεισθέντων,
μόνος ὁ Ἕκτωρ ἔκτοσθεν ἀπολειφθεὶς τοῦ τείχους,
τῷ Ἀχιλεῖ μὲν πρὸς φυγὴν τὰ πρῶτα συνηλάθη·
εἶτα δὲ θνήσκει ἀντιστὰς, ταῖς Ἀθηνᾶς ἀπάταις·
ἐξάψας δὲ τοῦ ἅρματος ὁ Ἀχιλεὺς ἐκεῖνον,
ἕλκει παρὰ τὸν ναυστάθμον διὰ τῆς πεδιάδος·
οἱ Τρῶες δὲ δακρύουσιν ἐκ τείχους δεδορκότες.
» Αὐτὰρ Πηλείωνα προσηύδα Φοῖβος Ἀπόλλων·
» τίπτέ με Πηλέος υἱὲ ποσὶν ταχέεσσι διώκεις,
» αὐτὸς θνητὸς ἐών, θεὸν ἄμβροτον; οὐδέ νύ πώ με,
» ἔγνως ὡς θεός εἰμι· σύ δ' ἀσπερχὲς μενεαίνεις.

Πρὸς τὸν Πηλέως δὲ υἱὸν εἰρήκει ὁ Ἀπόλλων·
νῦν προσωποποιΐαν μοι νόησον εἶναι τοῦτο·
διόκων γὰρ ὁ Ἀχιλεὺς Ἀντήνορα, ὡς οἶδας,
τοὺς ἄλλους Τρῶας εἴασε φεύγειν ὡς πρὸς τὴν πόλιν,
ἐλπίζων τοῦτον κατασχεῖν· ἀκτῖσι δὲ ἡλίου
κατ' ὀφθαλμῶν βαλλόμενος, καὶ στερηθεὶς καὶ τούτου,
αὐτὸς φησὶ πρὸς ἑαυτόν· τί νῦν διώκω μάτην,
ἀκτῖνας τὰς ἡλιακάς; πεφεύγασιν δ' οἱ ἄλλοι·
ταῦτα μὲν εἶπεν Ἀχιλεὺς πρὸς ἑαυτόν, ὡς εἶπον·
Ὅμηρος δὲ τὸν ἥλιον λέγοντα ταῦτα φέρει,
ἀεὶ τοὺς λόγους ἀνυψῶν, καὶ μύθοις δὲ γλυκάζων·
καὶ προσωποποιΐα μεν τοῦτο ἐστὶν, ὡς ἔφην·
εἶτα, ἠθοποιΐαν δε δευτέρως παρεισφέρει,
τίνας ἂν λόγους Ἀχιλεὺς εἴποι λελυπημένος
διώκων τὸν Ἀντήνορα, βλαπτόμενος ἡλίῳ;
αἴθε θεοῖσι γένοιτο· ἄστρασιν· εἱμαρμένῃ·
ἤθους σὲ καὶ βαρύτητος αὕτη ἡ εἰρωνία·
πατὴρ Κρονίδης· ἄδηλον νῦν εἱμαρμένην λέγει·
εἶτα καὶ μοῖρα δὲ ταὐτόν· τῆς τελευτῆς ὁ τρόπος·
ὀλύμπιον, οὐράνιον νῦν εἱμαρμένην λέγει.
» Ὣς τὼ τρεῖς Πριάμοιο πόλιν μεριδινηθήτην
» καρπαλίμοισι πόδεσσι· θεοὶ δέ τε πάντες ὁρῶντο·
» τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
» Ὢ πόποι, ἦ φίλον ἄνδρα διωκόμενον περὶ τεῖχος
» ὀφθαλμοῖσιν ὁρῶμαι· ἐμὸν δ' ὀλοφύρεται ἦτορ.
Θεοὺς ἄρτι μοι νόησον ἄστρα καὶ τοὺς ἀστέρας,
ἐξ ὧν ἀνθρώποις γίνεσθαι φασὶ τὰ εἱμαρμένα·
ἀστρολογεῖ γὰρ Ὅμηρος νῦν τούτῳ τῷ χωρίῳ,
καὶ λέγει καὶ θεμάτιον τῆς μάχης σοι τῆς τότε,
ὅτι ὁ Κρόνος, Ἄρης τε οἱ κάκιστοι ἀστέρων
ἐκ τετραγώνου σχήματος ἀλλήλους καθεώρων·

τὸ σχῆμα τοῦτο δὲ ποιεῖ μεγάλας ἐπιτάσεις·
ἂν ἀγαθοὶ γὰρ ἀγαθῶς ἐν τούτῳ καθορῶσι,
δῶσιν αὐξήσεις ἀγαθῶν, ἂν δὲ κακοὶ τῶν φαύλων·
τοιοῦτον τὸ θεμάτιον ἦν τὸ τῆς μάχης τότε,
ἔχον τετραγωνίζοντας τὸν Ἄρεα καὶ Κρόνον·
κἂν προφανῶς ὁ Ὅμηρος ἀστρολογεῖν οὐ θέλῃ,
τὸν ἀγαθὸν ἀστέρα δὲ τὸν Δία παρεισφέρει
ἐν τοῖς κακοῖς ἡττώμενον· ἔχοντα φαύλοις τόποις·
καὶ τὴν σελήνην Ἀθηνᾶν ὡς πρὸς αὐτὸν κειμένην·
εἷς γὰρ ἀστὴρ ἡ Ἄρτεμις καὶ Ἀθηνᾶ, σελήνη·
ὅθεν Διῒ τὴν Ἀθηνᾶν ἀντικειμένην λέγει,
καὶ τελευτὴν τὴν Ἕκτορος σὺν δόλοις ἐργασμένην·
ἐπεὶ γὰρ τὸ θεμάτιον ἐπιβλαβὲς ὑπῆρχε
καὶ δόλοις ἐπεσήμαινεν Ἕκτορα τεθνηκέναι,
ὡς Ἀχιλεὺς ἐδίωκε τὸν ἥρωα ἐκεῖνον,
μόνον ἐκ Τρώων τῶν λοιπῶν ἔξω τοῦ τείχους ὄντα,
αὐτὸς ὑπάρχων σὺν στρατῷ σύμπαντι τῶν Ἑλλήνων·
ὅμως δὲ τοῦτον κατασχεῖν οὐκ ἐδυνήθη τρέχων·
ἀνένευε τῷ σύμπαντι στρατῷ δὲ τῶν Ἑλλήνων,
ἐφ' Ἕκτορι τοξεύματα μηδόλως ἀφιέναι.
» Μή τις κῦδος ἄροιτο βαλὼν, ὁ δὲ δεύτερος ἔλθοι·
Τίς τῶν Ἑλλήνων ὅμοιος ὑπάρχων Δηϊφόβῳ
τὸ πλέον καὶ τοῖς ὅπλοις δὲ τελῶν συγκεκρυμμένος,
τοιοῦτον ἄνδρα παρελθὼν ὡς ἀδελφὸς οἰκεῖος,
πείσας ἐν δόλοις, ἤγαγε τῷ Ἀχιλεῖ κτανθῆναι·
οὓς δόλους Ὅμηρος φησὶ τῆς Ἀθηνᾶς ἀπάτην·
ὅρα δὲ πῶς τὰ εὐτελῆ ὑψοῖ ἀλληγορήσας,
ὥς περ τὸ πρὶν τοὺς ὑετοὺς ἀνέμους καὶ τοιάδε,
καὶ ὅπως νῦν τοὺς ὑψηλοὺς λόγους ἀστρονομίας
τοῖς μυθικοῖς λεαίνει τε καὶ κατασπᾷ τοῖς κάτω·
ἀλλὰ τὸν νοῦν εἰρήκειμεν πάντα συντόμῳ λόγῳ,

νῦν δὲ καὶ μέρη λέξωμεν τῶν χρειωδῶν τινά σοι·
Θεοὺς πάντας εἰρήκειμεν ἄστρα καὶ τοὺς ἀστέρας·
τὸν Δία δὲ κηδόμενον Ἕκτορος παρεισφέρει,
ὡς ὄντα δότην ἀγαθῶν, καὶ ἀγαθὸν ἀστέρα,
καὶ συνεργὸν καὶ πρὸς τὸ ζῆν Ἕκτορα καθεστῶτα,
εἰ μὴ νικῶντες οἱ κακοὶ τοῦτον ἀστέρες ἦσαν·
Ἑρμῆς τε ὁ διπρόσωπος ἐπέτεινε τὴν βλάβην,
καὶ Ἀφροδίτης ὁ ἀστὴρ ὡσαύτως καὶ τὰ φῶτα,
σελήνη τε καὶ ἥλιος ἦσαν ἐν φαύλοις τόποις·
πῶς Τριτογένειαν φησὶ νῦν τὴν σελήνην, μάθε,
ὅτι τριταῖα φαίνεται μετὰ συνόδου χρόνον.
» Πῶς δέ κεν Ἕκτωρ κῆρας ὑπεξέφυγεν θανάτοιο,
» εἰ μή οἱ πύματόν τε καὶ ὕστατον, ἤντετ' Ἀπόλλων
» ἐγγύθεν, ὥς οἱ ἐπῶρσε μένος λαιψηρά τε γοῦνα;
» Λαοῖσιν δ' ἀνένευε καρήατι δῖος Ἀχιλλεύς·
» οὐδ' ἔα ἱέμεναι ἐπὶ Ἕκτορι πικρὰ βέλεμνα,
» μή τις κῦδος ἄροιτο βαλὼν, ὁ δὲ δεύτερος ἔλθοι.
Πῶς δέ κὲν Ἕκτωρ ἔφυγε τὴν μοῖραν τοῦ θανάτου,
εἰ μὴ ὁ ἥλιος αὐτῷ προσβοηθῶν ἐπῆλθε;
τουτέστι κατὰ πρόσωπον φανεὶς τοῦ Ἀχιλέως,
τὸν μὲν, ἀπεῖρξε τῆς ὁρμῆς· τῷ δὲ, προσεβοήθη·
τοῦτο Ὁμήρου παίγνιον νόησον τοῦ πανσόφου·
ὁποῖος ἦν ὁ Ἕκτωρ γαρ καὶ Ἀχιλεὺς ὁποῖος,
τοῖς κατωτέρω ἔπεσιν ἐνφανεστάτως γράφει,
ὅτι ὁ Ἕκτωρ μόνον ἦν, πᾶς δὲ στρατὸς Ἑλλήνων
καὶ δὶ ἐκείνους σύμπαντας ὡς πρὸς φυγὴν ἐχώρει,
κἂν ἀπλουστέροις δείκνυσι δὶ Ἀχιλέα φεύγειν,
ὅμως καὶ οὕτω σὺν στρατῷ παντὶ τῷ τῶν Ἑλλήνων,
αὐτὸς προτρέχων πάντων δε, τὸν ἥρωα οὐκ ἔσχεν·
Ὅμηρος κρύφα παίζων δε τὸν ἥλιόν σοι λέγει
λάμποντα κατὰ πρόσωπον εἶρξαι τὸν Ἀχιλέα,

οἷον εἰ παῖς τις ἀσθενὴς παλαίστρᾳ καταπέσοι,
ἐπιχλευάζων εἴποι δέ τις ἔννους ὡς πρὸς τάδε.
γενναῖος οὗτος πέφυκε, σκέλη πληγεὶς δὲ πίπτει·
τοιαῦτα καὶ ὁ Ὅμηρος παίζων δοκεῖ μοι τῇδε·
ἀλλ' Ὅμηρε δεινότατε τῶν πάντων λογογράφων,
καὶ λέγων τὴν ἀλήθειαν καὶ μὴ δοκῶν δὲ λέγειν,
τὸ, τοῖς λαοῖς ἀνένευεν ὁ Ἀχιλεὺς, καὶ τ' ἄλλα
δεικνύουσι τὸν Ἕκτορα οἷος πρηστὴρ ἦν μάχης·
ἃ δὲ δι' ἥλιον νῦν φῂς, παίγνια σοῦ τυγχάνει·
πατήρ. ἡ εἱμαρμένη δε ἡ πᾶν ἀπογεννῶσα·
χρύσεια τάλαντα φησὶ ῥοπὴν τῆς εἱμανμένης·
τὸ, λίπεν ὁ Ἀπόλλων δὲ, τοῦτο δηλοῖ ὁ Φοῖβος·
ὅτι ἐπεί περ εἵμαρτο Ἕκτορα τεθνηκέναι,
ὁ συνεργῶν πρὶν ἥλιος τῷ βλάπτειν Ἀχιλέα,
οὐδὲν ἐλυσιτέλησεν ὡς μὴ θανεῖν ἐκεῖνον·
» Πηλείωνα δ' ἵκανε θεὰ γλαυκῶπις Ἀθήνη·
Νῦν Ἀθηνᾶν, τὴν συσκευὴν, τὸν δόλον ὀνομάζει·
δι' οὗ περ διεξέδραμεν Ἕκτωρ τὴν βίου πύλην·
θεοὺς δ' ἐπιμοσσώμεθα, ὀμόσωμεν στοιχεῖα,
τὸν οὐρανόν τε καὶ τὴν γῆν, τὴν θάλασσαν, ἀστέρας·
θεοί με νῦν ἐκάλεσαν πρὸς θάνατον· ὁ δόλος,
τουτέστιν ἐξ ἀπάτης νῦν καὶ δόλων ἀποθνήσκω,
τὸ ἑνικὸν πληθυντικῶς θεοὺς κατονομάσας,
μεθόδῳ τῆς δεινότητος. ἢ καὶ τὴν εἱμαρμένην·
ἀλλ' ἐστι κρεῖττον ἐν τοῖς νῦν, θεοὺς τὸν δόλον λέγειν,
ὃν πρὶν προεῖπεν Ἀθηνᾶν ὁμοίαν Δηϊφόβῳ,
τὴν πανουργίαν τοῦ ἀνδρὸς ἐκείνου τοῦ δολίου,
ὃς καὶ τὸ δόρυ τὸ ῥιφὲν καθ' Ἕκτορος εἰς μάτην,
ἔμπαλιν ἀντανέστρεψεν ὡς πρὸς τὸν Ἀχιλέα·
τὸ, ἐπιείκελε θεοῖς, τοῖς ἄστρασιν ὁμοῖε·
ἐκ τοῦ Διὸς τὸν μόρον δὲ ᾔδεις, τῆς εἱμαρμένης,

τὸ, εἴ τι ἔδωκε θεὸς, πάλιν ἡ εἱμαρμένη·
εἴτ' οὖν, εἴ πέρ σοι πάρεστι ῥώμη χειρὸς καὶ σθένος·
θεοὶ γὰρ ὡς προείπομεν, αἱ ψυχικαὶ δυνάμεις·
ὡς ἔστι νῦν καὶ τὸ θεοὶ, ὡς εἴπομεν, οἱ δόλοι·
καὶ Ἀθηνᾶ ὁμοίως νῦν· παράχρησις δὲ τοῦτο·
αἱ ἀρεταί γαρ σύμπασαι μεσότητες τελοῦσιν,
ἑκάστῃ δ' ἑκατέρωθεν παράκεινται κακίαι,
ἐλλείψεως ἡ μία μεν, ὑπερβολῆς ἑτέρα·
ὥς περ καὶ νῦν ἡ φρόνησις ὡς ἀρετὴ, μεσότης·
κακία μετὰ ἔλλειψιν πάλιν, ἡ ἀφροσύνη·
κακία δ' ὑπερβάλλουσα, φρονήσεως οἱ δόλοι·
Ζηνὶ, τῇ εἱμαρμένῃ δε, Ἀπόλλωνι, ἡλίῳ·
ἤτοι, οὕτως ἐδέδοκτο ἐμοῦ τῇ εἱμαρμένῃ,
καὶ χρόνος τέλος ἔσχηκε ζωῆς ἐμῆς, ὡς βλέπω·
ὁ χρόνος περιδρόμοις δε ἡλιακοῖς πληροῦται·
ὃς Ἥφαιστος τὸ πῦρ ἅμα καὶ ὁ πυρὸς ἐργάτης,
περὶ τὸν λόφον τοῖς κυνῆς τέθεικε πυκνοτέρως.
» Φράζεο νῦν μή τοι τι θεῶν μήνιμα γένωμαι,
μή σοι ὀργὴ ἐκ τῶν θεῶν ἔλθοι, τῆς εἱμαρμένης,
ἐν τῷ ναῷ Ἀπόλλωνος ὅταν σε Πάρις κτάνῃ·
τὴν ἐν ναῷ ἀναίρεσιν τήν δε τοῦ Ἀχιλέως
εἰδὼς ὁ Ὅμηρος φησὶν, Ἕκτωρ δ' οὐκ ἦν προφήτης,
ἢ ἴσως ἐν μαντεύμασι προείδει καὶ ὁ Ἕκτωρ·
ὁ Ζεὺς, ὁ πλάνης νῦν ἀστήρ· θεοὶ, ἀστέρες ἄλλοι,
τουτέστι, θάνω καὶ αὐτὸς, ᾗ μοίρᾳ ἐκληρώθην·
θεοὶ δαμάσαι ἔδωκαν, καὶ νῦν ἡ εἱμαρμένη.
» Ὦ, Τρῶες κατὰ ἄστυ θεῷ ὡς εὐχετόωντο·
τουτέστι ᾧ ἡβρύνοντο, ἐκόμπαζον μεγάλως,
οἷα θεῷ τυγχάνοντι, στοιχείῳ ἐκ τεσσάρων,
ὕδατι, γῇ, ἀέρι τε, ἢ τῇ πυρείᾳ φύσει,
ἅ περ τὰ πάντα συνιστᾷ καὶ διεκτρέφει πάντα,

ὁ Ζεὺς, ἡ εἱμαρμένη μὲν ἔδωκεν αἰκισθῆναι,
ὥς περ θεὸν δεδείχατο, ὡς ἥλιον ὡς τ' ἄλλα·
γλαυκῶπις πάλιν Ἀθηνᾶ, ὡς πρὶν εἶπον, ὁ δόλος·
κρήδεμνον θ' ὃ ῥά οἱ δῶκε χρυσῆ Ἀφροδίτη
ἐπιθυμίας ἄξιον· ἀπέραςον· ὡραῖον·
χρυσᾶ δὲ ὡς τιμώμενα τὰ ἐραςὰ νῦν λέγει·
οὕτω τὸ κρήδεμνον φησὶ νῦν δῶρον Ἀφροδίτης·
ἢ, ὁ καιρὸς ὁ γαμικὸς παρέσχετο ἐκείνῃ·
τὰ ἐραςὰ καὶ γαμικὰ πάντα δὲ, Ἀφροδίτης·

## ὙΠΟΘΕΣΙΣ ΤΗΣ Ψ. ὉΜΗΡΟΥ ῬΑΨΩΔΙΑΣ

Ὁ Ἀχιλεὺς τὸν Πάτροκλον θάψας ὡς τότε νόμος,
προςφάξας τούτου τῇ πυρᾷ δώδεκα Τρώων νέους,
καὶ ἵππους, ἅμα κύνας τε καὶ ἕτερα ἱρεῖα,
ποιεῖ καὶ ἐπιτάφιον ἀγῶνα μετὰ ταῦτα,
ἐν ᾧ περ Διομήδης μὲν ἐνίκησε τοῖς ἵπποις,
ὁ Ὀδυσσεὺς τῷ δρόμῳ δε, καὶ ἕτεροι ἑτέροις.
» Μυρόμενοι· μετὰ δέ σφι Θέτις γόϐ ἵμερον ὦρσε·
Θέτιδα νῦν τὸ ἔνυγρον κατάςημά μοι νόει·
ἡ γὰρ ὑγρότης κλαίϐσι δάκρυον πλεῖςον φέρει,
ὑγραίνουσα τὰ σώματα, ξηρότης τϐναντίον·
φλογὸς Ἡφαίςϐ, τϐ πυρὸς κατὰ μετωνυμίαν·
Ζῆνα, τὸν κύκλον ϐρανϐ νῦν πάντα κατομνύει
ἡ κὴρ, καὶ μοῖρα, φανερά· πολλάκις εἶπον ταῦτα·
χρύσεος ἔςιν ἀμφορεὺς, ἀγγεῖον, ὃ ἡ Θέτις
τῷ Ἀχιλεῖ παρέσχηκε· Θέτις ἡ τϐτου μήτηρ·
ἐν ᾧ ῥηθέντι ἀμφορεῖ ὄντι χρυσῆς ἐξ ὕλης,
τριῶν φιλϐντων τέφρα τε κεῖται καὶ τὰ ὀςέα,

Πατρόκλου, Ἀντιλόχου τε αὐτοῦ τοῦ Ἀχιλέως·
ἡ ῥοδοδάκτυλος ἠώς, ἡ τὰ δακτύλων ἔργα
δεικνῦσα ὡραιότατα χαρίτων Ἀφροδίτης,
οὐ μὴν ὁποῖα τῆς νυκτὸς οὐκ ἐξηκριβωμένα·
τοῖς ποταμοῖς οἱ παλαιοὶ ἔκειρον πρώτας κόμας,
ὡς νῦν φησὶν ὁ Ἀχιλεὺς πρὸς Σπέρχειον γλυκέως·
ὅτι τὸ ὕδωρ αἴτιον τοῦ τρέφεσθαι τὰς κόμας·
» Ἐς πηγάς· ὅθι τοι τέμενος βωμός τε θυήεις.
Σέβας οἱ πρὶν ἀπένεμον τοῖς τέσσαρσι στοιχείοις,
ναοὺς τὲ τούτοις ἵδρυον, βωμοὺς τὲ θυηδόχους·
πυρὸς μένος σιδήρεον, τὸ μέγιστα ἰσχύον·
» Ὣς φάτ' ἀπειλήσας· τὸν δ' οὐ κύνες ὀμφιέποντο,
» ἀλλὰ κύνας μὲν ἄλαλκε Διὸς θυγάτηρ Ἀφροδίτη
» ἤματα καὶ νύκτας· ῥοδόεντι δὲ χρῖεν ἐλαίῳ,
» ἀμβροσίῳ, ἵνα μή μιν ἀποδρύφοι ἑλκυστάζων·
» τῷ δ' ἐπὶ κυάνεον νέφος ἤγαγε Φοῖβος Ἀπόλλων.
Οὕτως εἶπε καυχώμενος κυσὶ δ' οὐχὶ παρέσχεν·
ἀλλ' ἀπεσόβει κύνας μὲν ἐκ τούτου Ἀφροδίτη,
ἡ τοῦ οἰκείου λογισμοῦ τούτου ἐπιθυμία·
Δία γὰρ νῦν τὸν λογισμὸν τοῦ Ἀχιλέως λέγει,
καὶ τὴν ἐπιθυμίαν δὲ τὴν τούτου Ἀφροδίτην·
ἐνθυμηθεὶς Πριάμῳ γαρ τὸν Ἕκτορα πωλῆσαι,
ἐλαίῳ τοῦτον ἔχρισεν, ὡς ἄσηπτον τηρείη·
τὸ παλαιὸν γὰρ ἔλαιον, καθάπερ καὶ οἱ ἅλες,
τραυμάτων οὔλωσιν ποιεῖ, καὶ ἄσηπτα τηρεῖ δε·
ὅθεν φησὶν ὁ πάνσοφος οὗτος ἀνὴρ ὁ γέρων
ἀμβρόσιον τὸ ἔλαιον καὶ θείους δὲ τοὺς ἅλας·
οὕτω τὴν Ἀφροδίτην μοι νόησον τοῖς ἐνθάδε·
μὴ μέν τοι τὸ κατάστημα τὸ ἄκρατον νῦν εἴπῃς·
περὶ γὰρ καταστήματος τοιούτου πάλιν λέγει
κυάνεον Ἀπόλλων δὲ ἤγαγε τούτῳ νέφος,

μὴ πρὶν, ἤτοι μὴ πρότερον, πρὶν ἂν ἐμπολιῃθείη,
ξηράνῃ τούτου ἥλιος τὸν χρῶτα καὶ τὰ νεῦρα,
Ἀπόλλων δὲ καὶ ἥλιος ἓν ἄμφω πεφυκότα·
δι' ἃς δυνάμεις ἔχοιμεν ζωογονεῖν καὶ τρέφειν,
καὶ ἀπολύειν τῶν κακῶν, ποτὲ καὶ ἀπολλύειν,
τῷ ἀνασπᾶν ἀπὸ τῆς γῆς ἀτμοὺς λοιμωδεστέρους,
Ἀπόλλων ὀνομάζεται, ἥλιος δὲ ὡς λάμπων,
δήλιος ὢν καὶ φανερός· καὶ ἥλιος, ἐκθλίψει·
ἀλλὰ βραχὺ καὶ πάλιν μοι ἀναληπτέον τοῦτο.
Ὁ Ἀχιλεὺς τὸν Ἕκτορα κατέχριεν ἐλαίῳ,
τηρῶν ἐκεῖνον ἄσηπτον, ὡς ἂν ἀπεμπολήσῃ
ἦν δὲ καὶ τὸ κατάστημα σθένος τηρεῖν ἀσήπτως,
κατανεφὴς ὑπῆρχε γὰρ ὁ ἥλιος τῷ τότε,
λαμπρὰς ἀκτῖνας οὐ δεικνὺς, ξηραίνειν, οὐδὲ σήπτειν·
» Ὕλη τε σεύαιτο καήμεναι· ὠκέα δ' Ἶρις,
» ἀράων ἀΐουσα μετ' ἄγγελος ἤλθ' ἀνέμοισιν·
» οἱ μὲν ἄρα Ζεφύροιο δυσαέος ἀθρόοι ἔνδον
» εἰλαπίνην δαίνυντο· θέουσα δὲ Ἶρις ἐπέστη.
Ἡ τοῦ Πατρόκλου μὲν πυρὰ οὐχὶ ἀνῆπτε τότε·
τοῦ Ἀχιλέως τὸ λοιπὸν ἀνέμους πνεῖν ποθοῦντος,
Ἶρις ἐφάνη παρευθὺς τὸ νεφελῶδες τόξον,
καὶ δυτικοὺς ἐκίνησεν ἀνέμους παραυτίκα·
» Ἶρις γὰρ πελάγους ἄνεμον φέρει, ἢ μέγαν ὄμβρον·
αὐτὴ δὲ πρὸς τὸ πέλαγος τῶν Αἰθιόπων ἔδυ·
ὅρα δὲ τὸν χρυσόγερων οἷα καὶ πάλιν παίζει
ἄγγελον Ἶριν λέγων σοι καλοῦσαν τοὺς ἀνέμους,
καὶ εἰλαπίνας τούτων δὲ τοῖς δώμασι Ζεφύρου·
ὅ περ σημαίνει νέφωσιν ἐν μέρεσιν ἑσπέρας,
ἐξ ὧν νεφῶν καὶ ἄνεμοι ἔμελλον ἐκραγῆναι·
Βοῤῥᾶν δὲ νόει δυσσαῆ, μὴ δύσπνουν, ὡς δ' ὁ Τζέτζης,
τὸν ἐκ δυσμῶν ἐκπνέοντα τὸν κάλλιστον ἀνέμων·

βηλὸν, τὴν βάσιν νόησον, ὅπου περ ἦν τὰ νέφη,
ἐξ ὧν καὶ ἀνεσκίρτησαν οἱ ἄνεμοι εὐθέως,
ὡς λεπτυνάσης τὸ ὑγρὸν τῆς Ἴριδος τῷ τότε,
καὶ ἕκαςος ἐκάλει δε πρὸς ἑαυτὸν ἐκείνην·
πάντες αὐτῆς κινήσει γαρ ἀνώρμησαν ἐκπνέειν,
καὶ κατελθεῖν δ' ἐς πέλαγος μερῶν τῶν ἑσπερίων,
ὅπȣ καὶ οἱ Αἰθίοπες εἰσὶν οἱ τῆς ἑσπέρας·
λέγει δ' αὐτῆς ὀπάρνησιν καθέδρας σὺν ἀνέμοις,
σπουδήν δε ἀπελεύσεως εἰς γῆν τῶν Αἰθιόπων,
οὗ περ θυσίαι τοῖς θεοῖς, ὧν καὶ αὐτὴ μετάσχοι·
οὗ περ τὸ ὕδωρ καὶ λοιπὰ ςοιχεῖα συνυπάρχει·
τὸ ὕδωρ πάχος γὰρ λαβὸν, γῆν παρειςφέρει πάντως,
ἀραιωθὲν ἀέρα δε καὶ πῦρ αὖ ἐπὶ πλέον·
ȣ̓́τως ἐκεῖσε οἱ θεοὶ, τȣτέςι τὰ ςοιχεῖα,
ἐδαίνυντο, παρȣ́σης δε καὶ Ἴριδος τῷ τότε·
Ἶρις γάρ ἐςι πρόςπτωσις ἡλίȣ περὶ νέφος.
Ἐγνώκεις καὶ τὸ παίγνιον Ὁμήρου τȣ͂ πανσόφȣ,
ἵππους νῦν ἀθανάτους μοι τȣ̀ς ἀθλοφόρους νόει,
ὧν ἀρετὴ αἰώνιος, μυρία νικησάντων·
ὁ Ποσειδῶν δὲ τῷ Πηλεῖ τοὺς ἵππȣς πῶς δωρεῖται.
τȣ́τȣς Πηλεὺς ὠνήσατο θαλάσσῃ κομισθέντας,
Ἀράβων εἴ τε Σικελῶν, εἴ τε καὶ γῆς Περσίδος·
πῶς τὸν Αἰνείαν ἔσωσεν Ἀπόλλων προεγράφη·
ὁ Ζεὺς, ἡ εἱμαρμένη νῦν εἶναι τανῦν νοείτω·
ὁ Ζεὺς καὶ Ποσειδάων δε πάλιν ἐν Ἀντιλόχῳ,
ὁ λογισμὸς καὶ ὁ θυμὸς, ὁ προςφυὴς καὶ πρέπων·
τȣτέςι, σὺ καὶ φρόνιμος καὶ τολμηρὸς ὑπάρχεις·
Ἀρίων ὁ Ἀδράστȣ δε ἵππος ἦν θεῖον γένος,
ὡς ὁ Πηλέως ἄριςος ἄθλοις λαμβάνειν ἆθλα·
ἀντίθεον δὲ Φοίνικα, φρόνιμον ἀληθῆ τε,
ἶσον αὐτῷ τῷ λογισμῷ καὶ τῇ δικαιοσύνῃ·

'Απόλλων, νῦν ὁ ἥλιος, βλάπτει τὸν Διομήδην·
κατ' ὀφθαλμῶν ἐπαφιεὶς τὸ σέλας τῶν ἀκτίνων·
ἡ 'Αθηνᾶ δ' ἡ φρόνησις, νῦν καὶ ἡ πανουργία,
ἣ Διομήδην σώζει μὲν, τὸν Εὔμηλον δὲ βλάπτει,
ἡ Διομήδȣς φρόνησις λέγω καὶ πανουργία,
ἣ Διομήδην, φρόνημα ἔσωσε τὸ οἰκεῖον·
τῷ μὴ σκοπεῖν τὸ δέον δε, ὁ Εὔμηλος ἐβλάβη·
τὸ ἅρμα γὰρ κατέαξε τόποις ἐλῶν δυςβάτοις·
τὸ, ὤφελεν ὁ Εὔμηλος εὔχεσθαι ἀθανάτοις,
ἔδει σκοπεῖν τε καὶ φρονεῖν ὅπως ἐλαύνει λέγει·
σοὶ δὲ θεοὶ ἀντίχαριν· ἤτοι ἡ εἱμαρμένη·
ἡ 'Οδυσσέως 'Αθηνᾶ, πάλιν ἡ πανουργία·
» 'Αθάνατοι τιμῶσι παλαιοτέρȣς ἀνθρώπȣς·
νῦν καὶ ἡ εἱμαρμένη μέν· ἀλλὰ καὶ μᾶλλον, πλέον
ἡ φρόνησις· σὺν ταύτῃ τε πραγμάτων ἐμπορεία·
ὁ Τεῦκρος ταῖς ἀκτίνεσιν ἐβλάβη τȣ̃ ἡλίου,
διὸ φησὶ μὴ εὔξασθαι 'Απόλλωνι ἐκεῖνον,
καὶ πάλιν ὡς ἐμέγηρεν ἐκείνῳ ὁ 'Απόλλων

## 'ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ω. 'ΟΜΗΡΟΥ 'ΡΑΨΩΔΙΑΣ

'Ο Ζεὺς φροντίζων Ἕκτορος τȣ̃ ἥρωος ἐκείνου,
τὴν Θέτιν πέμπει πρὸς υἱὸν τὸν 'Αχιλέα ταύτης,
ὡς ἀποδῷ τȣ̃ ἥρωος τὸ σῶμα τῷ Πριάμῳ,
τὴν Ἶριν δὲ πρὸς Πρίαμον ὁ Ζεὺς ἐξαποϛέλλει,
ὡς διὰ δώρων τὸν νεκρὸν τȣ̃ Ἕκτορος ἐκλάβῃ·
Πρίαμος δὲ πρὸς τὴν σκηνὴν πεμφθεὶς τȣ̃ 'Αχιλέως
ὑπὸ Ἑρμȣ̃ κοιμήσαντος φύλακας τῶν Ἑλλήνων,
καὶ δȣ̀ς αὐτῷ τὰ δῶρα δε καὶ τȣ̃τον ἱκετεύσας,

ἀπολαμβάνει τὸν υἱόν· κομίσας δ' εἰς τὴν πόλιν
θάψας, τὸν ἐπιτάφιον δεῖπνον κατασκευάζει·
αὕτη δὲ ἡ ὑπόθεσις ἐστὶν ω τοῦ μεγάλου.
"Οπως 'Απόλλων "Εκτορα ἐφρούρει τῶν ἀσήπτων,
καὶ τὶς 'Απόλλων πολλαχοῦ καὶ ἐν τῇ ψῖ εἰρήκειν
ὡς ὁ 'Απόλλον ἥλιος ἦν συννεφὴς τῷ τότε·
ἡ δὲ χρυσῆ αἰγίς ἐστιν ἀκτῖνες τῶν τιμίων,
ἤτοι ἀκτῖνες εὔκρατοι νέφεσι κεκραμμέναι·
θεοὺς δὲ κατοικτείροντας τὸν "Εκτορα ῥητέον,
καὶ τὶς 'Ερμῆς ὃν ὤτρυνον "Εκτορος κλέπτειν σῶμα·
θεοὺς νῦν τὰ στοιχεῖα μοι νόησον τῇδε λέγειν·
ἐφ' ὅλαις ἕνδεκα καὶ γὰρ ἡμέραις συνεχεῖτο
ὥς περ ἐπιστυγνάζοντα τοῦ "Εκτορος τῷ πάθει.
κἂν γῇ καὶ τοῖς φωστῆρσι τε συνέβαινε μυρία,
σεισμοὶ καὶ βόμβοι, μυκηθμοὶ, καὶ κρύψεις τῶν ἀστέρων,
βρονταὶ σκληραὶ καὶ κεραυνοὶ, δειναί τε καταιγίδες,
ἀστέρες διατρέχοντες, κομῆται καὶ τοιάδε,
τὰ κομητῶν δὲ σύμπαντα καὶ πᾶν ἄλλο τοιόνδε·
'Αρεϊκὰ καὶ τοῦ 'Ερμοῦ τυγχάνουσιν ἀστέρος,
ἅ περ εἰ ἐπικράτησε καὶ ἔτι περαιτέρω,
ἔκλεψαν ἂν τὸν "Εκτορα τινὲς ἐξ 'Αχιλέως,
καὶ τῷ πατρὶ δεδώκασι Πριάμῳ τοῦτον θάπτειν·
τὰ τοῦ 'Ερμοῦ πνευμάτων γαρ δηλωτικὰ τυγχάνει,
καὶ ἐμπορίας συνεργὰ καὶ ἄλλων δὲ μυρίων·
πολλάκις καὶ ἐκκλέπτουσι δεσμῷ τοὺς κακουμένους
τοῦτο ὁ "Ομηρος φησὶ τοῖς ἔπεσιν οἷς λέγει,
» κλέψαι δ' ὀτρύνεσκεν ἐΰσκοπον 'Αργειφόντην
τοὺς ἐξ ὀβελιστέον δὲ τοὺς μετὰ τοῦτον στίχους,
μετὰ τὸ κλέψαι δ' ὤτρυνον ἐΰσκοπον 'Αργειφόντην.
'Αλλ' ὅτε δωδεκάτη μὲν λέγει ἠὼς ἐφάνη,
» Καὶ τότ' ἄρ' ἀθανάτοισι μετηύδα Φοῖβος 'Απόλλων·

» Σχέτλιοί ἐστε θεοὶ, δηλήμονες ȣ͗ νύ ποθ' ὔμμιν
» Ἕκτωρ μηρί' ἔκηε βοῶν αἰγῶν τε τελείων;
Πρὸς ἕνδεκα ἡμέρας μεν ἦν ζάλη τῶν στοιχείων,
καὶ ἥλιος ȣ͗κ ἔφαινε τὸ πρότερον ȣ͗δόλως,
ἐπὶ τῇ δωδεκάτῃ δε ἥλιος μὲν ἐφάνη·
τὸ τȣ͂ ἀέρος δὲ λεπτὸν ἀνέτειλεν ἐκείνῳ,
νέφη κινȣ͂ν καὶ μερικῶς κρύπτων ἀκτῖνας τȣ́τȣ·
ὁ ζωογόνος δὲ ἀὴρ Ζεὺς παχυνθεὶς ἐς πλέον
τῷ λεπτοτέρῳ καὶ θερμῷ ἀντέτεινεν ἀέρι,
καὶ νέφος δὲ συνέστησεν ἔνυγρον πάχος πλέον,
ᾧ προςβαλὼν ὁ ἥλιος ἐποίησε τὴν Ἶριν,
ἡ δ' Ἶρις ἀνεῤῥόφησεν ὑγρὸν ἐκ τȣ͂ πελάγους
τοσȣ͂τον, ὥςτε φαίνεσθαι τὸν πρόσγειον ἀέρα
τῆς ἀσελήνȣ τῆς νυκτὸς μελάντερον ἐς πλέον·
ὃ ὕδωρ τότε συναχθὲν, τῷ μὲν λεπτῷ ἀέρι
πρῶτα κινȣ́μενον, μικρὸν ἀραιωθὲν ἐφάνη·
εἶτα τῷ πλήθει πάχει τε πλέον λαβὸν τὸ βάρος.
ῥαγδαῖος ὄμβρος γίνεται καὶ κατακεῖται κάτω·
νῦν προσωποποιήσας σοι ὁ Ὅμηρος τὰ πάντα,
τὸν ἥλιον Ἀπόλλωνα Φοῖβον κατονομάζει,
θεοῖς καταμεμφόμενον, τȣτέστι τοῖς στοιχείοις,
ἀνθ' ὧν θεοσεβέστατον Ἕκτορα πεφυκότα,
ȣ͗δὲ θανόντα ῥύονται τȣ͂ ἀπηνȣ͂ς Πηλείδȣ·
τὸ τȣ͂ ἀέρος δὲ λεπτὸν Ἥραν καλεῖ τῇ κλήσει,
καὶ ἀντιπίπτȣσαν αὐτῷ ταύτην σοὶ παρειςφέρει
τῷ συγκαλύπτειν μερικῶς ἐκείνȣ τὰς ἀκτῖνας·
ὅ περ καὶ λόγȣς τλάττει σοι τῆς Ἥρας πεφυκέναι
λεγȣ́σης γυναικὸς μαστὸν τὸν Ἕκτορα θηλάσαι,
ἤτοι θνητὸν θηλάσαντα μαστὸν τὸν γυναικεῖον,
τὸν δ' Ἀχιλέα Θέτιδος παῖδα θεᾶς ὑπάρχειν·
γενναῖον δὲ καὶ θυμικὸν ὡς παῖδα τῆς θαλάσσης.

ἣν Θέτην Ἥρα ἔθρεψε καὶ τῷ Πηλεῖ συνῆψε·
ὃς περὶ κῆρι φίλτατος πᾶσι θεοῖς ὑπῆρχε,
οὗ περ τοῖς γάμοις οἱ θεοὶ πάντες ὑπῆρχον τότε,
καὶ ὁ Ἀπόλλων δὲ αὐτὸς, φόρμιγγι κεχρημένος.
Πῶς δὲ ἡ Ἥρα ἔθρεψε τὴν Θέτιν νῦν ῥητέον·
τὸ τοῦ ἀέρος πρὶν λεπτὸν, ὃ καὶ Ἡφαίστου μήτηρ,
συγκεχυμένου τοῦ παντὸς ἐν τῇ κοσμογενείᾳ,
κινούμενον διήρθρωσε καὶ φιλικῶς συνῆψεν
ὁμοῦ τὴν γῆν καὶ θάλασσαν, τὴν Θέτιν, τὸν Πηλέα,
ὃς ἐκ ψυχῆς ἐστέργετο πᾶσι τοῖς ἀθανάτοις·
εἰ μὴ γὰρ πάντων γέγονε σύγκρασις τῶν στοιχείων.
οὐκ ἂν ὁ κόσμος ὁ Πηλεὺς, τὸ σύνολον ὑπέστη·
οὕτω καὶ τὸ λεπτότερον ἀέρος Ἥραν εἶπεν,
τὸ δὲ παχυμερέστερον ἀέρος πάλιν λέγει,
ὑφ᾽ οὗ ἡ Ἶρις γέγονεν, ἐκ ταύτης δὲ ὁ ὄμβρος,
Δία τὴν Ἶριν πέμψαντα τὴν Θέτιδα καλέσαι·
τὸ μέλαν νέφος, Θέτιδος μελαμφορίαν λέγει,
καὶ πρὸς θεοὺς ἀνέλευσιν· τὴν πύκνωσιν δ᾽ ἀέρος
Ἀθύνης ὑποχώρησιν ἔτι κατονομάζων,
καὶ σὺν Διῒ τῆς Θέτιδος λέγει δὲ συνεδρίαν·
τὸ λεπτυνθῆναι δὲ βραχὺ κεράσματι τῆς Ἥρας,
τὸ πάλιν παχυνθῆναι δὲ τὸ νέφος ὡς καὶ πρώην,
καὶ κρύψαι τὸ λεπτομερὲς ἀέρος καὶ πυρῶδες
πιοῦσαν λέγει Θέτιδα, Ἥραν ποτῆρα δοῦναι·
τὸ ὄμβρον γεγονέναι δὲ καὶ καταῤῥεῦσαι κάτω,
Διός φησὶν ἀποστολὴν, ὡς πρὸς τὸν Ἀχιλέα,
μηνύσαντος τὸν Ἕκτορα πωλῆσαι τῷ Πριάμῳ
καὶ γῆν κωφὴν τε καὶ νεκρὸν ἔτι μὴ καταικίζειν·
ἐκ τῆς συγχύσεως καὶ γὰρ καὶ τῶν ῥαγδαίων ὄμβρων,
καὶ Ἀχιλεὺς ἐπέγνωκεν· ὃ δέον ἦν γενέσθαι·
τὸ ἀποδοῦναι τῷ πατρὶ τὸν Ἕκτορα τοῖς δώροις,

καθάπερ καὶ ὁ Πρίαμος ἐκ νεφελώδους τόξȣ,
τὸ ἀπελθεῖν ἐπέγνωκεν αὐτὸν πρὸς τὸν Πηλέως,
εἶναι συμφέρον καὶ καλὸν ὠνεῖσθαι τὲ τὸν παῖδα·
τὴν γὰρ πορείαν κατ' ἀρχὴν τότε πεποιημένος,
καὶ Ἑρμηνέα προσηγὸν εὗρεν ὁδοιπορίας,
καὶ Ἀχιλέως ἐντυχὼν οἰκτείροντος ἐκεῖνον,
λύτροις λαβὼν τὸν Ἕκτορα, φέρει πρὸς τὴν πατρίδα.
Ἡ Θέτιδος κατέλευσις ἡ πρὸς τὸν Ἀχιλέα
καὶ τ' ἄλλα σοι ἐῤῥέθησαν· ἄρτι δὲ δέον λέγειν
τίς ὁ χειρὸς ὁμαλισμὸς καὶ ἡ παρηγορία,
καὶ πῶς ἐκείνῳ γυναικὶ μίσγεσθαι Θέτις λέγει·
ὁ Ἀχιλεὺς τὴν σύγχυσιν ἰδὼν τὴν τῶν ϛοιχείων,
καὶ τὸν ῥαγδαῖον ὑετὸν τὸν τότε γεγονότα,
ὃν περ καὶ Θέτιν Ὅμηρος τȣ́τȣ μητέρα λέγει,
δι' ἃς αἰτίας προλαβὼν εἰρήκειν σοι πολλάκις·
οὕτω σὺν ἄλλοις κατιδὼν καὶ τὸν τοσȣ̃τον ὄμβρον,
ὃν ἐκ Διὸς ἀποϛολὴν τῆς Θέτιδος εἰρήκει,
καὶ συνειδὼς δι' Ἕκτορα γίνεσθαι ταῦτα πάντα,
αὐτὸς αὐτῷ συντίθεται τȣ̃τον μὲν ἐμπωλῆσαι,
ἄν περ ἐξωνησάμενος τίς ἐκ τῶν Τρώων ἔλθοι·
σκοπήσας δὲ καὶ δι' αὐτὸν ὅτι πολλὰ δακρύσας,
νεκρὸν ἐγεῖραι Πάτροκλον ȣ̓κ ἴσχυσεν ȣ̓δόλως·
αὐτός δε θλίψει τρύχεται καὶ πόνοις ἀνενδότοις·
καὶ τότε καὶ βραχύχρονος εἶναι τῷ βίῳ μέλλων,
ποιεῖ ὅ περ καὶ ὕϛερον Ἀρχίλοχος ἐκεῖνος·
σφῆς ἀδελφῆς γὰρ σύζυγον πνιγέντα τῇ θαλάσσῃ,
περιπαθὼς ὠδύρετο· γράφειν μὴ θέλων ὅλως·
λέγων πρὸς τȣ̀ς βιάζοντας συγγράμμασιν ἐγκύπτειν·
» Καὶ μ' ȣ̓́τ' ἰάμβων, ȣ̓́τε τερπωλέων μέλει·
ὡς δὲ δακρύων κέκμηκε μάτην, εἰρήκει τάδε·
» Οὔ τέ τι κλαίων ἰήσομαι, ȣ̓́ τέ τι κάκιον

» θήσω· τερπωλὰς καὶ θάλειαν ἐφέπων·
καὶ ταῦτ' εἰπὼν ἐξώρμησε πρὸς τὴν πλατεῖαν τρίβον·
οὕτω πρὸ τούτου Ἀχιλεὺς καμὼν Πατρόκλου θρήνοις,
παρηγορεῖ τὲ ἑαυτὸν καὶ ὥσπερ ὁμαλίζει·
κἀκ τῆς σκληρᾶς δὲ πράξεως θρήνων τροπεὶς καὶ γόων,
ὡς πρὸς τὸ μαλακώτερον καὶ τρυφερὸν ἐτράπη,
καὶ γυναιξὶ μιγνύμενος καὶ πάντα δρῶν τὰ πρώην·
ἐπεὶ δὲ τὸ χειμέριον κατάστημα τοῦ χρόνου,
πρὸς Ἀφροδίσια κινεῖ τοὺς ἄνδρας ἐπὶ πλέον,
καθάπερ δὴ τὸ θερινὸν ἐς πλέον τὰς γυναῖκας,
συγκεραννύον τὸ θερμὸν τὸ ἔνυγρον ἐκείνων,
ὡς τὸ ξηρὸν τὸ τῶν ἀνδρῶν τὸ ἔνυγρον χειμῶνος·
ὁ Ὅμηρος ὁ πάνσοφος, ἡ βρύσις τῶν χαρίτων,
μὴ θέλων κομπολάκυθα τοῖς φυσικοῖς λαβράζειν,
ὡς οἱ μεταγενέστεροι καὶ μετὰ τοῦτον πάντες,
ἐν μυθικῇ γλυκύτητι τὸ φυσικὸν κεράσας,
Θέτις καθομιλήσασα τούτου φησὶ τὴν χεῖρα,
μίγνυσθαι εἶπε γυναιξὶ, τῶν ἀγαθῶν ὑπάρχει.
Ταυτὶ μὲν οὕτως ἔχουσιν· ἄλλα λοιπὸν λεκτέον,
ἡ Ἶρις δὲ ἡ ἄγγελος ἡ ἐκ Διὸς Πριάμῳ,
οὐκ ἄλλο πέφυκεν οὐδὲν ἢ νεφελῶδες τόξον.
ὅ περ φανὲν ἐξ οὐρανοῦ ὁ Πρίαμος ὡς εἶδεν,
ἦσαν οἰωνοσκόποι γὰρ καὶ ἀστεροσκοποῦντες,
σημεῖον γνοὺς τῶν εὐτυχῶν εἰς καταρχὴν πραγμάτων,
οὐδ' οὐ λοιπὸν κατάρχεται τῆς πρὸς τὸν Ἀχιλέα·
θεοειδὴς, ὡραῖος δὲ καθάπερ οἱ ἀστέρες·
ἀντίθεον, ἰσόθεον, ἶσον θυμῷ ταῖς μάχαις·
θεὸν τὸν Ἕκτορα φησὶ πῦρ πρὸς τοὺς ἐναντίους·
καὶ παῖδα τοῦτον δὲ θεοῦ, πυρὸς ἢ καὶ θαλάσσης,
δέος τὲ καὶ κατάπληξιν φέροντα πολεμίοις,
Διΐ τε καὶ Κρονίωνι κελαινεφεῖ πάλιν·

Ἰδαίῳ, ὀρανίῳ νῦν τῶν Τρώων εἱμαρμένῃ·
Διῒ ὁμοίως, πάλιν δὲ ὡς καὶ τὸ, Ζεῦ καὶ Ζεὺς δε,
ὁμοίως καὶ τὸ Ζῆνα δὲ τὴν εἱμαρμένην λέγει·
Ἑρμῆν τὰς ἀςροῤῥύσεις γε φησὶ καὶ τὸς κομήτας·
πῶς εἱμαρμένης τὸν Ἑρμῆν υἱὸν δὲ ὀνομάζει,
υἱὸν τελῦντα ὀρανοῦ τὸ πρὸς ἀέρος, μάθε·
κομῆται, ἀςροῤῥύσεις τε, διάττοντες καὶ τ᾽ ἄλλα,
ἅ περ εἰσὶν Ἑρμαϊκὰ καὶ Ἄρεος ἀςέρος,
ἀέρος περιττώματα καθέςηκε καὶ πάθη·
ἐπεὶ δὲ ταῦτα γίνεται σημεῖα τῶν μελλόντων,
τῆς εἱμαρμένης ὁ Ἑρμῆς ὅτω καλεῖται τέκνον·
Ἑρμῆς δ᾽ ὡς τέτων ἑρμηνεὺς καὶ δηλωτὴς ἐκλήθη.
» Ἑρμεία, σοὶ γάρ τε μάλιςά δε φίλτατον ἐςὶν,
» ἀνδρὶ ἑταιρίσσαι· καί τ᾽ ἔκλυες ᾧ κ᾽ ἐθέλησθα·
» βάσκ᾽ ἴθι καὶ Πρίαμον κοῖλας ἐπὶ νῆας Ἀχαιῶν,
» ὣς ἄγαγ᾽ ὡς μήτ᾽ ἄρ τις ἴδῃ, μήτ᾽ ἄρ τε νοήσῃ·
Ὅρα τὸν μέγαν Ὅμηρον πῶς τῇ αὐτῷ μεθόδῳ
τῇ τῆς ἀλληγορίας δε καὶ ὀχ᾽ ἑτέρως λέγων,
τὰ ταπεινὰ μὲν ἀνυψοῖ συνάμα καὶ γλυκάζει·
χειμῶνας, ὄμβρους καὶ τινὰ τῶν εὐτελῶν πραγμάτων,
τὰ ὑψηλὰ καθέλκει δε πρὸς τὸ σαφὲς καὶ μέσον·
οἷα τὰ φυσικώτερα, καὶ τῆς ἀςρολογίας,
καὶ τῶν μεγίςων δὲ τεχνῶν ὧν γράφει τῶν ἑταίρων
πάντα ζυμῶν ἐν νέκταρι· κόμπυ δὲ γράφων ἄτερ·
ὡς τῇδε νῦν ἀςρονομῶν, ἀςρολογῶν τε ἅμα
καὶ γράφων εὐληπτότατα καὶ διαυγῆ τῷ λόγῳ,
τὸ βάθος ἔνδον παρεικὼς καὶ τὰ κομψὰ τὸ τύφυ·
θέλων ἀποτελέσματα Ἑρμαϊκὰ γὰρ φάναι,
ὧν ἐν καὶ ἡ ἐπίτευξις, ὧν περ τυχεῖν τις χρήζει,
ναὶ μὴν καὶ ἡ φιλίωσις καὶ ἡ συγκοινωνία,
εἰ κατ᾽ ἀρχὴν ποιήσει τις Ἑρμῇ καὶ τοῖς ἐκ τέτυ,

καὶ ὡς τοιούτῳ δὲ καιρῷ Ἑρμαϊκῶν σημείων,
Πρίαμος καταρξάμενος χωρεῖν πρὸς Ἀχιλέα
εὗρε τινὰ τῶν εὐγενῶν στρατοῦ τοῦ τῶν Ἑλλήνων·
παρ' οὗ στοργῇ πρὸς τὴν σκηνὴν ἐλθὼν τοῦ Ἀχιλέως,
οἰκτειρηθεὶς καὶ τούτῳ δὲ καὶ μετασχὼν τραπέζης,
πάντων ὧν ἔχρηζε τυχὼν, πρὸς Τροΐαν ὑπεστράφη·
οὕτω μὲν ὤφειλεν εἰπεῖν, ἀφεὶς κομψῶδες γράφειν,
ὁ Ζεὺς καλέσας τὸν Ἑρμῆν υἱὸν αὐτοῦ εἰρήκει·
πρὸς Ἀχιλέα κόμισον τὸν Πρίαμον, Ἑρμεία,
σοὶ γὰρ ἔργον καθέστηκε τὸ φιλοῦν ἀνθρώπους·
πέδιλα μὲν Ἑρμαϊκὰ κινήσεις τούτων λέγει
ῥάβδον χρυσῆν δὲ τοῦ πυρὸς οὐσίαν ὀνομάζει,
ἐξ ἧς ἐπιστηρίζονται καὶ γίνονται τοιάδε,
ἤγουν τὸ πᾶν Ἑρμαϊκὸν καὶ τούτων αἱ δυνάμεις,
αἱ τῶν ἀνδρῶν τὰ ὄμματα καὶ τῶν ἀνδρῶν ἀγρίων,
ὁποῖος ἦν καὶ Ἀχιλεύς· θέλγουσιν, ἡμεροῦσι·
τοὺς δὲ ὑπνώδεις καὶ δειλοὺς καὶ καταπτοημένους,
ὁποῖος ἦν καὶ Πρίαμος, ἐγείρουσι τοῦ φόβου,
τὰ τοῦ Ἑρμοῦ, τοῦ λόγου δὲ, ἄλλως ἀλληγορεῖται·
» Βῆ δ' ἰέναι, κούρῳ αἰσυμνήτηρι ἐοικώς·
» πρῶτον ὑπηνήτῃ, τοῦ περ χαριεστάτη ἥβη.
Οὐχ ὁ Ἑρμῆς μετέμηψεν, Ὅμηρος παίζων λέγει,
ὡς θαυμαστόν τε καὶ γλυκὺ ποιήσει σου τὸν λόγον·
ἐπεὶ δυνάμεις ὁ Ἑρμῆς ἔχει τὰς εὐοδούσας,
τὰς φιλούσας πάσας τε καὶ τῆς ἐπιτευξίας,
τοῖς κατ' ἀρχὴν ποιήσασιν Ἑρμαϊκοῖς Ἑρμῇ τε·
διά τινων ἀνθρώπων δε ποιεῖ τὰς ἐνεργείας,
ποιεῖ καὶ τῷ Πριάμῳ δε τότε πορευομένῳ
νέῳ τοιούτῳ ἐντυχεῖν οἷον φησὶ τὰ ἔπη·
δι' οὗ τὸ πᾶν καὶ ἤνυσεν ὁ Πρίαμος ὡς ἔφην,
Ἑρμῆν δὲ δι' ἀμφότερα καὶ τοῦτον ὀνομάζει,

διὰ τὸ κατ' ἐνέργειαν Ἑρμῦ ἐπιφανῆναι,
καὶ τὰ κατ' Ἀχιλέα δε Πριάμῳ ἑρμηνεῦσαι,
καὶ Ἐριένιον αὐτὸν δεόντως ὀνομάζει·
ὄντως γὰρ μέγα ὄφελος φανεὶς ἦν τῷ Πριάμῳ·
θεοειδὴς, ὡραῖος νῦν, καθάπερ οἱ ἀςέρες·
θεῶν, ἐκ τῶν ἀςέρων τις, εἷς ὢν τῆς εἱμαρμένης·
διάκτορος, ὁ μηνυτής· τὸ δ' Ἀγρειφόντης πάλιν,
ὁ ὢν ἐκ φόνυ καθαρὸς καὶ σωςικὸς Πριάμῳ·
θεοὶ δὲ μάκαρες τανῦν, ςοιχεῖα, εἱμαρμένη·
τὰ μὲν ςοιχεῖα εὔκρατα ὄντα χειμῶνος ὄντος,
τὸν Ἕκτορα μὴ σήψαντα κείμενον τόσον χρόνον,
ἡ εἱμαρμένη δὲ θανεῖν ποιήσασα χειμῶνι·
ὕπνον, Πριάμου ὁδηγὸς, ὃν καὶ Ἑρμῆν νῦν λέγει,
πῶς φύλαξιν ἐπέβαλεν ἢ ποδαπὸν καὶ ποῖον
ὕπνον, τὴν ἡσυχίαν σοι νῦν λέγει τῶν φυλάκων·
γνωςὸς γὰρ ὢν ἐποίησεν, αὐτὲς ἐφησυχάσαι,
μηδὲ ποιῆσαι θόρυβον ὡς εἰ παρῆν τις ξένος.
» Ὦ γέρον, ἤτοι ἐγὼ θεὸς ἄμβροτος εἰλήλουθα·
θεός· ἀνδρὸς κατάρχοντος παῖς, ὁ βροτὸς καὶ πένης·
τὸ δεύτερον ἀθάνατον ὁ Τζέτζης ὀβελίζει·
μακρὸν νῦν ὄλυμπον φησὶ τὴν ἀρχικὴν οἰκίαν·
θεοῖς δὲ ἐπιείκελε, τοῖς ἄςρασιν ὁμοῖε·
ἀλλὰ αἰδέσθητι θεὺς· τίνας ἐνταῦθα λέγει;
καὶ ψυχικὰς δυνάμεις νῦν ἤτοι τὰς ἱκεσίας,
καὶ τὰ ςοιχεῖα δι' αὐτὰ, ἥλιον, γῆν καὶ τ' ἄλλα·
οἱ δὲ θεοὶ, πάλιν καὶ Ζεὺς καὶ τῦ Διὸς τὸ δῶμα·
ἀςέρες εἱμαρμένης τε εἰσὶ καὶ εἱμαρμένη,
οὔτε θεοῖς, ὐδὲ βροτοῖς· ἐνδόξοις, ἢ ἀδόξοις,
εἴτε σοφοῖς ἀνθρώποις τε καί γε τοῖς ζῶσι χύδην·
θεοὶ Πηλεῖ οἱ δόντες, δε πάλιν ἡ εἱμαρμένη·
» Καὶ οἱ θνητῷ ἐόντι θεὰν ποίησαν ἀκοίτην·

ἀξίας κατωτέρας τε καὶ τύχης ὑπηργμένῳ
σύζυγον ἐδωρήσαντο θεὰν καὶ βασιλίδα·
θεοὶ καὶ οὐρανίωνες, πάλιν ἡ εἱμαρμένη·
Διόθεν δέ μοι ἄγγελος· ἐξ οὐρανοῦ σημεῖον,
ἐξ ὄμβρων τῶν ῥαγδαίων γὰρ καὶ τῶν λοιπῶν ἐγνώκει
θεῶν τις ἦγε δὲ καί σε· χρηστότης, εἱμαρμένη·
ἢ εὐγενής· γενναίως τις ἐκ γένους τῶν Ἑλλήνων.
τὸ δὲ Διὸς ἀλίτωμαι, τὰς ἐφετμὰς νῦν νόει·
μὴ πόῤῥω τι τοῦ λογισμοῦ τοῦ πρέποντος ποιήσω,
ἢ ὃ οὐ χρὴ τοὺς ἀρχικοὺς ποεῖν καὶ βασιλέας.
» Καὶ γάρ τ' ἠΰκομος Νιόβη ἐμνήσατο σίτου,
» τῇ περ δώδεκα παῖδες ἐνὶ μεγάροισιν ὄλοντο,
» ἓξ μὲν θυγατέρες δ' ἓξ υἱέες ἡβώοντες·
» τοὺς μὲν Ἀπόλλων πέφνεν ἀπ' ἀργυρέοιο βιοῖο,
» χωόμενος Νιόβῃ· τὰς δ' Ἄρτεμις ἰοχέαιρα
» οὕνεκα οἱ Λητοῖ ἰσάσκετο καλλιπαρήῳ·
» φῆ δοιὼ τεκέειν, ἡ δ' αὐτὴ γείνατο πολλούς·
» τὼ δ' ἄρα καὶ δοιώ περ ἐόντ' ἀπὸ πάντας ὄλεσσαν·
» οἱ μὲν ἄρ' ἐννῆμαρ κέατ' ἐν φόνῳ, οὐδέ τις ἦεν
» κατθάψαι· λαοὺς δὲ λίθους ποίησε Κρονίων·
» τοὺς δ' ἄρα τῇ δεκάτῃ θάψαν θεοὶ οὐρανίωνες·
» ἡ δ' ἄρα σίτου μνήσατ', ἐπεὶ κάμε δακρυχέουσα·
» νῦν δέ που ἐν πέτρῃσιν, ἐν οὔρεσιν οἰοπόλοισιν,
» ἐν Σιπύλῳ, ὅθι φασὶ θεάων ἔμμεναι εὐνὰς
» Νυμφάων, αἵ τ' ἀμφ' Ἀχελώϊον ἐῤῥώσαντο·
» ἔνθα λίθος περ' ἐοῦσα θεῶν ἐκ κήδεα πέσσει·
Ὅμηρος τῆς Νιόβης σοι νῦν ἱστορίαν εἶπεν·
ἡμεῖς δ' ἠλληγορήσαμεν πρὶν τῇ Αὐγούστῃ τάδε,
ὧν πέρ σοι παραθήσομεν τὰ χρήσιμα ἐνθάδε·
ἠβρύνετο, ἐκόμπαζε τοῖς τέκνοις ἡ Νιόβη·
ἐφρόνει ὑψηλότερα καὶ κρείττω τοῦ αἰθέρος,

συνέκρινε πρὸς οὐρανὸν αὐτήν τε καὶ τὰ τέκνα·
ἀπένειμε τὸ κρεῖττον δὲ καὶ ἑαυτῇ καὶ τέκνοις,
λέγουσα τάδε πρὸς αὐτὴν καὶ συμβιβῶσα τύφῳ·
δύω φωστῆρας οὐρανὸς κέκτηται τοὺς μεγάλους·
ἐγὼ δὲ τόσους ζῶντας τε, λαλοῦντας. καὶ ἐμψύχους·
ἆρ' οὐχὶ κρείττων οὐρανοῦ τελῶ καὶ τοῦ αἰθέρος;
τοιαῦτα μὲν ἡ δυστυχὴς παισὶν ἁβρυνομένη,
ἀντιστρατεύεται δ' αὐτῇ τύχη τις παλαμναία·
αὐθημερὸν τε θνήσκουσι πάντα λοιμῷ τὰ τέκνα,
Ἀπόλλωνα καὶ Ἄρτεμιν ἔφαν δὲ τούτους κτεῖναι·
ἡλίῳ γὰρ ἀνάκεινται ταῦτα καὶ τῇ σελήνῃ·
ἐκ τοῦ θερμοῦ γὰρ καὶ ὑγροῦ γίνονται τὰ λοιμώδη·
τὴν δὲ Νιόβην ἔφασαν ἔνδακρυν λίθον εἶναι,
ὅτι παντὸς ἀναίσθητος τῷ πάθει γεγονυῖα,
πρὸς μόνον ἦν τὸ δάκρυον ἄγαν εὐαισθητοῦσα·
καὶ τοὺς ἀνθρώπους οὕτω μοι τότε νοήσεις λίθους
ἐκλιθωθέντας συμφορᾷ τῇ γενομένῃ τότε·
ὅτ' οὖν τῶν ἀπανθρώπων τε καὶ τῶν σκληρωκαρδίων,
μὴ συνδραμόντων πρὸς αὐτὴν, μὴ κηδευσάντων τούτους,
θεοὶ δὲ τούτους, βασιλεῖς ἔθαψαν τῇ δεκάτῃ,
ἤγουν συνηκολούθησαν καὶ βασιλεῖς τῷ πάθει·
εἰ δ' ὡς σκληροὺς νοήσειας λίθους μοι τοὺς ἀνθρώπους,
θεοὺς τότε μοι νόησον ὑπάρχειν τὰ στοιχεῖα,
τοιουτοτρόπῳ θάψαντας τὰ τῆς Νιόβης τέκνα·
σεισμοὶ, βρονταὶ, καταῤῥαγαὶ χαλάζης γεγονυῖαι,
τοὺς ἀκαμπεῖς κατέπεισαν θάψαι τοὺς τεθνηκότας·
ὃ δὲ φασὶν ὡς λίθινος δακρύει τῇ Σιπύλῳ
τοιοῦτον εἶναι νόησον ὥς περ ἐγώ σοι φράσω,
λίθον ξεσθέντα τεχνικῶς ὥστε δοκεῖν δακρύειν·
θεοῖσιν νῦν τοῖς ἄστρασιν ὡμοίωτο τῇ θέᾳ·
θεοὶ τε καὶ ἀνέρες δε καθεύδοντες ἠρέμουν·

θεοὺς ἐνθάδε νόησον εἶναι καὶ τὰ στοιχεῖα·
Ἑρμείας Ἐριούνιος ὁ εὐγενὴς ἐκεῖνος,
ὁ μεγαλωφελέστατος καὶ ἑρμηνεὺς Πριάμου,
ἢ ὁ τοῦ Νέστορος υἱὸς Ἀντίλοχος ἢ ἄλλος·
Ἑρμείας πρὸς τὸν Ὄλυμπον ὁ ἀρχικὸς ἐκεῖνος,
ἦλθε πρὸς ὕψος τὸ αὐτοῦ πάλιν ἐκ τῆς λατρείας,
τὴν ἣν ἑκὼν ἐλάτρευσε τῷ γέροντι Πριάμῳ.
ἰκέλη Ἀφροδίτῃ δε, ἴση ἐπιθυμίᾳ·
τῷ εἴκελος ὃν ἔκτεινεν Ἀπόλλων ἐκτοξεύσας,
ὅμοιος ὢν τοῖς θνήσκουσι θανάτῳ τῶν ὀξέων·
ἀλλὰ μὴ πολυχρόνιον νοσήσασι τὴν νόσον,
ἔχεις τὸν ἆθλον ἅπαντα τοῦτον τῆς Ἰλιάδος,
ἐν τοῖς ἀλληγορήμασι τοῦ Τζέτζη τελεσθέντα·
ἤδη δ' ἐπ' ἄλλον ἄεθλον κράζει καιρὸς, ὡς κήρυξ·

Τέλος τῶν ἀλληγοριῶν τῆς Ὁμήρου Ἰλιάδος.

# ΙΩΑΝΝΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ ΤΟΥ ΤΖΕΤΖΟΥ ΑΛΛΗΓΟΡΙΑΙ ΕΙΣ ΤΗΝ ΟΔΥΣΣΕΙΑΝ.

## (ΠΡΟΟΙΜΙΟΝ.)

Κῦρος μὲν πρὶν τὸν ποταμὸν Γύνδην τῆς Βαβυλῶνος
ναυσίπλουν ὄντα, πνίξαντα λευκὸν ἵππον ἐκείνου,
τριακοσίας ὀρυγὰς ἑξηκοντάδος μέτα,
ἔνθα τὰς ὀγδοήκοντας καὶ ἑκατὸν ὀρύξας
ἐκ μέρους τοῦ ἑτέρου δὲ πάλιν τὰς ἰσαρίθμους,
βατὸν ἐκεῖνον τέθεικε γραυσὶ καὶ βρεφυλλίοις·
ταῦτα μὲν Κῦρος ὁ καλὸς τοῖς ἀνοτέρω χρόνοις·
κἀγὼ δὲ νῦν τὴν λιγυρὰν Ὁμήρου Καλλιόπην,
τὴν περιτράνως ᾄδουσαν ἡρώων καταλόγους·
τὰς Ἰλιάδος μάχας τε καὶ πόλεμον Ἑλλήνων,
ἔχουσας βάθος ἀχανὲς ἐν ταῖς ἀλληγορίαις,
οὐ κατὰ Γύνδην ποταμὸν, ὠκεανόν δε μέγαν,
ἐξ οὗ πᾶς λόγων ποταμὸς ῥεῖ, θάλασσα καὶ φρέαρ·
οὐχ' ἵππον πνίξαντα λευκὸν, μέλλοντα δ' ἀποπνίγειν
ἐπιθυμίας σκίρτημα, λαμπρῶς φημὶ πρὸς λόγους
τῆς Βασιλίδος τῆς ἐμῆς, ἡ γυναικῶν ἦν κόσμος,
κελεύσει ταύτης σεβαστῇ, καὶ δωρεαῖς ἀξίαις·
καὶ δὴ προσλιπαρήσεσι καὶ δώροις ἄλλοις φίλων,
ἔστι μὲν ὅπη γεφυρῶν κατὰ τὸν Μανδροκλέα,
ὃς ἀρχιτέκτων Σάμιος ἦν χρόνοις τοῦ Δαρείου,
κατά τε Ἀπολλόδωρον τὸν Δαμασκόθεν λέγω,

ὅσπερ ὑπῆρχεν ἄνακτος Τραϊανȣ̃ ἐν χρόνοις·
ȣ̔́τω μὲν ὅπη γεφυρῶν κατὰ τȣ̀ς ἄνδρας τȣ́τȣς,
πῆ δὲ χερσῶν τὸ πέλαγος κατὰ τὸν Δεξιφάνην,
ὃς χρόνοις Κλεοπάτρας ἦν, Κνίδον αὐχῶν πατρίδα·
ὅπη δ' ὡς ὁ Μιλήσιος Θαλῆς ἐκεῖνος γέρων,
τὸν Ἅλυν μὴ περάσαντα, πεπέρακε τὸν Κῦρον·
ȣ̔́τω κἀγὼ νῦν τεχνικῶς τὴν κοίτην μετατρέπων,
πῆ δὲ μυρίαις ὀρυγαῖς λεπτοτομῶν τὰ βάθη,
ἀβρόχως πᾶσι τέθηκα πάντας περᾷν εἰς χρόνȣς,
ἐν λέξει γράφων διαυγεῖ, γνωστῇ καὶ τοῖς τυχȣ̃σιν,
ȣ̓χὶ καθάπερ ἡ Δημώ, μιμὼ δὲ τοῖς φρονȣ̃σι,
γύναιον κομπολάκυθον ψευδυψηγορογράφον,
μηδὲν δὲ πρὸς τὸν Ὅμηρον τῶν συντελȣ́ντων λέγον·
ἔχεις Δημȣ̃ς τὸ σύγγραμμα καὶ τὸ τȣ̃ Ἡρακλείτȣ,
Κȣρνȣ̃τον καὶ Παλαίφατον, καὶ τὸν Ψελλὸν σὺν τȣ́τοις,
καὶ εἴ τις ἄλλος λέγεται γράψας ἀλληγορίας
ἀνερευνήσας εὕρισκε, καὶ τὰ τȣ̃ Τζέτζȣ βλέπε·
εἴ τ' ȣ̃ν τοῖς πᾶσι ζηλωτὴς καθέστηκεν Ὁμήρȣ,
κἂν τοῖς σαφέσι καὶ ληπτοῖς, καὶ παιγνιωδεστέροις,
καὶ τοῖς ἀποκαθάρμασι τȣ̃ λόγȣ τῆς οἰκίας·
ὥσπερ ἐκεῖνος καὶ αὐτὸς ὄλβον διδȣ̀ς εὑρίσκειν
μαργάρων, λίθων τιμαλφῶν, ἄλλων τερπνῶν παντοίων·
ἢ ὡς πολλοὶ τῶν νέων τε καὶ τῶν παλαιοτέρων
σφῶν τοῖς δοκȣ̃σι θησαυροῖς, τοῖς διῃρμένοις λόγοις,
οἷάπερ τύμβοι φέρȣσι σαπρίαν τε καὶ κόνιν·
ȣ̔́τω τὴν Ἰλιάδα μὲν, σύμπασαν Καλλιόπην,
λόγοις ἠλληγορήσαμεν εὐλήπτοις, σαφεστάτοις,
καὶ συντελȣ̃σι πρὸς αὐτὴν τὴν συγγραφὴν Ὁμήρȣ,
ἀλλ' ȣ̓ κατά τινας αὐτῶν ψευδυψηγόροις λόγοις·
εἴ τ' ȣ̃ν σκιαῖς πλὴν ἀμυδραῖς καὶ μερικαῖς δὲ πλέον,
ȣ̓δὲ θεȣ̀ς τὰ Χερȣβὶμ καὶ Σεραφὶμ καλȣ̃ντες,

οὕτως ἠλληγορήσαμεν ἤδη τὴν Ἰλιάδα·
νῦν δὲ πρὸς τὸν πολύτροπον ἄνδρα μεταβατέον,
καὶ ἀλληγορητέον δε πᾶσαν ἀλληγορίαν,
ὅσην ἡ βίβλος κέκτηται τούτου τῶν πλανημάτων.

## ὙΠΟΘΕΣΙΣ ἘΝ ΒΡΑΧῌ ΤΗΣ ὍΛΗΣ ὈΔΥΣΣΕΙΑΣ.

Μετὰ τῆς Τροίας πόρθησιν τὸ στράτευμα Ἑλλήνων,
διαλαχόντες λάφυρα καὶ τοὺς δορυαλώτους,
πρὸς τὰς πατρίδας πλέοντες, ἀνέμων τῶν δυσπλέων,
ἄλλος ἄλλῃ ἐξώσθησαν· οἱ δὲ μετ' Ὀδυσσέως,
πρῶτα περὶ Μαρώνειαν, τὴν Ἴσμαρον Ὁμήρῳ,
μάχῃ νικῶσι Κίκωνας· ἔπειτα δ' ἡττημένοι,
φεύγουσι πρὸς τὸ πέλαγος· Βορέαις δ' ἡρπαγμένοι
πρῶτα καταίρουσι εἰς γῆν ἀνδρῶν τῶν Λωτοφάγων·
εἶτα πρὸς νῆσον Κύκλωπος, ἔπειτα πρὸς Αἰόλον·
ἑξῆς εἰς Λαιστρυγόνας δε· αὖθις ὡς πρὸς τὴν Κίρκην·
εἰς Ἅδην μετὰ Κίρκην δε πάλιν πρὸς τὰς Σειρῆνας·
μικρῷ πρὸς πέτρας τὰς πλαγκτὰς, καὶ Χάρυβδιν καὶ Σκύλλαν·
μετέπειτα πρὸς νῆσον δε τὴν τῶν βοῶν ἡλίου·
μετὰ βραχὺ τῆς νήσου δε ταύτης ἀποπλεόντων,
ἡ ναῦς ἐβλήθη κεραυνῷ καὶ φλέγονται μὲν πάντες·
σώζεται μόνος δ' Ὀδυσσεὺς εἰς Καλυψοῦς τὴν νῆσον·
ἐκεῖθεν δὲ πρὸς Φαίακας, ἐκ τούτων δ' εἰς Ἰθάκην,
οὗ πάντας, ἄγνωστος ἐλθὼν, ἀνῆλε τοὺς μνηστῆρας·
καὶ αὕτη μὲν ὑπόθεσις πάσης τῆς Ὀδυσσείας.

## ʽΥΠΟΘΕΣΙΣ ΤΟΥ Α. ΔΕ ΜΟΝΗΣ ΤΗΣ ʼΟΔΥΣΣΕΙΑΣ

Ἑρμῆς βουλαῖς ταῖς τῶν θεῶν τῆς Καλυψοῦς εἰς νῆσον
ἐλθὼν, ἐκείνην ἔπεισε στεῖλαι τὸν Ὀδυσσέα·
ἡ Ἀθηνᾶ Ταφίῳ δὲ ὁμοιωθεῖσα Μέντῃ
ἦλθε πρὸς τὸν Τηλέμαχον εἰς τὴν Ἰθάκην νῆσον·
τότε τοῖς τούτου δώμασι τρυφώντων τῶν μνηστήρων,
ὃν τοῦ πατρὸς πρὸς ζήτησιν λέγει παραγενέσθαι,
εἰς Πύλον μὲν πρὸς Νέστορα, πρὸς δὲ τὴν Σπάρτην αὖθις
εἰς τὸν Μενέλαον αὐτὸν ὑστέρως ἀφιγμένον·
ταῦτα εἰποῦσα ὡς θεὸς ἀπέδραμεν εὐθέως·
ἤδη τὰ τοῦ κειμένου μοι λοιπὸν ἀναπτυκτέων
ὁπόσα τέως δέονται τινὸς ἀλληγορίας.
Ἄνδρα, τὸν ἄνθρωπον φησὶ νῦν· μοῦσα δὲ, τὴν γνῶσιν·
βόες ἡλίου τίνες δὲ, οἱ ἀροτῆρες βόες,
ὡς ἐργαζόμενοι τὴν γῆν καὶ τρέφοντες ἀνθρώπους,
καὶ βλέπειν παρεχόμενοι ζῶντας τὸ φῶς ἡλίου,
καὶ μὴ θανεῖν ἐκ τῆς λιμοῦ καὶ κατελθεῖν εἰς ᾅδου·
πῶς δὲ ὁ ἥλιος αὐτοῖς ἀφείλετο τὸν νόστον,
ἄκουσον βραχυτάτοις νῦν· μάθοις δ᾽ οὐ χρὴ πλατέως.
Τοῖς πρὶν ἀνθρώποις ἀσεβὲς ἐσθίειν βοῦν ἐργάτην·
ἐπεὶ δὲ βίᾳ τῆς λιμοῦ οἱ Ὀδυσσέως φίλοι
ἐργάτας βόας σφάξαντες ἐδαίσαντο τὰς σάρκας,
συνέβη τούτοις δὲ θανεῖν σκηπτοῖς καὶ ναυαγίᾳ,
ἅτε ἡλίου σφῶν ζωῆς καὶ χρόνου πληρωθέντος·
Ὅμηρος ὢν δεινότατος ἀνθρώπων νουθεσίαις,
πάντας ἀνθρώπους νουθετεῖ τοῖς πταίσμασιν ἐκείνων
μηδέν τι δρᾶν παράνομον βλέποντας πρὸς ἐκείνους·
καὶ γὰρ παρανομίσασιν ἐκείνοις εἰς τὰς βόας,
ἐν ναυαγίᾳ τῇ δεινῇ, καὶ τοῖς σκηπτοῖς οἷς ἔφην,

ἥλιον λέγει τῆς ζωῆς πικρῶς ἐκπληρωθῆναι·
καὶ πάλιν περὶ τούτου δὲ τοῖς ἔμπροσθεν μαθήσῃ,
ὅπου περ καὶ ὁ Ὅμηρος πρὸς πλάτος ταῦτα γράφει,
ἀμόθεν ὁθενδήποτε τῶν Ἀττικῶν τῷ τρόπῳ.
Θεά, γνῶσις καὶ φρόνησις Διός, νοὸς θυγάτηρ·
Νύμφην δὲ λέγουσι θεάν, ἄνασσαν νησιῶτιν.
Θεοὶ οἱ ἐπικλώσαντες. ἀστέρες, εἱμαρμένη·
θεοὶ πάντες ἐλέαιρον νόσφι τοῦ Ποσειδῶνος,
στοιχεῖα καὶ ἀστέρες δε, ἐξ ὧν τὰ εἱμαρμένα,
εἴ τε καλὸν κατάστημα ὑπῆρχεν εὐκαιρίας·
καὶ οἱ ἀστέρες δὲ αὐτοῦ χρηστοὶ τῆς εἱμαρμένοις,
θάνατον οὐκ ἐμφαίνοντες· ἡ θάλασσα δὲ μόνη,
καὶ τὰ μακρὰ πελάγη δε καὶ νῆες μὴ παροῦσαι,
κώλυμα ἦσαν Ὀδυσσεῖ νοστεῖσαι τῇ πατρίδι·
» Ἀλλ' ὁ μὲν Αἰθίοπας μετεκίαθε τηλόθ' ἐόντας·
Τὶς ἡ παρὰ Αἰθίοπας δαὶς ἡ τοῦ Ποσειδῶνος,
καὶ τὶς δὲ Ζεὺς καὶ μέγαρον τούτου καὶ οἱ θεοί δε,
καὶ τίνες λόγοι οἱ Διός, καὶ τὶς ἡ Ἀθηνᾶ δε,
ἣ ἀποκρίνεται Διῒ ἀντιτιθεῖσα λόγους,
τὶς ὁ Ἑρμῆς καὶ ὁ σταλεὶς εἰς Καλυψοῦς τὴν νῆσον,
καὶ πῶς αὐτὴ πορεύεται πάλιν πρὸς τὴν Ἰθάκην,
καὶ τ' ἄλλα πάντα μάνθανε λεπτῶς ἠκριβωμένως·
Καιρὸς ἦν ἀναβάσεως Νείλου παρ' Αἰγυπτίοις,
ἤτοι τὸ θέρος ἔληγεν. ἀρχὴ δ' ἦν φθινοπώρου·
ἡ Νείλου γὰρ ἀνάβασις ἐκ τέλους Ἰουλίου,
μέχρι τῆς συμπληρώσεως γίνεται Σεπτεμβρίου·
τοῦ Νείλου τὴν ἀνάβασιν ταύτην δὲ νῦν σοὶ λέγει
εἶναι περὶ Αἰθίοπας τοῦ Ποσειδῶνος δαῖτα·
ταύρους δὲ τούτου παρεισφρεῖ καὶ ἀρνειοὺς τὴν δαῖτα,
εἰς Ταῦρον ταυρωδέστερον τῶν ποταμῶν ἠχούντων·
ἑώους δὲ Αἰθίοπας καὶ ἑσπερίους λέγει·

οὐ πρὸς τὸ πᾶν οἰκήσιμον γῆς τέτρας πλάτος λέγων,
ἀλλὰ πρὸς τὸ Αἰγίπτιον μέρος καὶ τῆς Λιβύης·
οἱ μὲν τῶν Αἰθιόπων γαρ εἰς ἕσπερα Λιβύης,
οἱ δ' ἐν Αἰγύπτε μέρεσι τυγχάνουσιν ἠώοις·
παντὸς τε κόσμου γὰρ Ἰνδοὶ τυγχάνουσιν ἠῶοι,
ἑσπέριοι δὲ Ἴβηρες, οὓς Ἱσπανοὺς καλοῦμεν·
οὕτω μὲν ἦν ἀνάβασις παρ' Αἴγυπτον τε Νείλε,
ἁπανταχε δ' ἐν οὐρανῷ ςοιχείων εὐκρασία·
οἶκον καὶ μέγαρον Ζηνὸς, τὸν οὐρανὸν νῦν λέγει·
» Τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε
Πρόσχες μὴ ἀπατήσῃ σε ὁ γέρων ὁ βαθύνους,
νῦν οὐ τὸν Δία οὐρανὸν θεῶν πατέρα λέγει,
θεῶν ὁμοῦ ἀνθρώπων τε, ἀλλὰ τὴν εἱμαρμένην,
ἥ περ ἅπαν εὐτύχημα καὶ πᾶσαν δυσκληρίαν,
οἷα πατὴρ ἀπογεννᾷ τοῖς σύμπασιν ἀνθρώποις,
σοφοῖς, ἀσόφοις, πένησιν, ἄρχουσι. βασιλεῦσιν·
ἡ ἥτις εἱμαρμένη μεν κατὰ Ἑλλήνων δόξαν
ἀνθρώπους τὲ παρήγαγεν ὁμοῦ καὶ τὰ ςοιχεῖα·
εἰ μὴ γὰρ εἱμαρμένον ἦν, ἐκ ἂν ὑπέςη κόσμος,
πολλῷ δὲ μᾶλλον ἄνθρωποι· καὶ ποῦ γὰρ ἂν διῆγον;
ἢ ὅτι οὔτε ἄνθρωπος, οὔτέ τι ἔτους μέρος,
ἢ εὐτυχὴς ἢ δυςυχὴς, ἢ εὔκρατον ἢ δύσπνουν
γένοιτο, ὥς περ λέγουσιν, εἰ μὴ προεκυρώθη·
οὕτω τὴν εἱμαρμένην νῦν ἐν τῷ παρόντι τόπῳ
ἀνθρώπων ἅμα καὶ θεῶν δεικνὺς πατέρα λέγειν,
καὶ Δία δὲ τὸν πλάνητα τὸν κάλλιςον ἀςέρα·
θεοὺς τοὺς ἄλλους πέντε δε, τὴν δ' Ἀθηνᾶν σελήνην·
καὶ προσωποποιήσας δε καὶ λόγους θεὶς προςφόρους,
καὶ ἀπατήσας τοὺς παχεῖς πάνυ τῷ μύθῳ μόνῳ,
νοῦντας Δία φλύαρον καὶ τ' ἄλλα παρομοίως·
τοὺς σοφωτέρους πάλιν δε τῷ γνῶναι εἱμαρμένην,

Δία δοκοῦντας πλάνητα· τὴν δ' Ἀθηνᾶν σελήνην·
θεμάτιον νομίζοντας ἔχον καλῶς κειμένους
τὸν Δία καὶ σελήνην τε καὶ τοὺς λοιποὺς ἀστέρας,
τῶν ἄλλων πάντων πλέον δὲ τὸν Δία καὶ σελήνην,
οἷς περ καὶ λόγοις οἴονται τὸν Ὅμηρον προσάψαι·
τῶν δι' αὐτῶν καὶ δι' Ἑρμοῦ, λέγω δὲ τοῦ ἀστέρος
ἅπαντα τὰ συνοίσοντα τῷ Ὀδυσσεῖ γενέσθαι·
οὕτως ὁ γέρων ἀπατᾷ τινὰς ὡς μυθογράφος,
τοὺς δὲ σοφοὺς ἠπάτησε δόξαντας εἱμαρμένην·
εἰ τέως τὶς ἐνόμισε νῦν εἱμαρμένην λέγειν
νοεῖν καὶ Δία πλάνητα, καὶ Ἀθηνᾶν σελήνην,
καὶ τὸν ἀστέρα τὸν Ἑρμῆν· τοῦτο δ' οὐχ οὕτως ἔχει·
ὀνόματος μετάβασις τὸ σχῆμα δὲ καλεῖται·
ᾧ νῦν ὁ γέρων κέχρηται δεινότητος μεθόδῳ·
πατὴρ ἀνδρῶν γὰρ καὶ θεῶν καὶ ὁ ἀὴρ καλεῖται,
ἡ εἱμαρμένη τε αὐτὴ, καὶ προλαβὼν εἰρήκειν,
καὶ νοῦς πατὴρ δὲ τῶν θεῶν καὶ τῶν ἀνδρῶν καλεῖται·
Ἐμπεδοκλῆς γὰρ Πλάτων τε καὶ ὁ Ἀναξαγόρας,
ἄλλοι τε πόσοι τῶν ἐκτὸς, νοῦν τὸν θεὸν καλοῦσιν·
οὗτος νῦν μεταβάσει δὲ ὡς ἔφην κεχρημένος,
ἀνδρῶν πατέρα καὶ θεῶν τὸν ἔννουν ὀνομάζει·
ὡς γὰρ ὁ νοῦς ὁ ὑπὲρ νοῦν ἐκόσμησε τὸν κόσμον,
οὕτω καὶ ἔννους ἄνθρωπος καὶ προορῶν τὸ μέλλον,
κόσμῳ καὶ τάξει καὶ ῥυθμῷ πάντα ποιεῖ προσφόρως·
ἐπεὶ γοῦν ἅπαντα λεπτῶς ἤδη σοι διηρθρώκειν,
τανῦν πάνυ σαφέστατα πραγματικῶς σοι λέξω·

Καιρὸς ἦν ἀναβάσεως παρ' Αἴγυπτον τοῦ Νείλου,
ἤτοι τέλος τοῦ θέρους μεν, ἀρχὴ δὲ φθινοπώρου·
ὁ Μέντης δὲ ὁ Τάφιος ἔννους ἀνὴρ ὑπάρχων,
καὶ προορῶν τὰ μέλλοντα τῇ τῶν φρενῶν πυκνώσει,
καὶ ἐν τοῖς μάλιστα τελῶν τῶν φίλων Ὀδυσσέως.

τῷ τότε χρόνῳ σὺν πολλοῖς εὔφροσιν ἄλλοις φίλοις,
εἰς οἶκον οὖσι τὸν αὐτοῦ θυσίαις τερπουμένοις,
ἐπιμνησθεὶς τῆς τελευτῆς Αἰγίσθου παρ' Ὀρέστου,
εἰς μέσον λόγους προὔθετο περὶ τῆς εἱμαρμένης,
λέγων εἰς μάτην ἄνθρωποι τὴν μοῖραν αἰτιῶνται·
οὐ πάντα γὰρ ἃ γίνεται εἰσὶν ἐξ εἱμαρμένης,
ἀλλὰ τὰ πλείω γίνεται κατὰ τὴν εἱμαρμένην·
πολλὰ καὶ κακοβούλως δὲ τῶν ἀπρεπῶν συμβαίνει
ὡς ὁ Αἰγίσθου θάνατος χερσὶ ταῖς Ὀρεστείαις·
χρησμοῖς γὰρ προδεδήλωτο τὸ πρὶν ἐγγράφως τούτῳ,
ἢ τῇ γραφῇ κατὰ λεπτὸν ἐφερμηνεύσας ἅπαν,
οὕτως ἑρμήνευσε χρησμοῖς εἰργνύειν τὴν μοιχείαν,
οὗτος πεισθεὶς δὲ μηδαμῶς, ἀπέδωκε τὸ χρέος·
οὕτω τοῦ Μέντου λέξαντος, ἔφασαν οἱ φρονοῦντες,
οὓς Ἀθηνᾶν γλαυκώπιδα ὁ ποιητὴς νῦν λέγει·
ἡ Ἀθηνᾶ καὶ φρόνησις λευκῶς καὶ καθαρῶς γὰρ
τὰ πάντα βλέπει καὶ ὁρᾷ, βλέπει τῷ λογισμῷ δὲ·
τὶ, πρὸς τὸν Μέντην ἔφαν δὲ οἱ ἔμφρονες ἐκεῖνοι,
ὦ πάτερ βαθυνούστατε, ὑπέροχε ἀρχόντων,
ἢ καὶ σοφῶν ὑπέροχε προβλεπτικὴ καρδία,
πατὴρ, ὁ ἔννους γὰρ σοφῶν ὑπάρχει καὶ φρονίμων,
ὁ Αἴγισθος ἀξίως μεν ἀπώλετο μοιχεύων·
περὶ τοῦ Ὀδυσσέως δε θλίψις ἡμῖν μεγίστη·
ὃς ἐν τῇ νήσῳ Καλυψοῦς θεᾶς καὶ βασιλίδος
πάσχει πολλὰ καὶ δυσχερῆ μακρόθεν ὢν τῶν φίλων·
ἡ νῆσος αὕτη μέσον δὲ Ἀτλαντικοῦ πελάγους,
ὥς πέρ τις ἔστιν ὀμφαλὸς, ὁ πέλαγος, ὁ Ἄτλας·
ὁ καὶ πατὴρ τῆς Καλυψοῦς, καὶ ἡ πατρὶς ἑκάστου·
ὁρίζων γῆς καὶ οὐρανοῦ καθέστηκε τερμάτων,
τὸν ὃν ὁρίζοντα καλεῖ κίονας μακροτάτας·
Ἄτλαντα δολοόφρονα, τὸ πέλαγος ἐκεῖνο·

ὡς χαλεπὸν καὶ ἄγριον καὶ δυσχερὲς εἰς πλόον·
οὕτως ὦ Μέντη ἔλεξαν· ὁ Ὀδυσσεὺς κρατεῖται
ἐν τῷ πελάγει τῷ δεινῷ, ἠκούετο γὰρ τοῦτο·
σὺ δὲ ὦ Ζεῦ ὀλύμπιε, σοφὲ ἀστεροσκόπε,
οὐχὶ φροντίζεις, οὐχ᾽ ὁρᾷς, περὶ τοῦ Ὀδυσσέως·
χρησμοῖς τε καὶ μαντεύμασι, καὶ λέγεις ὃ πρακτέον,
ἐπίληθος τῶν τούτου δὲ χαρίτων ἐγεγόνεις,
ἢ, ὧν ἐν Τροίᾳ ἔδρα σοὶ εἰ Μέντης ἦν στρατεύσας,
εἴ περ δ᾽ οὐ συνεστράτευσας Ἕλλησι πρὸς τὴν Τροίαν,
ὧν ἐν τῆς Τροίας ἔστελλε σὴν ὡς τιμῶν φιλίαν·
ὦ Ζεῦ σὺ νοῦ καὶ φρόνιμε, τί οἱ ὠργίσθης τόσον;
» Τὴν δ᾽ ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς.
Πρὸς τούτους ἀπεκρίνατο Μέντης δὲ ὁ βαθύνους·
ἐμὰ τέκνα καὶ παῖδες μοι τίνας φατὲ τοὺς λόγους;
πῶς ἂν ἐπίληθος ἐγὼ γενοίμην Ὀδυσσέως,
τοῦ συνετοῦ καὶ σώφρονος καὶ ἀρετῶν κανόνος,
καὶ πάσαις ἄλλαις χάρισι τῶν ἀρετῶν κομῶντος;
ἃ νῦν καὶ οὐρανίωνας θεοὺς κατονομάζει·
ὡς οὐρανοῦ τῇ κεφαλῇ τοῦ λογισμοῦ κειμένου,
κἂν ἄλλοι δογματίζουσιν ἐν τῇ καρδίᾳ κεῖσθαι,
πῶς οὖν, φησὶν, ἐπίληθος γενοίμην Ὀδυσσέως;
» Ἀλλὰ Ποσειδάων γαιήοχος ἀσκελὲς αἰεὶ
» Κύκλωπος κεχόλωται, ὃν ὀφθαλμοῦ ἀλάωσεν.
Ἐγὼ μὲν οὐκ ἐπίληθος τελῶ τοῦ Ὀδυσσέως·
ἐκ μαντειῶν εὑρίσκω δὲ κρατούμενον πελάγει,
καὶ ἐξ ἀφικνουμένων δὲ τοῦτο τινῶν μανθάνω
διὰ τὸ, πλοῖα τὲ αὐτὸν τὸ σύνολον μὴ ἔχειν·
κἂν εὕρῃ δὲ, πτοούμενον τὸν Κύκλωπα ἐκπλέειν·
ἀνθ᾽ οὗ τὴν Ἕλπην ἥρπασεν ἐκείνου θυγατέρα·
ἣν ὀφθαλμὸν τοῦ Κύκλωπος ἐκβεβλημένου λέγει,
κἂν ταύτην πάλιν ἔλαβον περίλαι στρυγονίαι.

τοῦ Ὀδυσσέως κτείναντες πάντας σχεδὸν ἑταίρους,
τοῦ Ὀδυσσέως σὺν μιᾷ μόλις νηῒ φυγόντος·
ὡς ὅπη χρὴ πλατύτερον λέξαι μὲν περὶ τούτων,
οὕτως ἐν τῇ θαλάσσῃ μὲν κατέχεται ὡς ἔφην
τῷ φόβῳ τῷ τοῦ Κύκλωπος ἡ Θόωσα, ὃν τίκτει·
θυγάτηρ μὲν τοῦ Φόρκυνος μιγεῖσα Ποσειδῶνι·
ὁ Φόρκυς δὲ καὶ Ποσειδῶν ἡ θάλασσα τυγχάνει·
παῖδα θαλάσσης ταύτην δὲ φησὶ καὶ νησιῶτιν·
πάλιν τὸν Κύκλωπα υἱὸν τοῦ Ποσειδῶνος λέγει,
ὡς ἄγαν ἀγριώτατων ὄντα καὶ θηριώδη·
οὕτως ἐκεῖσε Ὀδυσσεὺς κατέχεται ὡς εἶπον
καὶ βραδυνεῖ δὲ πρὸς καιρόν· θαλάσσῃ δ' οὐ βαλεῖται·
ὥς περ ἐφεῦρον τεχνικῶς χρησμοῖς ἀστρομαντείας
καὶ συμβουλαῖς εἰ βούλεσθε σκοπῶμεν ὅπως ἔλθοι,
οὐκ ἀποπνίξαι γὰρ αὐτὸν θάλασσα δυνηθείη,
θεοὺς ἀστέρας ἀγαθοὺς ἔχοντα γενεθλίους·
οἱ δὲ φησίν· εἰ πέπρωται ἄστρασι γενεθλίοις
τὸν Ὀδυσσέα πρὸς αὐτοῦ τὸν οἶκον ὑποστρέψαι,
γράμματα δοίη μὲν τισὶν ἀνθρώποις τῶν ἐμπόρων·
οὓς νῦν Ἑρμῆν διάκτορον καὶ Ἀργειφόντην λέγει,
ἀποκομίσαι Καλυψοῖ δηλοῦντα πέμψειν τοῦτον,
ἔχοντα σύζυγον, υἱὸν, πατέρα τε καὶ φίλους·
τίς δ' ἀφ' ἡμῶν σὺν γράμμασιν ἄλλως πρὸς τὴν Ἰθάκην
πρὸς Ὀδυσσέως τὸν υἱὸν χωρείτω νουθετήσων·
ταῦτα εἰπόντες Καλυψοῖ καὶ Ὀδυσσεῖ ὡσαύτως,
μετὰ ἐμπόρου πέμπουσι γραφὰς τὰς προσηκούσας·
ἑτέραν ἔννουν τὲ γραφὴν πάλιν πρὸς τὴν Ἰθάκην
μετά τινος ἐστάλκασιν ἀνδρὸς τῶν εὐσυνέτων,
ὀτρύνουσαν Τηλέμαχον κήδεσθαι σῶν πραγμάτων·
ἢ καὶ αὐτὸς ὁ Μέντης δὲ λαβὼν γραφὴν ἀπῆλθεν,
ἣν Ἀθηνᾶν νῦν Ὅμηρος δεινῶς κατονομάζει.

σὺν τῇ γραφῇ τὸν κομιστὴν Ἀθήνην ὀναμάζων·
τὴν δὲ συνθήκην τῆς γραφῆς, πέδιλα ταύτης λέγει,
ἀμβρόσια καὶ χρύσεια φέροντα πάντη ταύτην·
ἡ δὲ γραφὴ φρονήσεως πέδιλον ἐστιν ὄντως·
τὴν δέ γε παροτρύνουσαν, δύναμιν τῶν γραμμάτων,
ἔγχος χαλκοῦν ὠνόμασε δαμάζον ἐναντίους·
δύναται γὰρ ἀμύνασθαι ὃς πρῶτος χαλεπήνῃ
ὀβριμοπάτρη φρόνησις οὖσα νοὸς θυγάτηρ·
καὶ τί γὰρ ἰσχυρότερον νοὸς ἐστὶν ἀνθρώποις;
» Βῆ δὲ κατ' οὐλύμποιο καρήνων ἀΐξασα·
Δοκῶν τί λέγειν ἕτερον νῦν τῆς ἀβριμοπάτρης,
πάλιν νοὸς καὶ λογισμοῦ ταύτην δεικνύει τέκνον·
Ὄλυμπον γὰρ καὶ οὐρανὸν τὴν κεφαλὴν νῦν λέγει,
οὗ περ ὁ Ζεὺς καὶ λογισμὸς μένων ὡς ἐν οἰκείᾳ,
πᾶσαν γεννᾷ τὴν φρόνησιν γραπτὴν, καὶ τῶν ἀγράφων·
οὐ μόνον δὲ τὴν φρόνησιν Ἀθήνην ὀνομάζει,
καὶ ὅσα γίνεσθαι αὐτῇ γραφαῖς εἴ τε καὶ πράξει,
ἀλλὰ καὶ ὄργανα αὐτῆς ὡς κἂν μυρίοις ἄλλοις·
ὡς φησὶν Ἥφαιστον τὸ πῦρ, καί γε τοὺς συνεργάτας,
καὶ ξύλα Ἥφαιστόν φησιν, ὕλην πυρὸς τελοῦντα,
ὡς Ἰλιάδι ποῦ φησὶ περικρυβέντος δένδρῳ·
» Ἀλλ' Ἥφαιστος ἔρυτο· σάωσε δὲ νυκτὶ καλύψας·
Τὰ ξύλα πάντως Ἥφαιστος, νὺξ δὲ τὸ δάσος τούτων·
οὕτω κἀνθάδε Ἀθηνᾶν τὴν φρόνησιν καλεῖ σοι,
καὶ τὴν γραφὴν τὴν ἔννουν δε καὶ τὸν κρατοῦντα ταύτην,
καὶ σκόπει μοι σαφέστερον ἐκ τοῦ κειμένου τοῦτο·
» Βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀΐξασα·
» στῆ δ' Ἰθάκης ἐνὶ δήμῳ, ἐπὶ προθύροις Ὀδυσῆος·
» οὐδοῦ ἐπ' αὐλείου· παλάμῃ δ' ἔχε χάλκεον ἔγχος.
Ἐκ κεφαλῆς καὶ λογισμοῦ τὸ γράμμα συνετέθη·
ἐδόθη καὶ ἐστάλη δε εὐθέως εἰς Ἰθάκην·

ἔστη δ' ὁ ταύτης κομιστὴς, ὃν Ἀθηνᾶν νῦν λέγει,
οὐδῷ αὐλῆς· κατεῖχε δὲ τῇ σφῇ χειρὶ τὸν χάρτην·
ὃν ἔγχος λέγει χάλκεον διὰ τὰ γεγραμμένα,
ἃ ὤτρυνε Τηλέμαχον ἔχεσθαι τῶν πραγμάτων·
τὸ βῆ δὲ κατ' Οὐλύμποιο καὶ ἄλλως νοητέον·
τὸ γράμμα συνετέθη μὲν, ἐδόθη τῷ ἀνθρώπῳ.
ἐξ ἀνακτόρων τῶν ἐκεῖ τρέχει πρὸς τὴν Ἰθάκην·
ἐφεῦρε τοὺς μνηστῆρας δὲ ἄθεσμα δρῶντας πόσα·
ἰδὼν τοῦτον Τηλέμαχος τῆς δεξιᾶς λαμβάνει,
καὶ χάρτην, ὅν περ ἔφημεν, χάλκεον ἔγχος εἷλεν·
» Οἱ δ' ὅτε δὴ ῥ' ἔντοσθεν ἔσαν δόμου ὑψηλοῖο,
» ἔγχος μὲν ῥ' ἔστησε φέρων πρὸς κίονα μακρὴν,
» δουροδόκης ἔντοσθεν ἐϋξόου, ἔνθα περ ἄλλα
» ἔγχε' Ὀδυσσῆος ταλασίφρονος ἵστατο πολλά·
Ἔγχος, τὸν χάρτην ἔστησεν ἐν τῇ δορατοθήκῃ,
ἐν κιβωτῷ κατέθετο τοὺς Ὀδυσσέως χάρτας,
ἢ τὴν αὐτὸν ἐγείρουσαν δύναμιν τῶν γραμμάτων,
αὐτοῦ ψυχῇ καὶ λογισμῷ τιθεῖ καὶ τῇ καρδίᾳ,
ὡς πρὶν καὶ τούτου ὁ πατὴρ ὁ Ὀδυσσεὺς ἐποίει,
πᾶσαν βουλὴν συνοίσουσαν ἐκεῖσε κατακρύπτων·
λευκῶπιν οἶδας Ἀθηνᾶν τὸν φέροντα τὸ γράμμα.
εἴ τε τὸν Μέντην γε αὐτὸν, εἴτε τινὰ τῶν Μέντου·
» Νῦν δ' ἦλθον· δὴ γάρ μιν ἔφαντ' ἐπιδήμιον εἶναι
» σὸν πατέρ'· ἀλλά νυ τόν γε θεοὶ βλάπτουσι κελεύθου·
» οὐ γάρ πω τέθνηκεν ἐπὶ χθονὶ δῖος Ὀδυσσεὺς,
» ἀλλ' ἔτι που ζωὸς κατερύκεται εὐρέϊ πόντῳ·
» νήσῳ ἐν ἀμφιρύτῃ· χαλεποὶ δέ μιν ἄνδρες ἔχουσιν
» ἄγριοι· οἵ που κεῖνον ἐρυκάνωσ' ἀέκοντα·
Ὁ Μέντης ἢ τῶν Μέντου τὶς, ὃ Ἀθηνᾶν νῦν λέγει,
τῷ Τηλεμάχῳ δίδωσι χρηστὰς τὰς ἀγγελίας·
εἶναι γὰρ ἐπιδήμιον φησὶ τὸν Ὀδυσσέα.

τουτέστιν ἐλπιζόμενον αὐτοῖς ἐπιδημῆσαι·
θεοὶ, καὶ τὰ στοιχεῖά τε ἄνεμοί τε καὶ πόντος,
καὶ χαλεποὶ δὲ βασιλεῖς θεοὶ νοοῦνται τῆδε.
» Αὐτὰρ ἐγὼ νῦν τοι μαντεύσομαι ὡς ἐνὶ θυμῷ,
ὡς Κύκλωψ τε καὶ Λαιστριγῶν, Κίρκη καὶ Καλυψώ δε
νῦν καὶ ἡ εἱμαρμένη δε θεοὶ ἂν νοηθεῖεν·
τοῦτον ἂν βλάπτωσιν ἐλθεῖν εἰς τὴν αὐτοῦ πατρίδα,
μετὰ βραχὺ δ' ἐλεύσεται πλήσας χαρᾶς τὰ τῆδε·
» Ἀθάνατοι βάλλουσι, καὶ ὡς τελέεσθαι ὀΐω·
Εἰσὶν ἀθάνατοι τανῦν αἱ ψυχικαὶ δυνάμεις·
ἤτοι καθὼς τῷ λογισμῷ καὶ διανοίᾳ κρίνω,
ἢ ὡς ἐκ χρησμωδήματος καὶ μαντειῶν ἐγνώκειν·
καὶ ταῦτα τῆς σοφίας δε καὶ ψυχικαὶ δυνάμεις·
ἂν δ' ἐξ ἀστέρων εἴποις μοι τοῦτον ἐπεγνωκέναι,
θεοὺς τὴν εἱμαρμένην μοι καὶ τοὺς ἀστέρας νόει.
» Οὐ μέν τοι γενεήν γε θεοὶ νώνυμον ὀπίσσω
» θῆκαν· ἐπεὶ σέ γε τοῖον ἐγείνατο Πηνελόπεια.
Ἐνταῦθα πάλιν οἱ θεοὶ, ἀστέρες, εἱμαρμένη·
καὶ πάλιν δὶς εὕροις ἑξῆς θεοὺς, τὴν εἱμαρμένην·
τὴν Ἀθηνᾶν εἰρήκαμεν τὸν κομιστὴν γραμμάτων·
θεοὺς δ' ἐνεμεσίζετο αἰὲν ἐόντας, νόει
ψυχῆς δυνάμεις, ἤτοι γε φιλίαν οὐκ ἐτίμα·
» Ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται·
ἐν τῇ κινήσει δηλαδὴ ἀστέρων, εἱμαρμένης·
» Μῦθον πέφραδε πᾶσι· θεοὶ δ' ἐπιμάρτυρες ἔστων·
ποίησον, ἐπιφώνημα σύμπασι τοῖς μνηστῆρσι,
μαρτύρων ὄντων σοι θεῶν, φρονίμων καὶ ἀρχόντων,
εἴ τε στοιχείων οὐρανοῦ, γῆς τε καὶ τοῦ ἡλίου·
ἂν μάρτυρες οὐ πάρεισιν εἰπὲ πρὸς τοὺς μνηστῆρας,
γῆν, οὐρανὸν μαρτύρομαι, καὶ ἥλιον πανόπτην·
ὄσσαν Διὸς δὲ βούλεται λέγειν τὰς χρησμωδίας

διὸ καὶ εἱμαρμένης γὰρ φήμη αἱ χρησμῳδίαι·
» Ὄρνις δ' ὡς ἀνόπαια διέπτατο, τῷ δ' ἐνὶ θυμῷ
ταχέως δὲ παρέδραμεν ὡς ὄρνις ἥν περ λέγει·
εἴτε ταχέως ἔδραμε, διέπτατο ὡς ὄρνις·
ὠΐσατο θεόν· ἤτοι σημεῖον θεῖον εἶναι·
ἰσόθεος, ὁ ὅμοιος τῷ κάλλει τῶν ἀστέρων·
λυγρὸν τὸν νόστον δ' Ἀχαιοῖς ἐποίησεν ἐκ Τροίας·
Παλλὰς Ἀθήνη ὁ ἀὴρ, πήλας σφοδροὺς ἀνέμους,
Δία, ἡ εὐτυχέστατος φρονιμωτάτη πλέον·
Ζεὺς γὰρ ὡς οἶδας καὶ ὁ νοῦς τοῖς ποιηταῖς καλεῖται·
ὡς καὶ αὐτὸς περίφρονα ταύτην κατονομάζει·
θεῖον, σοφὸν ἢ μουσικὸν καθάπερ οἱ ἀστέρες.
» Ἔργ' ἀνδρῶν τε θεῶν τε, τάτε κλείουσιν ἀοιδοί·
ἰδιωτῶν τε καὶ σοφῶν κοινῶν καὶ βασιλέων·
ἀλλὰ πόθι Ζεὺς αἴτιος, αὐτὴ ἡ εἱμαρμένη.
» Κλαῖεν ἔπειτ' Ὀδυσσῆα φίλον πόσιν ὄφρα οἱ ὕπνον
» ἡδὺν ἐπὶ βλεφάροισι βάλε γλαυκῶπις Ἀθήνη·
ἢ ἕως αὐτὴν ἔτρεψεν εἰς ὕπνον ἐν φρονήσει,
ἢ ἕως ἐξ ὑγρότητος ἀέρος χειμερίου·
ὕπνῳ σχεθεῖσα πέπαυτο τῶν τότε δακρυμάτων·
ἡ φρόνησις γλαυκῶπις μὲν ὡς ἀληθῶς ὁρῶσα,
ὁ δὲ ἀὴρ ὡς ἔγγλαυκον ἔχων αὐτοῦ τὴν θέαν,
κἂν ἄμορφα καὶ ἄποια σύμπαντα τὰ στοιχεῖα,
ἅπας μεταγενέστερα τῶν φιλοσόφων λέγῃ·
θεοῖς ἀλίγκυος αὐδὴν, τῇ μουσικῇ ἀστέρων·
θεοῖς ἐπιμαρτύρομαι, τοῖς ὄπισθεν ἐῤῥέθη·
αἴκέ ποθι Ζεὺς δῶσιν, ἡ εἱμαρμένη·
θεοὶ, αὐτὴ ἡ φρόνησις· εἴτε ἡ εἱμαρμένη·
ὁμοίως καὶ Κρονίωνα τὴν εἱμαρμένην λέγει.
» Ὣς φάτο Τηλέμαχος, φρεσὶ δ' ἀθανάτην θεὰν ἄνω·
τοῦτέστι φρόνησιν, αὐτὸν γενόμενον τὸν ἄνδρα.

» Βούλευε φρεσὶν ἧσιν ὁδὸν ἥν πέφραδ' Ἀθήνη,
τὴν ἣν αὐτῷ ἐβούλευσεν ὁ θεὸς αὐτῷ τὸ γράμμα.

---

## ὙΠΟΘΕΣΙΣ ΤΗΣ Β. ὉΜΗΡΟΥ ῬΑΨΩΙΔΙΑΣ

Συναγαγὼν Τηλέμαχος μνηστῆρσιν ἐκκλησίαν,
λέγει αὐτοῖς ἐξέρχεσθαι τοῦ Ὀδυσσέως οἴκου·
αὐτὸς δ' ἐφόδια λαβὼν παρὰ τῆς Εὐρυκλείας,
καὶ νῦν παρὰ Νοήμονος λάθρα μητρὸς ἐκπλέει·
εἰς Πύλον πρὸς τὸν Νέστορα, εἰς Σπάρτην πρὸς Μενέλαν,
περὶ τοῦ σφοῦ πατρὸς αὐτοὺς μέλλων ἀνερωτῆσαι·
» Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
ἐν ᾗ τὰ ἔργα κάλλιστα φαίνεται τῶν δακτύλων·
οὐ μὴν ὁποῖα τῆς νυκτὸς κατά τι βεβλαμμένα,
τοὺς λεξιγράφους ἔα δὲ μυθωδεστέρως γράφειν·
θεῷ ἀλίγκιον φημὶ ὡραῖον ὡς ἀστέρα,
ἢ ὁρατὸν αὐτόχρημα ἐπιθυμίαν ὄντα·
ὃ τῇ παλάμῃ ἔγχος δὲ Τηλέμαχος κατεῖχεν,
ἢ δόρυ ὡς νομίζουσιν, εἴτε ὃν εἶπον χάρτην,
κρατῶν βουλευτηρίῳ δὲ εἰ δέον δόρυ σκόπει.
» Θεσπεσίῳ δ' ἄρα τῷ γε χάριν κατέχευεν Ἀθήνη.
Ταῖς συμβουλαῖς ταῖς τοῦ ἀνδρὸς τεθαῤῥηκὼς ἐκείνου,
ἐκ σκυθρωποῦ ὡραῖος τε καὶ εὔγλωττος ἐφάνη·
τὸ Ζεὺς ἐνθάδε καὶ θεῶν καὶ τὸ Ζηνὸς ὁμοίως
τὴν εἱμαρμένην νόησον συμαίνειν μοι τὰ τρία·
πλέον τὸ, ὑποδείσατε τῆδε θεῶν τὴν μῆνιν,
ὀργὴν στοιχείων νόησον εἴ περ εἰ οὕτως εἶπε
μὴ πῦρ, ἀὴρ καὶ θάλασσα, καὶ τὸ Ταρτάρου στόμα,
φλέξαν· βροντήσας, βρύζασα, ῥαγὲν ἡμᾶς πῶς σχῶσι·

καὶ τὸ Ζηνὸς ὁμοίως δὲ τῇδε νοήσεις λέγων,
ἀντιβολῶ καὶ δέομαι οἰκτραῖς ταῖς ἱκεσίαις·
ὑπὲρ τȣ̃ νȣ̃ τȣ̃ ὑπὲρ νοῦν, τουτέστι τῆς προνοίας,
καὶ τῆς δικαιοσύνης τε παύσητε δρᾷν τοιάδε·
Ἀθήνη νῦν καὶ οἱ θεοὶ, αἱ ψυχικαὶ δυνάμεις,
ἤτοι ἡ φρόνησις αὐτὴ καὶ μηχανῶν οἱ τρόποι·
δαίμων· ἡ εἱμαρμένη μὲν, θεοὶ δὲ τὰ στοιχεῖα·
μαρτύρεται γὰρ ἥλιον καὶ τοὺς λοιπȣ̀ς ἀστέρας·
ἥλιε, γῆ καὶ ȣ̓ρανὲ, ὕδωρ σὺν τούτοις λέγων,
ὑμεῖς ἔφοροι γίνεσθε τῶν εἰς ἐμὲ δρωμένων·
Ζεὺς ὁ διδοὺς πάλιν τι τῷ, τὰ ἔργα, εἱμαρμένη·
ὁ Ζεὺς ὁ πέμπων ὑετȣ̀ς, ἀὴρ καὶ ȣ̓ρανός δε·
ἤδη τάγ' ἴσασι θεοὶ, ἡ εἱμαρμένη οἶδεν·
ἢ ταῦτα ἥλιος ὁρᾷ καὶ τὰ λοιπὰ στοιχεῖα·
ὅσσαν ἀκούσω ἐκ Διὸς, μοίρας ἢ καὶ φρονȣ́ντων·
εὔχετ' Ἀθήνῃ, βοηθὸν καὶ σύμβουλον ἐπόθει·
οἷας ὁ γράμμα δοὺς ἣν χθὲς κελεύων πλεῖν εἰς Πύλον,
σχεδόθεν ἦλθεν Ἀθηνᾶ Μέντορι εἰδομένη·
πλησίον Μέντωρ ἦλθε δὲ ταῦτα ἐπευχομένου·
καὶ τȣ́τῳ συνεβȣ́λευσε, καὶ πάντα πράττει τȣ́τῳ,
ὅσα φησὶ τὴν Ἀθηνᾶν ποιῆσαι τὲ καὶ λέξαι·
τὸν Μέντορα γὰρ λέγει σοι νῦν Ἀθηνᾶν ἐνθάδε,
ὃς ἦν σοφὸς καὶ συνετὸς ἐπίτροπός τε τούτου·
καὶ σὺν αὐτῷ ἀπέπλευσε πρὸς Νέστορα εἰς Πύλον,
κἂν ἐκ τȣ̃ Νέστορος εὐθὺς οὗτος ἀνθυπεστράφη,
οἷα βυθὸς φρονήσεως καὶ Ἀθηνᾶ τῷ ὄντι·
ὡς ἂν ὁρώμενος αὐτὸς διάγων ἐν Ἰθάκῃ
μὴ καταλίπῃ μηδαμȣ̃ μνηστῆρσιν ὑποψίαν·
τῷ ὅλῳ βῆτα Ἀθηνᾶν, τὸν Μέντορά μοι νόει·
καὶ ἐν τῷ γάμμα τὸν αὐτόν· νῦν δὲ τινὰ φραστέον.
» Ὣς φάτ' Ἀθηναίη κούρη Διός. οὐδ' ἄρ' ἔτι δην.

Ὁ εὔφρων Μέντωρ ὁ σχεδὸν παῖς τοῦ Διὸς ὑπάρχων,
θεοῦ δὲ ἔκλυεν αὐδὴν αὐτοῦ τοῦ σοφωτάτου·
» Θάρσει μαῖ, ἐπεὶ οὔτοι ἄνευ θεοῦ ἥδε γε βουλή,
μετὰ σοφοῦ συμβόλου γὰρ ἀπέρχομαι καὶ θάῤῥει·
» Ἔνθ' αὖτ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη,
» Τηλεμάχῳ εἰκυῖα κατὰ πόλιν ᾤχετο πάντῃ·
» καί ῥα ἑκάστῳ φωτὶ παρισταμένη φάτο μῦθον.
Πάντως ἐρεῖ τις ἐνθαδὶ, Τζέτζε τερατολόγε,
εἰ Μέντωρ ἐστὶν Ἀθηνᾶ, μορφὴν πῶς μεταβάλλει,
ὥστε δοκεῖν Τηλέμαχος ἀγείρειν τε πλωτῆρας;
οὐ Μέντωρ εἰς Τηλέμαχον μετέβαλεν οὐδόλως,
ὡς ἐκ τοῦ Τηλεμάχου δε πάντα πλωτῆρσι λέγει,
τοὺς ἄνδρας τε κατέπεισε· τί τὰ λοιπὰ δεῖ γράφειν;
» Ἔνθ' αὖτ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη·
» βῆ δ' ἴμεναι πρὸς δώματ' Ὀδυσσῆος θείοιο·
» ἔνθα μνηστῆρσιν ἐπὶ γλυκὺν ὕπνον ἔχευε,
» πλάζε δὲ πίνοντας· χειρῶν δ' ἔκβαλλε κύπελλα.
Μετά γε τὴν ἐξάρτησιν νηὸς καὶ τῶν πλωτήρων,
ὡς πρὸς Τηλέμαχον ἐλθὼν ὁ Μέντωρ συμβουλεύει·
κιρνᾷν κελεύει συνεχῶς· ἐκ τούτου δ' οἱ μνηστῆρες
καρηβαρεῖς ἀπαίρουσι, καὶ κάθυπνοι πρὸς οἴκους,
αὐτὸς δὲ καὶ Τηλέμαχος χωροῦσι πρὸς ἀπόπλουν·
» Τοῖσι δ' ἴκμενον οὖρον ἵει γλαυκῶπις Ἀθήνη·
Ἀθήνη νῦν ἀήρ ἐστιν, ἢ πρόεισιν ἀνέμους,
οὐ μὴν ἡ Μέντου φρόνησις· μὴ πλανηθῇς ἐνθάδε·
» Στήσαντο κρατῆρας ἐπιστεφέας οἴνοιο·
» λεῖβον δ' ἀθανάτοισι θεοῖς αἰεὶ γενέτῃσιν,
» ἐκ πάντων δὲ μάλιστα Διὸς γλαυκώπιδι κούρῃ.
Κἀνταῦθα τὸν ἀέρα γὰρ γλαυκώπιδά σοι λέγει,
ὅτι λευκὸς ἀήρ ἐστιν ὡς ἔφημεν πολλάκις·
καὶ τοῦ Διὸς καὶ οὐρανοῦ παῖς ὁ ἀὴρ τυγχάνει·

ἔθος δ' ἐστὶ τοῖς ναυτικοῖς, εἰς πλοῦν εὐθυδρομοῦσιν,
ἱστᾶν κρατῆρα, πίνειν τε χαίροντας τῷ ἀέρι·
ὅθεν τοῖς πᾶσιν ἔθυον θεοῖς τε καὶ στοιχείοις,
τῷ δὲ ἀέρι μάλιστα πλέον τῶν ἄλλων πάντων·

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ Γ. ΟΜΗΡΟΥ ΟΔΥΣΣΕΙΑΣ

Σὺν Ἀθηνᾷ Τηλέμαχος εἰς Πύλον κατηγμένος,
ξενίζεται τῷ Νέστορι θύοντι Ποσειδῶνι·
περὶ πατρὸς δὲ ἑαυτοῦ πευθόμενος ἐκείνου,
τὰ τῶν Ἑλλήνων σύμπαντα τούτῳ καλῶς μανθάνει,
τὰ κατὰ Τρώων πόλεμον σχεδὸν καὶ τὰ τοῦ νόστου·
μετὰ δὲ τοῦτο Ἀθηνᾶ ὑποχωρεῖ ὡς ὄρνις·
Νέστωρ μετὰ υἱέος δε τὴν κλῆσιν Πεισιστράτου
Τηλέμαχον ἐξέπεμψεν ἐφ' ἅρματος εἰς Σπάρτην,
ὡς εἴποι τὶ Μενέλαος ὑστέρως ἀφιγμένος·
» Ἠέλιος δ' ἀνόρουσε, λιπὼν περικαλλέα λίμνην,
» οὐρανὸν ἐς πολύχαλκον, ἵν' ἀθανάτοισι φανείη,
» καὶ θνητοῖσι βροτοῖσιν ἐπὶ ζείδωρον ἄρουραν.
Ὠκεανόθεν ἥλιος εἰς οὐρανὸν ἀνήει,
ἡμέραν ἄγων τε καὶ φῶς στοιχείοις καὶ ἀνθρώποις,
πολύχαλκον τὸν οὐρανὸν ὡς στερεόν δὲ λέγει·
καὶ ἡ Γραφὴ στερέωμα τὸν οὐρανὸν καλεῖ δε.
» Ἐκ δ' ἄρα Τηλέμαχος νηὸς βαῖν'· ἦρχε δ' Ἀθήνη·
Ἀθήνη ἤτοι Μέντωρ νῦν προὔβαινε Τηλεμάχου
ὅσας δ' ἂν ἄνω Ἀθηνᾶς τὸν Μέντορα δηλούσας,
εἰ μή που τί καινότερον ἔχουσι, παραδράμω·
ἄλλα δὲ ὑποθήσεται ὁ δαίμων καὶ ἡ τύχη·
οὐ σε θεῶν ἀέκητι· οὐκ ἄνευ εὐμοιρίας·

τὸ, ἀθανάτοις εὔχεσθαι, καὶ τὸ, θεῶν δὲ πάντες,
ἡλίῳ καὶ ἀέρι δὲ καὶ τοῖς λοιποῖς στοιχείοις·
χατέομεν ἀέρος γὰρ, ὡς πνέωμεν καὶ ζῶμεν,
ὕδατός τε καὶ τῶν λοιπῶν διὰ τὰς τούτων χρείας·
καὶ τὸ, Κρονίων, εἴπομεν ἐν τόποισι μυρίοις
τὴν σκοτεινὴν καὶ ἄδηλον σημαίνειν εἱμαρμένην·
» Βῆμεν δ' ἐν νήεσσι· θεὸς δ' ἐκέδασσεν Ἀχαιούς·
Θεὸς νῦν δύναμις, ψυχῆς ἀνομογνωμοσύνη·
νυκτὶ γὰρ βουλευσάμενοι βεβαρηότες οἴνῳ,
διχῇ πῶς διηρέθησαν οὐχ' ὁμωγνωμοσύνῃ·
ὁ τὸν λυγρὸν μηδόμενος νόστον δὲ, Ζεὺς τυγχάνει,
ἡ εἱμαρμένη τὲ αὐτὴ καὶ οὐρανὸς δὲ πλέον·
ἐξ οὐρανοῦ γὰρ πνεουσῶν βιαίων καταιγίδων,
ἐπλήσθη μὲν πᾶν πέλαγος νεκρῶν καὶ ναυαγίων·
ἄλλοι δὲ παρεξώσθησαν πατρίδων πόῤῥωτέρω,
εἰς Ἀφρικὴν, εἰς Αἴγυπτον, εἰς Κρήτην, Ἰταλίαν,
εἰς ἄλλας χώρας ἔθνη τε καὶ πόλεις τὲ καὶ τόπους·
βραχεῖ τινὲς ἀφίκοντο πρὸς τὰς αὐτῶν πατρίδας·
» Μήνιος ἐξ ὀλοῆς γλαυκώπιδος ὀβριμοπάτρης·
Ἐκ τοῦ ἀέρος τῆς ὀργῆς, τῆς ἐκ δεινῶν πνευμάτων·
εἴπομεν τὸν ἀέρα σοι γλαυκώπιδα πολλάκις·
ὀβριμοπάτριδ', ἰσχυρὸν ἔχουσα τὸν πατέρα·
τὸ ὅλον γὰρ στερέωμα ὁ οὐρανὸς ὁ σύμπας,
ὁ Ζεὺς αὐτὸς ὁ ἰσχυρὸς πατὴρ ἐστὶν ἀέρος·
ὁ γὰρ ἀὴρ ἡ Ἀθηνᾶ, τοῦ οὐρανοῦ τὶ μέρος·
» Ἣ τ' ἔριν Ἀτρείδῃσι μετ' ἀμφοτέροισιν ἔθηκεν.
Πνευμάτων ἐναντίων γὰρ ὄμβρου τε καὶ χαλάζης,
καὶ καταιγίδων, ἄλλων τε πάντων δεινῶν χειμῶνος
ἤδη μελλόντων ἄρχεσθαι, Μενέλαος μὲν ἔφη
πλεῖν τὴν ταχίστην Ἕλληνας πάντας εἰς τὰς πατρίδας·
» Οὐ δ' Ἀγαμέμνονι πάμπαν ἑήνδανε· βούλετο γάρ ῥα

» λαὸν ἐρυκακέειν· ῥέξαι δ' ἱερὰς ἑκατόμβας,
» ὡς τὸν Ἀθηναίης δεινὸν χόλον ἐξακέσαιτο·
» νήπιος, οὐ δὲ τὸ ᾔδη, ὃ οὐ πείσεσθαι ἔμελλεν·
» οὐ γάρ τ' αἶψα θεῶν τέρπεται νόος αἰὲν ἐόντων.
Ὁ Ἀγαμέμνων δὲ αὐτὸς τὸ στράτευμα κατεῖχε,
ὡς ἂν ἀέρος τὸ δεινὸν παῦσιν θυσίαις λάβοι·
ῥᾶστα δ' οὐ μετατρέπεται κρατῆσαν τὶ στοιχεῖον,
εἴ τ' οὖν χειμέριος ἀὴρ, εἴ τε καὶ θέρους καύσων.
» Νύκτα μὲν ἀέσαμεν, χαλεπὰ φρεσὶν ὁρμαίνοντες
» ἀλλήλοις· δὴ γὰρ Ζεὺς ἤρτυε πῆμα κακοῖο.
Οὕτως ἐκνυκτερεύσαμεν ἐχθραίνοντες ἀλλήλοις·
ὁ Ζεὺς καὶ νοῦς γὰρ ὁ ἡμῶν, ὁ τῆς κακοβουλίας,
ἢ καὶ ἡ εἱμαρμένη δε, ἡμῖν ταῖς δυσβουλίαις
ἤρτυε, κατεσκεύαζε τὴν συμφορὰν τὴν τόσην·
ἠῶθεν οἱ ἡμίσεις δε ἐν ταῖς νηυσὶν ἐμβάντες,
ἐπλέομεν· ἐστόρεσε τὸ πέλαγος θεός δε·
θεὸς τὰ νῦν ὁ οὐρανὸς ἐκ ζάλης αἰθριάσας·
εἴτ' οὖν θεὸς καὶ μοῖρα τὶς ἐκ τῶν εὐτυχεστάτων,
ἐστόρευσε καὶ ἔπαυσε τὴν ζάλην τοῦ πελάγους·
νόστον δ' οὔπω ἐμήδετο ὁ Ζεὺς, ἡ εἱμαρμένη,
δευτέραν ἔριν γὰρ αὐτοῖς αὖθις ἀναῤῥιπίζει·
ἠτοῦμεν τέρας δεῖξαι δὲ θεὸν, τὴν εἱμαρμένην·
καὶ τὸ, θεοὶ ὁμοίως δε δύναμιν περιθεῖεν,
καὶ τὸ, θεοῦ ὀμφῇ, ὡσαύτως δὲ σὺν τούτοις νόει·
εἰ γὰρ Ἀθήνη σε φιλεῖ, ἂν φρόνιμος ὑπάρχῃς,
ὡς Ὀδυσσεῖ παρίστατο, ὡς ἦν φρονῶν ἐκεῖνος·
» Οὐ γάρ πω ἴδον ὧδε θεοὺς ἀναφανδὰ φιλεῦντας,
» ὡς ἐκείνῳ ἀναφανδὸν παρίστατο Παλλὰς Ἀθήνη.
Οὐκ εἶδον ὄντως ἔγωγε τὰς ψυχικὰς δυνάμεις
λυσιτελούσας προφανῶς, ὡς Ὀδυσσεῖ τὸ ἔμφρον·
οὐδ' οἱ θεοὶ θελήσειαν, αὐτὴ ἡ εἱμαρμένη,

ὑπερβολὴν τὸ σχῆμα δὲ τοῦτο καλεῖν μοι νόει·
Ἀθήνη πάλιν Μέντωρ νῦν θεός. ἡ εἱμαρμένη·
» Ὥς τέ μοι ἀθανάτοις ἰνδάλλεται εἰσορόωσι.
Στοιχείοις ἢ καὶ ἄστρασιν. ὡς οὐρανῷ, ἡλίῳ·
μοῖρα θεῶν ἀρτίως δὲ, ἀστέρων εἱμαρμένη,
θεοῖς, βωμοῖς, στοιχείοις τε καὶ σὺν αὐτοῖς ἡλίου·
Φοῖβος Ἀπόλλων ἔπεφνεν, ὁ ἥλιος ἀνεῖλεν·
τὰς λοιμικὰς ἁπάσας γὰρ νόσους καὶ τὰς ὀξείας
ἐκ τοῦ ἡλίου γίνεσθαι φασὶ καὶ τῆς σελήνης·
πλοῦν στυγερὸν Ζεὺς φράσατο, καὶ ἀϋτμένας χεῦεν,
ἡ εἱμαρμένη νῦν αὐτὴ, ἢ καὶ ἀὴρ ἐνθάδε.
» Ζεὺς τόγ' ἀλεξήσειε καὶ ἀθάνατοι θεοὶ ἄλλοι·
Ὁ Ζεὺς, ὁ πλάνος ὁ ἀστὴρ, καὶ οἱ λοιποὶ ἀστέρες·
ἤτοι μὴ γένοιτο ἐμοὶ τοιαύτη εἱμαρμένη,
ἢ μὴ παραχωρήσειεν ὁ Ζεὺς γενέσθαι τοῦτο,
ὁ πάντα συστησάμενος ὁ νοῦς ὁ τῆς προνοίας·
οἱ ἄλλοι νῦν ἀθάνατοι κολύουσι τὸν Δία,
ἐνθάδε νοῦν λαμβάνεσθαι προνοίας ὥς περ εἶπον·
ἐπεὶ δ' ἐγράφη, κείσθω σοι· βίβλον χιοῦν οὐ θέλω·
αὕτη γὰρ καὶ σχεδάριον τὸ καθαρὸν ἐστί μοι.
» Ὣς ἄρα φωνήσας ἀπέβη γλαυκῶπις Ἀθήνη,
» φήνῃ εἰδομένη, θάμβος δ' ἔχε πάντας Ἀχαιούς.
Οὕτως εἰπὼν ἀπέδραμεν ὁ συνετὸς ὁ Μέντωρ,
ὠκέως, φήνης ὄρνιθος ἐξεικασμένος τάχει·
ἢ ἅμα ὑπεχώρει μὲν ὡς πρὸς τὴν ναῦν ὁ Μέντωρ,
καὶ φήνη δὲ διέπτατο· οἰωνοσκόποι δ' ὄντες,
καὶ γνόντες μάντευμα χρηστὸν τοῦτο τοῦ Τηλεμάχου
δηλοῦν ἀνύσαι τὴν βουλὴν καὶ τὸν σκοπὸν ὃν θέλει,
οἱ πάντες κατεπλάγημεν καὶ Νέστωρ σὺν ἐκείνοις·
ὅπως δ' ἡ φήνη μάντευμα τοῦ Τηλεμάχου μάθε·
ἡ φήνη τὰ νεόττια τῶν ἀετῶν ἐκτρέφει·

ἐπίτροπος καὶ Μέντωρ δὲ ὑπῆρχε Τηλεμάχου,
οὗ μετὰ τὸ συμβούλευμα πρὸς ναῦν ἀπερχομένου,
ἐπεὶ φήνη διέπτατο, πᾶσι χρηστὸν ἐκρίθη·
ὡς καὶ τὸν Νέστορα εἰπεῖν ἀνέῳ πεφυκότι,
τοιαῦτά σοι ἐκπέμπονται σημεῖα ἐξ ἀέρος·
εἴτ' οὖν ἡ εἱμαρμένη σοι τοῖα σημεῖα πέμπει,
ἐλπίζω παῖ ἀνύειν σε· τοῦτο δ' οὐκ ἔστιν ἄλλο·
» Ἀλλὰ Διὸς θυγάτηρ, κυδίστη Τριτογένεια.
Ἡ νῦν πτῆσις τῆς ὄρνιθος οὐκ ἄλλό τι σημαίνει,
σοῦ λογισμοῦ δὲ τὴν βουλὴν ἀνύσαι καὶ πληρῶσαι.
» Ἀλλ' ἄνασσ' ἵληθι· δίδωθι δέ μοι κλέος ἐσθλὸν.
» αὐτῷ καὶ παίδεσσι καὶ αἰδοίῃ παρακοίτῃ.
Ἀλλ' ἵλεω καὶ φίλη μοι τοιάδε εἱμαρμένη
αὐτῷ γενέσθω καὶ παισὶν ἐμοί τε συμπαρεύνῳ.
» Ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε Παλλὰς Ἀθήνη·
Ἢ πάλιν ἀπεφάνη δὲ τὸ ὄρνεον, ἡ φήνη,
δηλοῦν καὶ τούτου τὰς βουλὰς, καὶ τοὺς σκοποὺς πληροῦσθαι,
εἴτ' οὖν γε ἤκουσεν αὐτοῦ, τουτέστι καὶ ὁ Νέστωρ,
ἐπιτυχὴς ἦν ἐν βουλαῖς ὧν ἤθελε πραγμάτων·
» Υἱέος Ὀρτιλόχοιο, τὸν Ἀλφειὸς τέκε παῖδα·
Τὶς Ἀλφειὸς Ὀρτίλοχον ἐγέννησεν υἱέα,
ἐξ οὗ ἀνδρὸς τοῦ Ἀλφειοῦ ὁ ποταμὸς ἐκλήθη·

## ΑΥ̓ΤΗ ἘΣΤΙΝ ὙΠΟΘΈΣΙΣ ΤΗΣ Δ. ὈΔΥΣΣΕΙΑΣ

Εἰς Σπάρτην ὁ Τηλέμαχος ἐλθὼν σὺν Πεισιστράτῳ,
γάμων καιροῖς, ξενίζεται τοῖς οἴκοις Μενελάου·
νόστον ζητῶν δὲ τοῦ πατρὸς, τὰ τῶν μνηστήρων λέγει·
καὶ ὁ Μενέλαος αὐτῷ λεπτῶς πᾶν ἐξηγεῖται

τὸν πλοῦν καὶ τὰ μαντεύματα Πρωτέως Αἰγυπτίου·
ἐξ ὧν τὸν Ἀγαμέμνονος θάνατον ἐπεγνώκει,
ὑπάρχειν Ὀδυσσέα δὲ τῆς Καλυψοῦς τῇ νήσῳ·
ταῦτα κατὰ τὴν Σπάρτην μὲν ἐν οἴκοις Μενελάου·
Τηλέμαχον ἀπόδημον δὲ γνόντες οἱ μνηστῆρες,
τοῦτον βουλεύονται κτανεῖν, ὃ γνοῦσα Πηνελόπη
ἐξ ὀδυρμῶν περιπαθῶν εἰς ὕπνον παρεσύρη,
περὶ παιδὸς ὀνείροις δὲ χρηστοῖς παραμυθεῖται·
γάμον θεοὶ ἐτέλειον, ἤτοι ἡ εἱμαρμένη·
εἶδος τῆς Ἀφροδίτης δέ, αὐτῆς ἐπιθυμίας·
» Ἄνδρε δύω γενεὴν Διὸς μεγάλοιο ἐΐκτην·
Διὸς μεγάλου νῦν (υἱοῦς), σημαίνει βασιλέως·
» Ζηνός που τοιήδε γ' ὀλυμπίου ἔνδοθεν αὐλή·
Ζῆν νῦν ὁ οὐρανὸς ὅδε φησὶ τοιόν δε,
ὡς κατωτέρῳ οὐρανῷ παρεμφερὴς ὁ δόμος·
Ἀρτέμιδι εἰκυῖα δέ, σελήνῃ κατὰ θέαν,
θεοῦ τερπόμενα αὐδῇ ὡς μουσικῇ ἀστέρων·
εἶναι ὁ Μέμνων παῖς ἠοῦς λέγεται, τῆς ἡμέρας,
ἢ ὡς περίβλεπτος ἀνὴρ ἡμέρᾳ καὶ τῷ βίῳ,
ἢ ὡς πατρίδα λεληχὼς τὰ μέρη τὰ ἑῷα·
» Αὐτίκ' ἄρ' εἰς οἶνον βάλε φάρμακον· ἔνθεν ἔπινον
» νηπενθές τ' ἄχολόν τε κακῶν ἐπίληθον ἁπάντων·
Τοὺς ἐν τῷ πότῳ λόγους νῦν Ἑλένης θελκτηρίους,
κατονομάζει φάρμακον ληθεδανὸν ἀνίας·
οὐκ ἀπεικὸς καὶ φάρμακα τὴν Αἴγυπτον κεκτῆσθαι,
ληθεδανὰ καὶ παύοντα τὰς ἀφορήτους θλίψεις·
καὶ γὰρ καὶ τοὺς Αἰθίοπας τοὺς ἀπαθεῖς ἀκούω,
μή τε πληγαῖς, μή τε τομαῖς, μὴ καύσεσι, μήδ' ἄλλοις
ἀνιαροῖς ἀλγύνεσθαι, φέρειν δὲ πάντα ῥᾶστα,
ὡς ἄλλου τινὸς πάσχοντος δοκῶ τισὶ φαρμάκοις·
θεὸς αὖ Ζεὺς ὁ ἀγαθὸν καὶ τὸ κακὸν διδοὺς γε,

ἡ εἱμαρμένη νῦν ἐστιν, ἢ δέ γε Ἀφροδίτη,
ἣ τῇ Ἑλένῃ δέδωκεν αὐτὰς ἐπιθυμίας,
νόσφιν Ἑλένης ἤγαγεν ἀφ' ἵππου τοῦ δουρείου,
Παλλὰς Ἀθήνη, φρόνησις αὐτοῦ τοῦ Ὀδυσσέως,
φθέγξασθαι γὰρ οὐκ εἴασεν οὐδὲν αὐτὸν ἐν ἵππῳ·
» Αἲ γὰρ Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον·
Εἴθε ἀὴρ, πνοῆς δοτὴρ, καὶ Ἀθηνᾶ, σελήνη,
καὶ Ἀπόλλόν τε, ἥλιε, φωτὸς βροτοῖς ταμία·
ἤγουν, εἴθε ὦ οὐρανὲ, νὺξ, φῶς τε τῆς ἡμέρας·
Αἰγύπτῳ τὸν Μενέλαον ποῖοι θεοὶ κατέσχον,
οἷς τισι καὶ οὐκ ἔρεξεν, ἀστέρες εἱμαρμένης·
ἤτοι οὐ πλεῖν κατήρξαντο χρηστῷ τῷ θεματίῳ·
» Εἰ μή τίς με θεῶν ὀλοφύρατο καί μ' ἐλέησε,
» Πρώτεως ἰφθίμου θυγάτηρ ἁλίοιο γέροντος,
» Εἰδοθέη· τῇ γὰρ κάλλιστά γε θυμὸν ὄρινα·
Θεῶν νῦν μάγων καὶ σοφῶν καὶ ὑδρομαντευμάτων,
Πρωτέως ὄνομα πλαστὸν, καὶ τὸ τῆς Εἰδοθέας.
Ὡς Τζέτζης τέως οἴεται καὶ σκόπει πῶς σοι λέγει·
Πρωτεὺς τὸ ὕδωρ πρώτιστον ὑπάρχει τῶν στοιχείων·
ὅθεν αὐτὸν καὶ γέροντα καὶ τῶν ἰφθίμων λέγει·
εἰ δ' ἦν τις ἀνθρωπόμορφος, γέροντα μὲν ἂν εἶπεν,
σοφὸν δὲ ἢ τὶ ἕτερον, οὐ μέντοι τῶν ἰφθίμων·
οὕτως ὁ Τζέτζης οἴεται τὸν μὲν Πρωτέα ὕδωρ,
τὴν δ' Εἰδοθέαν ὄνομα πρέπον μαντικωτάτοις,
ὡς ἀστρολόγοις καὶ λοιποῖς προγνωστικοῖς ἀνθρώποις,
εἰδυῖα πάντα ὡς θεὸς, ἢ ἡ εἰδυῖα θεῖα·
ταύτην ὁ Τζέτζης μάντιν σοι λέγει τὴν Εἰδοθέαν,
Πρωτέως θυγατέρα δὲ λέγει καλεῖσθαι οὕτω,
ὡς πάντα προγινώσκουσαν ἐξ ὑδρομαντευμάτων·
αὐτὴ τῷ Μενελάῳ δε πάντα μαντευσαμένη,
Ὁμήρου λόγοις φέρεται ὡς ἑρμηνεύει τόν τε

πῶς τὸν Πρωτέα γέροντα ὄντα πατέρα ταύτης,
ὡς ἂν αὐτῷ μαντεύσηται ὃ καὶ γενέσθαι λέγει·
Τζέτζης ἐκείνην δέ φησι Μενέλαον ἰδοῦσαν·
Πάνθ' ὅσα χρήζεις ἐκμαθεῖν ὑδρομαντείαις δείξω·
καιρῷ γὰρ μεσημβρίας σε πρὸς σπήλαιόν τι ἄξω.
καὶ τρεῖς ἑτάρων δὲ τῶν σῶν, οὓς περ αὐτὸς ἂν θέλῃς
καὶ νεοδόροις δέρμασι φωκῶν ὑμᾶς καλύψω.
ἔχει γὰρ ἀντιπάθειαν ἡ φώκη ταῖς μαγείαις,
καὶ συνεργεῖ δὲ πρὸς πολλὰ τῶν μαγικῶν ὁμοίως·
διὰ ὀσμὴν δὲ τῶν φωκῶν ἀρώματα παράσχω.
κειμένων οὕτω δὲ ἡμῶν φώκαις ἐσκεπασμένων,
καὶ φῶκαι ἐξελεύσονται καὶ αὗται δὲ πεσοῦνται·
εἶτα καταριθμήσωμεν τὰς φώκας καὶ ἡμᾶς δὲ,
μέσον ἡμῶν καὶ τῶν φωκῶν ὕδωρ θαλάσσης θήσω·
καὶ τότε ἂν ἐγέρθητε καὶ ἴδητε μυρία,
ὅσ' ἐπὶ γαῖαν ἑρπετὰ τῷ ὕδατι ἐκείνῳ,
καὶ πῦρ, καὶ ὕδωρ καὶ φυτὰ, πᾶσαν ἁπλῶς τὴν φύσιν·
δεῖ δὲ πολλῆς στεῤῥότητος, οὐχὶ δειλίας τότε,
ἔχειν καὶ ὑπομένειν τε τὸν γέροντα τὸ ὕδωρ,
καὶ σθεναρῶς ἐγκαρτερεῖν εὐτόνοις ἐμψυχίαις·
εἰ γὰρ μικρὸν ἐνδοίητε καὶ δειλανδρήσητέ μοι
τῶν ὁρωμένων ταῖς μορφαῖς, πάθητε τὸ Πεισάνδρου·
οὗτος γὰρ ὢν δειλότατος ψυχὴν ἰδεῖν ἐπόθει·
ἐν δὲ τῷ θῦσαι κάμηλον, φάσμα ψυχῆς ὡς εἶδεν,
ἄψυχος οὗτος καὶ νεκρὸς ὡράθη παραυτίκα·
οὕτω τῷ τότε τόλμης μὲν, ἀλλ' οὐ δειλίας χρεία·
ἐπὰν τὸ ὕδωρ πάλιν δὲ ἴδητε ὕδωρ μόνον,
ἤτοι μετὰ ἐκπλήρωσιν, ὧν δράσω μαντευμάτων,
ἐρώτα ὅσα βούλει μοι, Μενέλαε, καὶ μάθῃς·
Τὸν νοῦν ἀλληγορήματος ὅλον τοῦ νῦν εἰρήκειν.
ἤδη τινὰς δὲ λέξωμεν λέξεις ἀλληγορίας·

θεάων νῦν σοφῶν δε, τὸ δ' ἀθανάτους νόει,
ἀστέρας· εἱμαρμένην τε· θεοὶ, πάλιν σοφοί δε·
τὶς ἀθανάτων με πεδᾷ, ἤτοι τὶς εἱμαρμένη·
τίς σοι θεὸς συμφράσατο, φρόνιμος συνετός τε,
Διῒ καὶ ἄλλοισι θεοῖς, τῇ εἱμαρμένῃ λέγει·
καὶ ἀθανάτοις δὲ θεοῖς τοῦ οὐρανοῦ ὁμοίως·
θεοὺς πολλάκις εὕρῃς μοι πάλιν τὴν εἱμαρμένην·
Διὸς γαμβρὸς Μενέλαος ὃ ἐστι βασιλέως·
ἐπεὶ χρησμοῖς δ' ἐς ὕστερον νήσοις μακάρων ἦλθε,
παίζων ὁ γέρων καὶ γαμβρὸν Διὸς κατονομάζων,
οὐ βασιλέως δὲ υἱὸν, ἀλλὰ θεοῦ, ληροῦ(ται)
οἷα γαμβρὸς Μενέλαε θεοῦ φησὶν ὑμάρχων,
ἀφίξῃ ἐς Ἠλίσιον καὶ τὰς μακάρων νήσους·
Αἴγυπτον, Νεῖλον ποταμὸν Διϊπετῆ δὲ λέγει,
ὡς ὄμβροις αὐξανόμενον, χίοσιν Αἰθιόπων·
θεῶν στόλον κατέπαυσα· τῆς εἱμαρμένης λέγω·
ἔδοσαν οὖρον οἱ θεοὶ, μοῖρα καὶ τὰ στοιχεῖα·
ἔργον δ' Ἡφαίστοιο, ἐστὶ πυρὸς καὶ τοῦ τεχνίτου·
ἀρχὸν νηὸς, τὸν Μέντορα· εἴ τε θεὸν ἐπέγνων·
θεὸν σοφὸν καὶ σύμβουλον· εἴτ' οὖν ἀρχὸν τῶν ἕνα·
ὡσαύτως καὶ τὸ, εἴ τις μοι θεὸς ἦν παροτρύνων·
νῦν Ἀθηνᾶ, ἡ φρόνησις, ἡ ἐκ θανάτου σώζει·
θεοῖς ἐπεύχεσθαι αὐτούς· ἤτοι τῇ εἱμαρμένῃ·
πῶς Ἀθηνᾶ δὲ ἔκλυε· τὶς φαίη Πηνελόπη
ὅτι σωθεὶς Τηλέμαχος φρονήσει ὑπεστράφη·
τῇ Πηνελόπῃ Ἀθηνᾶ τὸν ὄνειρον ἐκπέμπει·
ἢ ὁ ἀὴρ ὢν κάθυγρος ἐπαγαγών τε ὕπνον·
ἢ ὅτι ἃ καθεύδοντες ὀνείρατα ὁρῶμεν,
ψυχῆς τε καὶ φρονήσεως ἀνάπλασμα τυγχάνει·

Ἐπεὶ τὴν δέλτα πᾶσαν δε εἶπον ἀλληγορίαν,
μικρόν τι γελαστέον μοι καὶ ἀνερωτητέον

τοὺς πειθομένους τοῖς μωροῖς ἀλληγορογραφῶσιν·
εἰ ὁ Πρωτεὺς ὡς οἴεσθε ὕλη δοκεῖ τυγχάνειν,
καὶ μὴ ὑδρομαντεία δε, καθὼς ὁ Τζέτζης λέγει,
πῶς ἐκ τῆς ὕλης εἴπατε Μενέλαος μανθάνει
ὅσα τῷ Ἀγαμέμνονι συμβαίνει καὶ τοῖς ἄλλοις;
τίνες αἱ φῶκαι ἦσαν τε καὶ τὶς ἡ ἀμβροσία,
ἣν ταῖς ῥισὶν ἐνέσταξεν αὐτῶν ἡ Εἰδοθέα,
καὶ τὶς ἡ Εἰδοθέα δε σὺν πᾶσι τοῖς ἑτέροις;
ψευδαλληγορογράφοις μοι μὴ πείθεσθε μηδόλως·
πῶς δ' ἂν τις γνοίη τὰς ψευδεῖς ἀλληγορίας λέξω.
ἂν πρὸς τὴν ὅλην ἔννοιαν, τὴν ἣν ἀλληγοροῦσι,
τὸ διαφκὲς ȣ̓κ ἔχουσιν, ἀλλὰ κενολογῶσιν·

---

## ʽΥΠΟΘΕΣΙΣ ʽΟΜΗΡΟΥ ΔΕ ΤΟΥ Ε. ΤΗΣ ʼΟΔΥΣΣΕΙΑΣ.

Θεῶν δευτέρας ἀγορᾶς αὖθις γεγενημένης,
ἡ Ἀθηνᾶ τὰς συμφορὰς ἔφασκεν Ὀδυσσέως,
καὶ ὡς κατέχοιτο αὐτὸς τῆς Καλυψοῦς τῇ νήσῳ·
οἱ δὲ μνηστῆρες βούλονται κτεῖναι καὶ παῖδα τȣ́τȣ,
δι' ἀκοὴν τὴν τȣ͂ πατρὸς εἰς Πύλον ἀφιγμένον·
Ζεὺς δὲ φησὶ πρὸς μὲν αὐτὴν τὴν Ἀθηνᾶν τοιάδε·
ὥς περ ὑπέθου λογισμὸν ἐλθεῖν τὸν Ὀδυσσέα
καὶ τȣ̀ς μνηστῆρας σύμπαντας σὺν δόλοις ἀποκτεῖναι,
ὡς ἀβλαβῆ Τηλέμαχον κόμισον εἰς Ἰθάκην·
πρὸς Ἀθηνᾶν μὲν τοιαδί· τὸν δὲ Ἑρμῆν κελεύει
ἐλθόντα φάναι Καλυψοῖ πέμψαι τὸν Ὀδυσσέα·
καὶ δὴ αὐτὸν ἐξέπεμψεν ἐπί τινος σχεδίας·
τῇ ὀκτωκαιδεκάτῃ δε ἡμέρᾳ τὴν σχεδίαν
ὁ Ποσειδῶν διέλυσε μεγάλως χαλεπήνας.

Ἰνὼ δὲ κινδυνεύοντα τοῖς κύμασιν ἰδοῦσα,
δοῦσα τὸ κρήδεμνον αὐτῆς, γῆν εἰς Φαιάκων σώζει.
Νῦν ἀλληγορητέον δὲ τὰ τῆδε γεγραμμένα·
θεῶν φρονούντων ἀγορᾶς δευτέρας ἀγοραίας,
ὁ Μέντωρ διηγεῖται μεν τὰ περὶ Ὀδυσσέα,
βουλαῖς τῆς Πηνελόπης δὲ οἰκτρὰ τῇ διηγήσει,
ὃν Ἀθηνᾶν νῦν Ὅμηρος, ὥς περ καὶ πρώην, λέγει·
αὐτὸν μὲν λέγων Καλυψοῦς κατέχεσθαι τῇ νήσῳ,
βουλεύεσθαι μνηστῆρας δὲ καὶ παῖδα τούτου κτεῖναι·
ταῦτα εἰπόντος Μέντορος ἀνδρὸς φρονιμωτάτου,
ὁ Ζεὺς, καὶ ἔννους τὶς ἀνὴρ, οἷος ὁ ἀλιθέρσης,
φησὶν ὡς ᾠκονόμησας τὰ περὶ Ὀδυσσέα,
οὕτω στραφῆναι ἀβλαβῆ καὶ παῖδα τούτου σκόπει·
ταῦτα μὲν πρὸς τὸν Μέντορα· καὶ γράμμα δὲ συντάξας,
ὅ περ Ἑρμῆν τε καὶ υἱὸν αὐτοῦ κατονομάζει·
ὁ γὰρ προφορικὸς λόγος, τέχνη νοὸς ὑπάρχων,
ὁ ἑρμηνεὺς νοὸς ἐστὶ, ψυχῆς τε κινημάτων·
Ἑρμῆς, καὶ ὁ τὸ γράμμα δὲ τισὶν ἀποκομίζων,
καὶ ὑπουργοῦν πᾶν ὄργανον πρὸς ἔκθεσιν γραμμάτων,
καθάπερ Ἥφαιστος τὸ πῦρ, καὶ πυρεκτοὶ καὶ ὗλαι·
καὶ γράμμα δὲ συνθέμενος μετά τινος ἐμπόρου,
στέλλει πρὸς νῆσον Καλυψοῦς σθένον ἐκείνην πεῖσαι.
πρὸς τὴν πατρίδα τὴν αὐτοῦ πέμψαι τὸν Ὀδυσσέα·
οἶδας τὸν Ποσειδῶνα τε καὶ τὰς ὀργὰς θαλάσσης·
Ἰνὼ δὲ καὶ τὸ κρήδεμνον, χάρις ἐστὶν Ὁμήρου,
παίζων χαριεντίζεται καὶ γὰρ ἐν τοῖς ἐνθάδε,
πρὸς ὅν περ μῦθον λέγουσι περὶ Ἰνοῦς τῆς Κάδμου·
θεὰν λεγόντων γὰρ αὐτὴν γενέσθαι τῇ θαλάσσῃ,
ἐπεὶ συνέβη πλέοντι τῷ Ὀδυσσεῖ σχεδίᾳ,
ἐκ τῆς θαλάσσης αἴθυιαν εὐθὺς ἐξαναδῦναι,
ἔγγιστα τῆς σχεδίας τε πτερυξαμένην τότε

χωρῆσαι τὴν εἰς Φαίακας κατὰ γραφὴν ὀρθίαν·
ἐκ ταύτης δ' ἔγνω Ὀδυσσεὺς ἔγγιστα γῆν ὑπάρχειν,
οὗ ἔμελλε καὶ νήξασθαι σχισθείσης τῆς σχεδίας.
παίζων χαριεντίσμασιν ὁ Ὅμηρος, ὡς εἶπον,
Ἰνὼ λέγει τὴν αἴθυιαν· κρήδεμνον δέ σοι ταύτης
γραμμὴν τὴν τοῦ πτερύγματος ἐκείνην τὴν ὀρθίαν,
καθ' ἥν περ ἐκνηχόμενος πρὸς Φαίακας ἐξῆλθεν·
ἔχεις τὸ ἀλληγόρημα· τοῦτο δὲ σὺ σημείου,
ὡς πλοίοις κινδυνεύουσιν ἂν αἴθυια φανείη,
ἐξαναδῦσα τοῦ βυθοῦ, σημεῖον σωτηρίας·
ἐν δὲ πλόου σοὶ κατ' ἀρχὴν ἂν αἴθυια φανείη,
εἰσδῦσα μᾶλλον εἰς βυθὸν ἐκ τῆς ἐπιφανείας,
ὄλεθρον τότε τῇ νηὶ σημαίνει καὶ πλωτῆρσι,
κἂν εὐδιῶν τῶν πώποτε βλέπῃς εὐδιωτέραν·
ἂν τοῦτο γοῦν κατίδῃς μοι, φεῦγε πρὸς ἄλλο πλοῖον,
ἂν ἀναγκαῖον τότε σοι καθέστηκε τὸ πλεῦσαι·
εἰ δ' οὐ μεγάλη βία τὶς, ἔα μὴ πλεύσῃς τότε·
ἐπεὶ ταῦτα κατέλεξα, λοιπόν μοι χωρητέον
ἤδη καὶ πρὸς τὸ κείμενον, ὡς τὰ χρειώδη λέξω·
» Ἠὼς δ' ἐκ λεχέων παρ' ἀγαυοῦ Τιθωνοῖο
» ὤρνυθ', ἵν' ἀθανάτοισι φόως φέρῃ ἠδὲ βροτοῖσι·
Τὸν τοῦ Πριάμου ἀδελφὸν νῦν Τιθωνόν μοι ἔα,
καὶ τὴν ἠὼ δὲ σύνευνον θεὰν νοεῖν ἀθλίαν,
τὸ πρωϊνὸν κατάστημα νῦν Τιθωνόν μοι νόει.
τὰ ὤνια ἃ τίθεται ταῖς ἀγοραῖς εἰς πλάσιν,
ἤτοι ἡμέρα ἤπλωτο ἀνθρώποις καὶ στοιχείοις·
οἱ δὲ φρονοῦντες καὶ θεοὶ, οὓς προλαβὼν εἰρήκειν,
συνέδριον ἐποίησαν, δῆλον ἐν τῇ Ἰθάκῃ,
περὶ μνηστήρων τῆς βουλῆς καὶ περὶ Ὀδυσσέως·
ὑψιβρεμέτην δὲ τὸν νοῦν, ὡς λόγοις ὑψηγόροις,
δίκην βροντῶν ἀντίθετον ἅπαν καταβροντῶντα,

καὶ νοημάτων κεραυνοῖς καίοντα καὶ βροντῶντα·
οἱ Φαίακες ἀντίθεοι τῇ ψυχικῇ δυνάμει,
δίκαιοι καὶ οἰκτίρμονες καὶ τῶν συμπαθεστάτων,
ὥς περ θεὸν τιμήσουσι, σοφὸν ἢ βασιλέα·
τὰ πέντε σημαινόμενα θεοῦ, ἐνταῦθα σώζει·
οἷον δ' ἂν εἴποι τις, ἀπερέσφορον οὐκ ἔστι,
κἂν περ ἀνάματον ἐστὶν, εἴτε τῶν ἀκανίσκων·
διάκτορος, ὁ μηνυτὴς τοῦ νοῦ τῶν κινημάτων
ὁ λόγος Ἀργειφόντης δὲ, ὡς καθαρὸς ἐκ φόνου,
ὁ τῶν Ἰθακησίων δὲ τῆς συμβουλῆς καὶ πλέον,
εἰς σωτηρίαν γὰρ αὐτοῦ ἐγράφη Τηλεμάχου·
ἢ ὁ φονεὺς τοῦ Ἄργου, δὲ κυνὸς τοῦ πανομμάτου·
ὁ λόγος πᾶσαν γὰρ ὁρμὴν θυμώδη καταστέλλει·
χρυσᾶ δὲ πέδιλα Ἑρμοῦ γῇ φέροντα, θαλάσσῃ,
αἱ συλλαβαὶ καὶ λέξεις δε. αἷς συμπληροῦται λόγος·
χάρταις γραφὲν τὸ γράμμα γὰρ γῇ στέλλεις καὶ θαλάσσῃ·
» Εἵλετο δὲ ῥάβδον, τῇ δ' ἀνδρῶν ὄμματα θέλγει,
» ὧν ἐθέλει· τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει·
Ῥάβδον δὲ τὴν νουθέτησιν καλεῖ, τὰς παραινέσεις·
ἡ θέλγει καὶ πραΰνει μὲν ὠμοὺς καὶ θυμουμένους,
νύττουσα τοὺς ῥαθύμους δε πράττειν τὶ διεγείρει·
» Τὴν μετὰ χερσὶν ἔχων. πέτετο κρατὺς Ἀργειφόντης.
Τὸ σχῆμα ἐπανάληψις· ἔστι δ' ὁ νοῦς τοιόσδε·
τὴν ἣν εἶπον παραίνεσιν ταχέως γεγραμμένην
ὁ λόγος ἔχων ὁ γραπτὸς, Ἑρμῆς ὁ προλεχθείς μοι,
καὶ ὁ γραμμάτων κομιστὴς, ὡς προλαβὼν εἰρήκειν,
ἐκ τοῦ αἰθέρος καὶ τοῦ νοῦ τῷ χάρτῃ ἐγγραφεῖσαν·
οἱ χάρται καὶ αἱ βίβλοι δε πάντως καὶ πιερίαι,
οἷα μουσῶν καὶ γνώσεως τελοῦσαι κατοικίαι·
ἐν πόντῳ καὶ θαλάσσῃ δε καὶ δι' ὁλκάδος πλεύσας,
εἰς Καλυψοῦς ἀφίκετο τὴν νῆσον, πλὴν ἐν χρόνῳ·

» Ἔνθα ϛὰς θηεῖτο διάκτορος Ἀργειφόντης·
ὁ τῶν γραμμάτων κομιϛὴς, ὅϛις ἦν ἂν ἐκεῖνος·
» Οὐ γάρ τ' ἀγνῶτες θεοὶ ἀλλήλοισι πέλονται·
οἱ γὰρ σοφοὶ καὶ φρόνιμοι νοοῦσι τῶν ὁμοίων·
» Ζεὺς ἐμέγ' ἠνώγει δεῦρ' ἐλθέμεν οὐκ ἐθέλοντα·
σοφοὶ καὶ ἔννους ἄνθρωποι σοὶ ἀπεϛάλκασί με·
θεοῖς θυσίας ῥέζουσι· τουτέϛι τοῖς ϛοιχείοις·
Δία δὲ νῦν παρεξελθεῖν τῆς εἱμαρμένης λέγει·
ἄλλον θεὸν, ϛοιχεῖον τὶ, σοφὸν, ἢ βασιλέα·
νῦν σχέτλιοι ἐϛὲ θεῶν, τὴν εἱμαρμένην λέγει·
θεαῖς, ταῖς βασιλίσσαις δε, ἀνδράσι καὶ τοῖς κάτω·
θεαῖς καὶ τοῖς ϛοιχείοις δε, οἷς ἔϛι θῆλυς κλῆσις,
ὥς περ ἡμέρᾳ τε καὶ γῇ, θαλάσσῃ καὶ τοιούτοις·
ἄν τις ἡμέραν, ἔροιτο, Τζέτζης, ϛοιχεῖον λέγεις,
ναὶ φαίην ἂν ὡς πρὸς αὐτόν· ἡμέρα γὰρ τυγχάνει
φαῦσις πυρὸς ἡλιακȣ̃ τῆς ἀνωτέροις τόποις·
ἡμέρᾳ τὸν Ὠρίωνα μῦθοι φασὶν ἐρᾶσθαι,
ἀνθ' ὧν ἐν βίῳ καὶ φωτὶ πράξεις λαμπρὰς ἐποίει·
ἡ Ὀρτυγία, νῆσος τίς· Δῆλος νῦν καλουμένη·
Ἄρτεμις τὸν Ὠρίωνα κτανεῖν ἐνεθυμώθη,
ἀνθ' ὧν σκορπίος ἔκτανεν αὐτὸν κυνηγετȣ̃ντα·
ἐκ Κρήτης Ἰασίων δε ἦν τῶν φιλογεώργων,
ὅθεν αὐτῷ μυθεύονται τὴν Δήμητραν μιγῆναι·
ἐκεραυνώθη δ' ὁ ἀνὴρ, ὅθεν φασὶν οἱ μῦθοι,
ὅτι διὰ τὴν Δήμητρα Ζεὺς κεραυνοῖ τὸν ἄνδρα·
Ζεὺς ὁ βαλὼν ἐν κεραυνῷ, νῦν οὐρανὸς τυγχάνει·
ἀθάνατον, ἀγήραον νῦν βασιλέα λέγει·
οὐχ' ὅτι οὐ γηράσκουσι σώμασι ϛεφηφόροι,
ἀνθ' ὧν αἱ μνῆμαι τȣ́των δε τοῖς χρόνοις οὐ γηρῶσι·
Διὸς μῆνιν, σαφέϛατα τὴν εἱμαρμένεν λέγει·
ἀπέβη Ἀργειφόντης δε ὁ ἔφορος ἐκείνȣ,

Ζηνὸς ἀγγελίας δὲ, γραφῆς τῆς ἐλλογίμȣ,
δώσω δὲ καὶ τηρήσω σοι ȣ̓̃ρȣ πνοὴν ἀνέμȣ·
θεοὶ δὲ νῦν ȣ̓ράνιοι, ἀστέρες, εἱμαρμένη,
καὶ τὰ στοιχεῖα δὲ αὐτά· ἐξ ὧν πνοαὶ ἀνέμων·
τῷ Ὀδυσσεῖ μὲν βρώματα παρέθεντο (ἀνθρώπεια),
ἤγȣν κοινὰ ἐσόμενα τοῖς σύμπασιν ἀνθρώποις.
τῇ Καλυψοῖ δὲ βρώματα τῶν βασιλικωτέρων,
ἅ περ κατονομάζει νῦν νέκταρ καὶ ἀμβροσίαν.
ἡ Ὀδυσσεῖ μὲν βρώματα παρέθεντο ἐσθίειν,
αὕτη σὺν θεραπαίναις δε λόγοις τισὶν ἐτρύφα,
ἃ μᾶλλον τῇδε λέξει τὶς νέκταρ καὶ ἀμβροσίαν·
τὸν ὃν γὰρ κατηξίωσε τῶν αἰδημονεστέρων,
ἄτοπον φαίνεται τροφῆς μὴ ἀξιȣ̃ν ὁμοίας,
τίνας φησὶ νῦν τὰς θνητὰς, καὶ τίνας ἀθανάτους·
θνητὰς τῆς κάτω τύχης μὲν θεὰς, τὰς βασιλίσσας·
σημείωσαι ὡς Σόλυμοι Ἱεροσολυμῖται,
ἐξ ὧν νῦν Ὅμηρος φησίν· οὐ μὶν δὲ οἱ Μυλίαι,
ὡς ἄλλοι γράφουσι τινὲς ἄνδρες τῶν νεωτέρων,
καὶ τȣ̃το δὲ σημείωσαί περὶ αὐτȣ̃ Ὁμήρου,
ὡς ὕστερος καθέστηκε Δαβὶδ καὶ Σολομῶντος,
ἐκ τȣ̃ μεμνῆσθαι ὁπωσȣ̃ν ὀνόματος Σολύμων·
Δαβὶδ γὰρ ταύτην ἔθετο καὶ Σολομὼν τὴν κλῆσιν
τῇ χώρᾳ, ἧπερ πρότερον ἦν Ἰεβȣ̃ς ἡ κλῆσις·
λοιπὸν ἀκούων τῶν ἐπῶν, ἠκριβωμένως σκόπει.
» Τὸν δ' ἐξ Αἰθιόπων ἀνιὼν ἴδε κρείων Ἐνοσίχθων
» τηλόθεν ἐκ Σολύμων ὀρέων ἴδεν· εἴσατο γάρ οἱ·
Ἔγνως ἐκ τῶνδε ἀκριβῶς ἃ σημειȣ̃σθαι εἶπον·
ἄκȣσον νῦν δὲ καὶ τὸν νȣ̃ν ὃν γράφουσι τὰ ἔπη·
Εὖρος θαλάσσῃ κινηθεὶς ἐκ τῆς Αἰθιοπίας,
τῷ Ὀδυσσεῖ τὰς συμφορὰς ἐπήνεγκεν, ἃς γράφει·
ὡς Ποσειδῶνα φέρει δε τὴν θάλασσαν λαλȣ̃ντα·

ὅσα ἂν εἴπῃ Ποσειδῶν κατά τινος ἀνθρώπου,
τὸν ὃν αὐτὸς ἐκώλυσε πελάγεσι θαλάσσης,
πρὸς τὴν πατρίδα τὴν αὐτοῦ μὴ θέλων ἀφικέσθαι·
ἰδὼν δ' αὐτὸν φερόμενον αὔραις οὐριοπνόοις,
θεοὶ μετεβουλεύσαντο· νῦν τὰ στοιχεῖα λέγει·
πῶς δὲ συνάγει Ποσειδῶν νεφέλας μάνθανέ μοι·
τὰ νέφη ἀνιμήσει μὲν, μισγίνονται τῶν ὑδάτων·
τρίαιναν δὲ μοι νόησον εἶναι τὰς τρικυμίας·
τὸν οὐρανὸν τοῖς νέφεσιν ὁ Ζεὺς περικαλύπτει,
ἀὴρ ὁ ζωογόνος τε καὶ ἀνασπῶν ἰκμάδας·
τὰ τῆς Ἰνοῦς προείπομεν, τίνι Ἰνὼ νῦν λέγει,
ὅτι παίζων τὴν αἴθυιαν Ἰνὼ κατονομάζει.
καὶ λόγους περιάπτει δὲ νῦν προσωποποιήσας,
ἠθοποιΐας λόγους δὲ τῷ Ὀδυσσεῖ προσάπτει·
καὶ νῦν ὑφαίνῃ δόλον μοί τὶς ἐκ τῶν ἀθανάτων,
μὴ πρὸς τὴν πτῆσιν ἀπιδὼν ἀποτηθῶ αἰθυίας,
δόξας βραχύ τι πέλαγος ὡς πρὸς τὴν γῆν ἐκτρέχειν·
ἡ Ἀθηνᾶ δὲ ὁ ἀὴρ, καὶ οὐρανοῦ θυγάτηρ
Βορέαν πνέειν εἴασεν· ἄλλους δ' ἀνέμους ἔσχεν·
Ἀθήνη θεῖσα δ' ἐν φρεσὶν, ἡ φρόνησις ὑπάρχει·
» Αἰδοῖος μέν τ' ἐστὶ καὶ ἀθανάτοισι θεοῖσι·
Οἰκτείρουσι κακούμενον πολλάκις καὶ στοιχεῖα·
Ἀθήνη (ὕπνον) ἔχευε· νῦν κἄντις τὸν ἀέρα,
κἄνπερ αὐτοῦ τὴν φρόνησιν εἴποις, οὐχ ἁμαρτάνοις·

## ΥΠΟΘΕΣΙΝ ΝΥΝ ΑΚΟΥΕ ΤΗΣ Ζ. ΟΔΥΣΣΕΙΑΣ.

Ὄναρ ἡ Ἀλκινόυ παῖς Φαιάκων βασιλέως
προτρέπεται πρὸς ποταμὸν πλύνειν αὐτῆς ἐσθῆτας.
μετὰ τὸ πλῦναι παιδιᾷ σφαίρας δὲ τερπομένη,
σὺν θεραπαίναις ταῖς αὐτῆς θροῦν ἤγειρε τῷ τότε·
ὑφ᾽ οὗ αὐτὸς ὁ Ὀδυσσεὺς ἐξεγερθεὶς τῦ ὕπνυ,
καὶ τῆς παιδὸς προσδεηθεὶς, λαβὼν τροφὴν, ἐσθῆτα,
ταύτῃ συνηκολέθησεν εἰς πόλιν τῶν Φαιήκων·
» Ὣς ὁ μὲν ἔνθ᾽ ἐκάθευδε πολύτλας δῖος Ὀδυσσεὺς,
» ὕπνῳ καὶ καμάτῳ ἀρήμενος· αὐτὰρ Ἀθήνη
» βῆ ῥ᾽ ἐς Φαιήκων ἀνδρῶν δῆμον τε πόλιν τε·
καὶ μετὰ ἔπη δὲ τινὰ πάλιν φησὶ τοιάδε·
» Τῦ μὲν ἔβη πρὸς δῶμα θεὰ γλαυκῶπις Ἀθήνη,
» νόστον Ὀδυσσῆϊ μεγαλήτορι μητιόωσα.
Νῦν Ἀθηνᾶν τὴν φρόνησιν δεῖ σε νοεῖν· τὸ δέ πως
ἄκουε νῦν καὶ μάνθανε σοφῶς, ἠκριβωμένως·
εἰ ὄντως ὄνειρός ἐστι καὶ μὴ τελῶν ἐκ μέθης,
ψυχῆς τε καὶ φρονήσεως, καὶ λογισμῦ τὶς πλάσις,
εἰκόνας τε καὶ εἴδωλα μελλόντων προδεικνῦσα·
ἐπεὶ καὶ Ναυσικάας δε ὁ λογισμὸς καὶ φρένες
τὸν περὶ γάμου ὄνειρον ἀνέπλασαν ἐκείνῃ,
δι᾽ ὃν σὺν ταῖς νεάνισι καὶ ταῖς θεραπαινίσιν,
ἐλθῦσα πλῦναι ποταμῷ σώζει τὸν Ὀδυσσέα,
οὕτω φησὶν ὁ Ὅμηρος δεινὸς ὢν λογογράφος·
ὁ λογισμὸς, ἡ φρόνησις δῆλον τῆς Ναυσικάας,
νόστον δουλεύων Ὀδυσσεῖ, πόλιν Φαιάκων ἦλθεν·
Ὑπέρεια καὶ Μάρινα πόλις τῆς Σικελίας,
κατ᾽ ἄλλους ἄλλη πόλις δὲ, νῆσος δε καθ᾽ ἑτέρυς·
θεοειδὴς ἐῤῥέθη μοι ποσάκις πόσοις τόποις,

καὶ γενηοὺς ἐποίησε θεῶν ἄκουε ποίων·
στοιχείων καὶ φρονήσεως αὐτῆς τε εἱμαρμένης,
καὶ βασιλέων γε ναοὺς καὶ ἡρωεῖα τούτων,
εἰ θέλεις ἅμα καὶ σοφῶν, οὐκ ἀπεικὸς ἐνθάδε·
τὴν γὰρ πεντάδα σύμπασαν θεοῦ σημειουμένην,
νοεῖν νῦν οὐκ ἀνάρμοστον, τὰ πέντε προσφυᾷ γάρ·
» Ἀλκίνοος δὲ τότ' ἦρχε θεῶν ἀπομήδεα εἰδώς·
Σοφὰ καὶ ἀγχινέστατα ὡς αἱ ψυχῶν δυνάμεις·
ὡς λογισμὸς, ὡς φρόνησις, ὡς πάντα τὰ τοιάδε·
τὴν Ναυσικάας Ἀθηνᾶν τὴν ἐν ὀνείροις εἶπον·
» Ἡ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη γλαυκῶπις Ἀθήνη,
» οὔλυμπόνδ', ὅθι φασὶ θεῶν ἕδος ἀσφαλὲς αἰεί·
Οὔλυμπον νῦν καὶ οὐρανὸν ὁ ποιητής σοι λέγει·
τοῦ λογισμοῦ τὸ ὄργανον τὴν κεφαλὴν αὐτήν σοι,
ἥτις ὁλολαμπής ἐστιν ἂν ἔχῃ νοῦν, τὸν Δία·
ἀπόντος ἀφωτίστῳ δὲ κατέρχεται τῷ σκότει·
ἔδαφος αὕτη τῶν θεῶν ἐστὶ καὶ κατοικία·
νοός· Διὸς, φρονήσεως τῆς Ἀθηνᾶς, Ἑρμοῦ τε
τοῦ λόγου τοῦ προφορικοῦ, καὶ τῶν λοιπῶν ἁπάντων·
ἀνέμοις οὐ τινάσσεται· οὐ βρέχεται δ' ὑπ' ὄμβρων·
οὐ ταῖς τυχούσαις προσβολαῖς εὐρίπιστος ὑπάρχει·
ἀποσοβεῖ τοὺς ὄμβρους δὲ τῶν ἐναντίων λόγων·
οὐ δὲ χιόνος συμφορῶν συστέλλεται τῷ ψύχει·
ὁλολαμπὴς καὶ αἴθριος ὡς ἔφην δὴ τυγχάνει,
σκοτιζομένη μηδαμῶς ὑπό τινος τοιούτου·
ἀεὶ λευκὴν τὴν αἴγλην δὲ φέρει παρυπηργμένην·
πάντα λευκῶς καὶ καθαρῶς ὡς ἔχουσιν ὁρᾷ γάρ·
» Τῷ ἔνι τέρπονται μάκαρες θεοὶ αἰὲν ἐόντες·
» ἔνθ' ἀπέβη γλαυκῶπις ἐπεὶ διεπέφραδε κούρῃ·
Ἐν τούτῳ μὲν τῷ οὐρανῷ ὡς ἔφην καὶ Ὀλύμπῳ,
τῇ σφαιρομόρφῳ κεφαλῇ τῇ καὶ λοιποῖς ὁπόσοις

εἰκονιζούσῃ οὐρανὸν ὁ λογισμὸς οἰκεῖται·
θεοί τε χαίρουσι λοιπὸν ὥς περ τανῦν εἰρήκειν·
αἰὲν ἐόντων, ὡς ἀεὶ παρυπαρχόντων τούτων·
ἐκεῖ καὶ ἡ Ἀθήνη δὲ, φρόνησις Ναυσικάας,
μετά γε τὴν ἀνάπλασιν ὑπέδυ τοῦ ὀνείρου·
ὄργανον οὕτω λογισμοῦ, τὴν κεφαλήν μοι νόει·
Ὁμήρῳ τε πειθόμενος πανσόφῳ λογογράφῳ,
καὶ ἰατρῶν τῇ δόξῃ δε, σοφῶν τε φιλοσόφων,
ὃς τὴν καρδίαν ὄργανον λογιστικὸν νῦν λέγει·
τὸ ὑλικὸν οὐ τελικὸν ὄργανον οὗτος λέγει·
ἡ γὰρ ἀναθυμίασις αἵματος ἐγκαρδίου
χωροῦσα πρὸς τὴν κεφαλὴν διὰ τῶν καρωτέρων,
θερμαίνει τὸν ἐγκέφαλον καὶ τὰς βουλὰς ἐξάγει·
ἂν ὑλικὸν οὖν ὄργανον τὶς λέγῃ τὴν καρδίαν,
τὴν κεφαλὴν δὲ τελικὸν ἔτι τῶν σωφρονούντων·
εἰ τὴν καρδίαν λέγει δὲ τὸ τελικὸν τυγχάνειν,
Ἀριστοτέλους πάνσοφος τὶς μαθητὴς τυγχάνει·
εἴ περ οὖν οὗτος ἰατρῶν οὐ πείθεται τοῖς λόγοις,
καὶ τούτων ὑποδείξεσι μυρίαις ὑπυργμένων,
αὐτὸς δ' ἔφατο, ληρεῖ ὡς πρὶν οἱ Πυθαγόρου,
τοῦ Τζέτζου τί ἀστεῖσμα ἐρώτησον πρὸς τοῦτον,
ποῖον μέρος τοῦ σώματος μετάφρενον καλοῦμεν,
καὶ δείξει μέρος πάντος σοι τὸ μεταξὺ τῶν ὤμων·
ὃ μετὰ κεφαλῆς ἐστὶ, κοιλίαν ὀπισθίαν·
εἰπὲ γοῦν τότε μειδιῶν ἐκείνῳ τῷ πανσόφῳ,
εἰ μὴ παρῆν ὁ λογισμὸς τῇ κεφαλῇ καὶ φρένες,
ἀλλ' ὥς περ λέγεις ἐν αὐτῇ τῇ θέσει τῆς καρδίας,
μετάφρενα ἂν ἔλεγον οἱ πάντες τὰ πρὸς ἥβην,
εἴ τε τὸ στόμα τῆς γαστρὸς ὡς μετὰ τὴν καρδίαν·
οὐ μὴ δ' ὥς περ οἱ ξύμπαντες τὸ πεταξὺ τῶν ὤμων,
ὡς μετὰ κεφαλὴν αὐτὴν καὶ φρένας ὑπηργμένον·

» Ἠύτ' Ἄρτεμις εἶσι κατ' ὄρεος ἰοχέαιρα.
Ὥς περ τοῖς κυνηγέταις δὲ τοῖς τόποις τῆς Ἐφέσου,
εἴ τε τῆς Λακεδαίμονος, εἴ τε τῆς Ἀρκαδίας,
κυνηγετοῦσιν ἐν νυκτὶ τοὺς κάπρους, τὰς ἐλάφους,
φαίνεται ὑπερλάμπουσα σελήνη τῶν ἀστέρων,
ἐπιτερπὴς δὲ ἡ Λητὼ καὶ νὺξ ὁρᾶται τότε·
παίζουσι κοῦραι δὲ Διὸς νύμφαι τοῦ Αἰγιόχου,
αἱ νεωστὶ φαινόμεναι ὕλαι δὲ τῶν ὀρέων,
αἷς νέμεσθαι πᾶν ἄγριον, ἃς Ζεὺς, ἀὴρ ἐκτρέφει·
παίζουσι καὶ συμπαίζουσι καὶ χαίρουσιν ἐκείνῃ·
ἰδέας τότε νόει μοι γλυκύτητος τυγχάνειν·
τὸ σχῆμα τε μεταφορὰν καὶ προσωποποιΐαν·
ὅσω περιτιθέασιν ἀψύχοις τὰ ἐμψύχων,
ὡς ἡ σελήνη οὖν ἐστὶν ὑπέροχος ἀστέρων,
οὕτω καὶ Ναυσικάα δὲ τῶν μετ' αὐτῆς ὑπῆρχεν.
» Ἔνθ' αὖ τ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη·
» ὡς Ὀδυσσεὺς ἔροιτο, ἴδοι τ' εὐώπιδα κούρην.
Νῦν Ἀθηνᾶν γλαυκώπιδα νόει μοι τὸν ἀστέρα·
ἡ γὰρ φωνή τε καὶ ὄρθρου ἀήρ τε πεπληγμένος,
οἷς Ὀδυσσεὺς ἐξυπνισθεὶς εἶδε τὴν Ναυσικάαν,
καὶ δι' αὐτὴν τετύχηκε ταύτης πατρὶ καὶ νόστου·
θεοειδῆ, νῦν νόον μοι τὸν δίκαιον νῦν νόει·
τὸ δίκαιον δυνάμεως δὲ ψυχικῆς τυγχάνει·
τῇ Ναυσικάᾳ θάρσος δὲ ἐνῆκεν ἡ Ἀθήνη·
ἤγουν ἡ φρόνησις αὐτῆς· ἦν γὰρ φρονιμωτάτη·
τὸ δὲ θεὸς νυκτός ἐστι φάντασμα ἢ σελήνη·
δαίμων, ἡ εἱμαρμένη δὲ τῷ ἔπει τῷ ἐνθάδε·
θεοὶ, τελέθουσι δὲ νῦν στοιχεῖα, εἱμαρμένη·
ἤγουν τὸ μέγα πέλαγος κατὰ τῆς εἱμαρμένης·
σοὶ δὲ θεὸς τόσα δοῖεν, αὐτὴ ἡ εἱμαρμένη·
καὶ Ζεὺς δὲ ὁ Ὀλύμπιος, αὐτὴ ἡ εἱμαρμένη·

φίλοι γὰρ ἀθανάτοισιν, αὐτῇ τῇ εἱμαρμένῃ·
εἴτ' οὖν περιφερόμεθα στοιχείῳ τῇ θαλάσσῃ,
ἢ ὅτι πάνυ σέβομεν τὰ δίκαια καὶ θεῖα·
πρὸς γὰρ Διὸς οἱ ξύμπαντες, ξεῖνοι πτωχοὶ τελοῦσι,
ξένοι πτωχοί τε γίνονται· καὶ γὰρ ἐξ εἱμαρμένης.
» Τὸν μὲν Ἀθηναίη θῆκε Διὸς ἐκγεγαυῖα,
» μείζονά τ' εἰσιδέειν καὶ πάσσονα· κάδδε κάρητος,
» οὔλας ἧκε κόμας ὑακίνθῳ ἄνθει ὁμοίας.
Νῦν Ἀθηναίην λέγει σοι Διὸς ἐκγεγαυῖαν·
αὐτὸ κατὰ μετάληψιν τὸ δένδρον τῆς ἐλαίας·
πάντα τὰ δένδρα γὰρ ὁ Ζεὺς, ἤγουν ἀὴρ, ἐκτρέφει·
μᾶλλον (ἄλλου) τοῦ δένδρου πλὴν τὸ ἔλαιόν σοι λέγει·
ὡς οἶνον καὶ τὴν ἄμπελον Διόνυσον καλοῦμεν·
τοῦτο γὰρ λέγει προφανῶς τοῖς ἔπεσιν οἷς γράφει,
ὅτι λουθεὶς ὁ Ὀδυσσεὺς, καὶ ἐκχρισθεὶς ἐλαίῳ·
οὕτω γὰρ ἦν τὸ παρ' ἡμᾶς σύνθετον τοῦτο σμίσγαι·
καὶ μείζων καὶ παχύτερος ἐφάνη καὶ εὐκόμης,
ἡ θάλασσα ξηραίνει γαρ καὶ ἡ ταλαιπωρία·
τὸ δὲ θερμὸν ἂν καὶ γλυκὺ περιχυθὲν ὑγραίνει,
καὶ ἀραιοῦν τοὺς πόρους δε, τοὺς πόρους τοὺς ἀδήλους,
μείζονα καὶ παχύτερα τὰ σώματα δεικνύει·
οὐλίζει καὶ τὰς τρίχας δε, καὶ χρίσις ἡ ἐλαίου·
τοὺς πόρους παρεμφράττουσα ταύτης παχυμερεία,
καὶ συντηροῦσα τὸ ὑγρὸν ἔντωσθεν τῶν σωμάτων·
μείζω τε καὶ παχύτερα, καὶ τὸ θερμὸν δεικνύει,
καὶ μαλακὰ δὲ καὶ στιλπνά· τρέφει δὲ καὶ τὰς κόμας·
» Ἴδρις, ὃν Ἥφαιστος δέδωκε, καὶ Παλλὰς Ἀθήνη.
Ἥφαιστος νῦν τὸ πῦρ ἐστιν· ἡ φρόνησις Ἀθήνη·
οὐ τῶν θεῶν ἀέκητι, ἀστέρων, εἱμαρμένης·
ἤγουν οὐ μοίρας ἀγαθῆς ἄνευθεν ἦλθε τῇδε·
ἀντίθεοι, ἰσούμενοι τῇ ψυχικῇ δυνάμει·

δίκαιοι καὶ φιλόξενοι καὶ ἕτερα ἐν ἄλλοις·
νῦν δὲ θεοῖσιν ἔοικας, ἄστρασιν οὐρανίοις·
» Ἤ τις οἷ εὐξαμένῃ πολυάρητος θεὸς ἦλθεν,
» οὐρανόθεν καταβὰς, ἕξει δέ μιν ἤματα πάντα·
Θεὸς νῦν βασιλεύς ἐστι· τὸ δ' οὐρανόθεν λέγει,
ἐξ οὐρανίας ἐπελθὼν μοίρας καὶ εἱμαρμένης.
» Δήομεν ἀγλαὸν ἄλσος Ἀθήνης ἄγχι κελεύθου·
Ἀθήνης τε φρονήσεως νῦν δὲ, οὐ τοῦ ἀέρος·
οἱ παλαιοὶ γὰρ ὡς θεοὺς ἐτίμων τὰ στοιχεῖα·
καὶ τοὺς ἀστέρας δὲ αὐτοὺς, αὐτὴν τὴν εἱμαρμένειν·
σοφοὺς ὁμοῦ καὶ βασιλεῖς καὶ ψυχικὰς δυνάμεις·
ταῦτα ἐτίμων ἄλσεσι καὶ ἐν βωμοῖς, ναοῖς τε·
ἀλλ' ἐατέον τὰ λοιπὰ, τὰ ψυχικὰ λεκτέον·
Ἄρεος μὲν καὶ τοῦ θυμοῦ ναοὺς τε καὶ εἰκόνας,
ἐν τοῖς ἀγροῖς καὶ πόῤῥωθεν ἵστων τῶν πολισμάτων·
τῆς δ' Ἀθηνᾶς, φρονήσεως, ἀγάλματα ἐποίουν,
ἔγγιστα τείχους πόλεως· πρὸ τῶν πυλῶν δε πλέον·
διὸ καὶ κατωνόμαζον ἐκείνην πολιάδα·
ταυτὶ δ' ὑπῆρχε σύμβολα μονονουχὶ βοῶντα,
πρὸς τοὺς ἐκτὸς καὶ πόῤῥωθεν μάχας συνάπτειν δέον,
πρὸς τὴν ἐντὸς δὲ φρόνησιν ἀσκεῖν καὶ εὐβουλίαν·
» Κλῦθί μευ, Αἰγιόχοιο Διὸς τέκος, Ἀτρυτώνη·
τέκος νοὸς Διός ἐστιν ἡ φρόνησις Ἀθήνη·
ἡ Ἀτρυτώνη φρόνησις ὡς μὴ δαμαζομένη·
ὅθεν καὶ ἄφθορον αὐτὴν φασί τε καὶ παρθένον·
ὁ Ζεὺς δὲ νοῦς Αἰγίοχος, οὕτως ἐκλίθη πάλιν,
ὁ καταιγίσι λογισμῶν κλονῶν τοὺς ἐναντίους·
ἢ ὁ ἀκατανόητος καὶ συγκεκαλυμμένος,
ὥς περ ἐν καταιγίσι τὶς καὶ γνόφῳ καὶ θυέλλῃ.
ἡ Ἀθηνᾶ δ' οὐκ ἤκουσε κινδύνοις Ὀδυσσέως·
(ἐστὶ βουλὴ γὰρ ἄπρακτος πρὸς κλύμενον θαλάσσης.

» Ὣς ἔφατ' εὐχόμενος, τοῦ δ' ἔκλυε Παλλὰς Ἀθήνη·
» αὐτῷ δ' οὔπω φαίνετ' ἐναντίον· ἅζετο γάρ ῥα
» πατροκασίγνητον· ὁ δ' ἐπιζαφελῶς μενέαινεν·
» ἀντιθέῳ Ὀδυσσῆϊ πάρος ἣν γαῖαν ἱκέσθαι·
Τοῦ Ὀδυσσέως ἤκουσε φρόνησις εὐξαμένου,
οὔπω αὐτῷ ἐφάνη γὰρ μετὰ βραχὺν δὲ χρόνον,
οὔ τε τὸ φρόνημα αὐτοῦ τοῖς Φαίαξιν ἐδείκνυ·
οὕτω μὲν οὔπω φρόνησις τῷ Ὀδυσσεῖ ἐφάνη.
Ὅμηρος παίζων δὲ φησὶ σχῆμα τῇ μεταβάσει·
τὸν γὰρ αὐτῆς παράδελφον ᾐδεῖτο Ποσειδῶνα·
πῶς δ' Ὅμηρε ἡ θάλασσα Διὸς νοὸς συναίμων
οὗ περ νοὸς ἡ Ἀθηνᾶ καὶ φρόνησις θυγάτηρ;
οὕτω θυμὸς μὲν Ποσειδῶν Διὸς νοὸς συναίμων·
οὗτος δὲ παίζων τοὺς παχεῖς τοὺς μυθικῶς νοοῦντας,
ἐπεὶ καὶ Ζεὺς ὁ οὐρανὸς, καὶ Ζεὺς αὐτὸς τυγχάνει,
σχήματι μεταβάσεως ἀξιωτάτῳ λέγει·
ᾐδεῖτο γὰρ παράδελφον αὐτῆς τὸν Ποσειδῶνα,
ἢ τὸν θυμὸν πατράδελφον φρονήσεως νῦν λέγει,
θυμὸν τοῦ Ποσειδῶνας δε, τουτέστι τῆς θαλάσσης·
πρὸς γὰρ θαλάσσης τὸν θυμὸν καὶ φρόνησις ἡττᾶται·
τῷ Ὀδυσσεῖ ὠργίζετο οὗτος γὰρ καὶ μεγάλως
πρὶν ἢ ἐκεῖνον ἀπελθεῖν εἰς τὴν αὐτοῦ πατρίδα,
φθάσαντι πρὸς πατρίδα γαρ φόβος οὐκ ἦν θαλάσσης.

## ὙΠΟΘΕΣΙΣ ΤΗΣ Η. ΔΕ ὉΜΗΡΟΥ ῬΑΨΩΔΙΑΣ·

Ἡ Ναυσικάα πρὸς αὐτὴν τὴν πόλιν ἀφικνεῖται,
καὶ μετ' ὀλίγον Ὀδυσσεὺς Ἀρήτην ἱκετεύει·
ἐρωτησάσης δὲ αὐτῆς μετὰ τροφὴν καὶ δεῖπνον,

πόθεν αὐτὸς ὁ Ὀδυσσεὺς ἐσχήκει τὴν ἐσθῆτα,
ἄρχεται πᾶν κατὰ λεπτὸν ἐκείνη διηγεῖσθαι
ἀπὸ τῆς νήσου Καλυψοῦς μέχρι καὶ τῶν Φαιάκων·
τοῖς ἀθανάτοις ὅμοιοι, τοῖς ἄστρασιν εἰς κάλλος·
θεοῦ δ' ὡς δῆμος ἄκουε, τουτέστιν εἱμαρμένης·
ἤτοι καθὼς ὑπήκουσι πάντες τῇ εἱμαρμένῃ,
οὕτως ὑπεῖκον Φαίακες αὐτῷ τῷ Ἀλκινόῳ.
» Καὶ τότ' Ὀδυσσεὺς ὦρτο πόλινδ' ἴμεν, ἀμφὶ δ' Ἀθήνη
» πολλὴν ἠέρα χεῦε, φίλα φρονέουσ' Ὀδυσῆϊ
Ἐπ' εὐτυχίᾳ ὁ ἀὴρ τοῦ Ὀδυσσέως τότε
μεστὸς ὀμίχλης γεγονὼς εἶρξε χεᾶσθαι τοῦτον·
Ἀθήνη πάλιν φρόνησις παρθενικῇ ὁμοῖα,
νεάνις γὰρ ἡρμήνευσε πάντα τῷ Ὀδυσσῆϊ·
τὸν Ἀλκινόου οἶκόν τε, γυναῖκα, γένος τούτων·
οὐκ εἴα ἡ εὐπλόκαμος Ἀθήνη δὲ ἐκεῖνον·
ἀὴρ ὁ ἀερόστημος φάναι κατὰ Πισίδην,
ὀμίχλην καταχέσθαι Φαίαξι θεαθῆναι
θεὰ γλαυκῶπις ἦρχε δὲ πάλιν Ἀθήνη μύθων·
αὕτη δ' ἡ ἑρμηνεὺς αὐτοῦ νεάνις ἡ ῥηθεῖσα·
ὅσα δὲ νῦν τὸν Ὅμηρον πῶς ἐν φρενὶ πανσόφῳ
παίζων παραλογίζεται φωναῖς ταῖς ὁμωνύμοις,
τῇ μεταβάσει χρώμενος συχναῖς τῶν ὀνομάτων·
» Ναυσίθοον μὲν πρῶτα Ποσειδάων Ἐνοσίχθων
» γείνατο, καὶ Περίβοια, γυναικῶν εἶδος ἀρίστη·
Οὐκ Ἐνοσίχθων Ποσειδῶν ἐγέννησεν ἐκεῖνον,
ἄνθρωπος δέ τις Ποσειδῶν καλούμενος τὴν κλῆσιν·
Ὅμηρος μεταβάσει δὲ παίζει τῶν ὀνομάτων·
ὀξεῖς θανάτους ἔγνωκεν Ἀπόλλωνος τοξείας·
θεὸν ὥς εἰσορόωντες, ὁποίαν τὴν σελήνην·
εἴ τε καὶ ἕκαστος αὐτὴν ὡς σφὴν ψυχὴν προβλέπει·
ὡς καὶ αὐτὸς τοῖς ἔπεσιν οὕτω προερμηνεύει.

» Ὣς κείνη περὶ κῆρι τετίμηταί τε καὶ ἐστίν·
» ὣς ἄρα φωνείσασ' ἀπέβη γλαυκῶπις Ἀθήνη,
» δῦνε δ' Ἐρεχθῆος πυκινὸν δόμον· αὐτὰρ Ὀδυσσεύς.
Οὕτω τοὺς δύο στίχους μοι τοὺς μέσους ὀβελίσας,
νόθοι καὶ γάρ εἰσι, γράψον ὡς καὶ αὐτὸς νῦν γράφω·
ὁ νοῦς τῶν στίχων τῶνδ' ἐστὶν, ἀπέβη ἡ νεάνις,
πρὸς δὲ τὸν δόμον ἔδυνε πλασθέντος Ἐρεχθέως,
ναυπηγικοῦ τινὸς ἀνδρὸς κρατοῦντος ναυπηγίαις·
ἐρέχθω οἶδας τὸ ἠχῶ, καὶ κρότους ἀνεγείρω·
οὐκ Ἀττικοῖς ἐν δόμοις γαρ εἰς Ἐρεχθέως δῆμον·
μυθώδη δαίμονα τινὰ νῦν ἀπιέναι λέγει,
ἀλλ' ὥς περ εἶπον χρώμενος οὕτω τῇ μεταβάσει·
κύνες χρυσοῖ καὶ ἀργυροῖ φυλάσσοντες τὸ δῶμα,
καὶ κοῦροι δὲ οἱ χρύσεοι βαστάζοντες λαμπάδας,
ἀπὸ ἀργύρου καὶ χρυσοῦ κατασκευὰς τοιαύτας·
τῶν μὲν κυνῶν καὶ φυλακῆς δόκησιν ἐμποιούντων·
οἱ νέων ἀνδριάντες δε κερόπηγες τελοῦντες,
πᾶσι φῶς βλέπειν ἐν νυκτὶ παρεῖχον δαιτυμόσι·
διὰ τὸ μακροχόνιον καλεῖ δὲ ἀθανάτους·
» Τοῖα ῥ' ἐν Ἀλκινόοιο θεῶν ἔσαν ἀγλαὰ δῶρα.
Ἐκ τῶν στοιχείων γε αὐτῶν καί γε τῆς ἡμαρμένης·
στοιχείων εὐφορίαι τε ὁμοῦ καὶ ἀκαρπίαι·
ἐκ δ' εἱμαρμένες τὸ πλουτεῖν, καὶ τὸ κρατεῖν Φαιάκων·
ἀέρα χεῦεν Ἀθηνᾶ· νῦν ὁ ἀὴρ ὁμίχλην·
αὐτός τε συγκρυπτόμενος φρονήσει τῇ οἰκείᾳ·
Δία νῦν τερπικέραυνον τὴν εἱμαρμένην λέγει·
καὶ τὸ, θεοῖσι ῥέξομεν, στοιχείοις, εἱμαρμένῃ·
» Εἰ δέ τις ἀθανάτων τε κατ' οὐρανοῦ εἰλήλουθεν,
» ἀλλ' ὅτι δὲ τόδ' ἔπειτα θεοὶ περιμηχανόωνται·
» αἰεὶ γὰρ τὸ πάρος γε θεοὶ φαίνονται ἐναργεῖς·
Εἰ δέ τις ἀθανάτων γε, σοφῶν ἢ βασιλέων,

ἐξ ἐρανȣ̃ καὶ μοίρας δὲ φημὶ τῆς ἐρανίȣ,
ἢ ἀνακτόρων ὑψηλῶν μεταφορικοτέρως·
θεοὶ δὲ μηχανόωνται, πληροῖ ἡ εἱμαρμένη·
θεοὶ ὁρῶνται ἐναργεῖς, σοφοὶ καὶ βασιλέες·
ἔρχονται πόθῳ τȣ̃ ἰδεῖν χώραν τὴν ἡμετέραν·
δεινὴ θεὸς ἡ Καλυψώ· νῦν βασιλὶς μεγάλη·
θεȣ̀ς, ἀνθρώπους τὲ φησὶ σοφȣ̀ς καὶ ἰδιώτας·
ὁ Ζεὺς ἐκέασε τὴν ναῦν· σκηπτὸς καὶ εἱμαρμένη·
ἀθάνατον, ἀγήραον τοῖς ὄπισθεν ἐῤῥέθη·
Ζηνὸς ὑπ' ἐξ ἀγγελίȣ δε φρονίμων κινημάτων·
τὸ ȣ̃ρον δὲ προέηκεν, ἔπεμψε δέ με τότε,
ὁπόταν ἄνεμος φορὸς ἐμοὶ χρειώδης ἔπνει·
Ζεῦ πάτερ, Ἀθηναίη τὲ καὶ Ἄπολλον, ἐῤῥέθη·

## ΤΗΣ ΟΔΥΣΣΕΙΑΣ Θ. ΔΕ ὙΠΟΘΕΣΙΣ ΤΟΙΑΔΕ.

Δι' Ὀδυσσέα Φαίαξιν ἐστὶ νῦν ἐκκλησία,
καὶ νοῦς τις εὐτρεπίζεται πρὸς ἐκπομπὴν ἐκείνȣ·
παρ' Ἀλκινόȣ δ' ἄριστοι Φαιάκων ἑστιῶνται·
εἶτα καὶ ἀγωνίζονται καὶ Ὀδυσσεὺς σὺν τȣ́τοις·
ᾄδει δὲ ὁ Δημόδοκος· ἐπιβολῇ μὲν πρώτῃ
μοιχεῖαν τὴν τȣ̃ Ἄρεος ὡς πρὸς τὴν Ἀφροδίτην·
εἶτα τὴν Τροίας πόρθησιν ὑφ' ἵππȣ τȣ̃ δουρείȣ·
κλαίοντος Ὀδυσσέως δε, πυνθάνεται Ἀλκίνους,
τίς ὢν καὶ τίνος ἕνεκα τȣ́των ἀκούων κλάιει.
» Πλησίον, ἡ δ' ἀνὰ ἄστυ μετῴχετο Παλλὰς Ἀθήνη,
» εἰδομένη κήρυκι δαΐφρονος Ἀλκινόοιο,
» νόστον Ὀδυσσῆϊ ταλασίφρονι κυδιόωσα·
» καὶ ῥ' ἑκάστῳ φωτὶ παρισταμένη φάτο μῦθον.

Παλλὰς Ἀθήνη, φρόνησις τανῦν τοῦ Ὀδυσσέως·
εἴ τε καὶ ἡ τοῦ κήρυκος αὐτοῦ τοῦ Ἀλκινόου,
ἢ καὶ αὐτὸς ὢν φρόνιμος φρονίμως συνεκάλει·
δαΐφρων νῦν πολεμικὸς οὐκ ἔστιν ὁ Ἀλκίνους·
ὁ πάντα δὲ λεπτοτομῶν φρονήσει καὶ συνέσει·
τὸ δέμας ἀθανάτοισιν ὁμοῖος, βασιλεῦσι·
τίς Ἀθηνᾶ ἡ πάσσονα μακρότερον τιθεῖσα;
ἡ τοῦ ἐλαίου ἔγχρισις, καὶ τὸ λουτρὸν ἐκεῖνο·
ἢ καὶ ἡ φρόνισις αὐτοῦ· θαρσήσας γὰρ ἐκείνη,
μηκέτι δὲ στελλόμενος τῇ δέους ὑποψίᾳ,
μείζων τε καὶ παχύτερος αὐτὸς αὐτοῦ ἐφάνη·
θεὸς ὁ δοὺς τὴν ἀοιδήν· γνῶσις, ἡ εἱμαρμένη
θεῶν δαιτὶ θαλείῃ τε. γνώσει τῆς εἱμαρμένης,
ἢ ψυχικῶν δυνάμεων· τέρψεως, εὐφροσύνης·
Διὸς μεγάλου δὲ βουλὰς, τῆς εἱμαρμένης λέγει·
τὸ δὲ, θεὸς στέφει μορφὴν καὶ ὡς θεὸν ὁρῶσι,
γνῶσιν καὶ φρόνησιν δηλοῖ· τὰ δ' ἄλλα εἱμαρμένην·
τέρματα καὶ σημεῖα δὲ τὶς ἔθηκεν, Ἀθήνη,
ἡ Ὀδυσσέως φρόνησις, ἢ καὶ τινῶν Φαιάκων·
τοῦτον γὰρ θεραπεύοντες, ἢ καὶ ὀρθῶς φρονοῦντες,
ἔλεγον, ξεῖνε καὶ τυφλὸς τὸ σῆμα διακρίνει·
» Οἵ ῥα καὶ ἀθανάτοισιν ἐρίζεσκον περὶ τόξων.
Εὐστόχως κατετόξευον ἐπίσης τῷ ἡλίῳ·
ἀνεῖλε δὲ τὸν Εὔρυτον νόσημα τῶν ὀξέων·
ὅθεν φασὶν Ἀπόλλωνα τοῦτον ἀνῃρηκέναι,
ἅτε αὐτῷ ἐρίζοντα τοξεύμασιν εὐστόχοις·
οἷα δ' ὁ Ζεὺς ἔργα τιθεῖ, ἐστιν ἡ εἱμαρμένη.
» Ἀμφ' Ἄρεος φιλότητος ἐϋστεφάνου τ' Ἀφροδίτης·
» ὡς τὰ πρῶτα μίγησαν ἐν Ἡφαίστοιο δόμοισιν.
Ἐνταῦθα παίζων Ὅμηρος τὰ περὶ κόσμου γράφει,
κατὰ τὴν δόξαν τῶν σοφῶν τῶν παλαιῶν ἐκείνων·

ὅτι μετὰ διάρθρωσιν τῆς ὕλης ὡς πρὸς εἶδος,
καὶ τὴν ὑπόστασιν αὐτῆς πάσης τῆς κοσμουργίας,
πρὸ τοῦ τὸν ἥλιον λαβεῖν δρόμους εὐτάκτους σφαίρᾳ,
δεινὴ ζάλη καὶ σύγχυσις ὑπῆρχε τῶν στοιχείων·
ὁτὲ ὑπερνικῶντος μὲν ἀέρος τοῦ καθύγρου,
ὁτὲ εὐκρατοτέρου δὲ ἀέρος καὶ φιλίου,
ὃ Ἀφροδίτην ἔφασαν οἱ πάλαι μυθογράφοι,
καὶ τοῦ Ἡφαίστου καὶ θερμοῦ σύζυγον πεφυκέναι·
οὕτω πῶς μετετρέπετο ἡ φύσις τοῦ ἀέρος,
ποτὲ δὲ φλεκτικώτερον τὸ πῦρ ἐξαναθρῶσκον,
τὴν εὐκρασίαν ἔφθειρε τὴν σύζυγον Ἡφαίστου·
ἡλίου θέρμη δ' ἄκρατος ἔσχεν ὁρμὰς ἀτάκτους,
ἀφ' οὗ τὸν σφαίρας εὔτακτον δρόμον ἐτάχθη τρέχειν·
Ἥφαιστον ὅθεν λέγουσι τὸν Ἄρεα δεσμῆσαι·
ταῦτα δὲ ἠλληγόρησα πρὶν ἰαμβείῳ μέτρῳ,
καὶ νῦν συνεπειγμένως δὲ πάντα τὸν νοῦν εἰρήκειν,
ὡς πρὸ τοῦ ἥλιον λαβεῖν εὔτακτον σφαίρας δρόμον,
ἀτάκτως ἐκεκίνητο τὰ σύμπαντα στοιχεῖα·
τὴν εὐκρασίαν φθείροντα τὸ πῦρ δὲ πάντων πλέον·
ἡλίου δρόμον δὲ τακτὸν σχόντος περὶ τὴν σφαῖραν,
ὥς περ δεσμῷ κατέχοντα ταῦτα πρὸς εὐκρασίαν·
τῷ ἀνασπᾷν ὑγρότητα τὸ φλέγον κεραννύντος,
τῷ δὲ θερμῷ καθαίροντος τὸν κάθυγρον ἀέρα·
αὕτη ἐστὶν ἡ σύμπασα νῦν ἔννοια τοῦ λόγου·
νῦν δὲ καὶ κατατμήμασι τισὶ λεπτολογήσω,
τίς Ἀφροδίτη τε ἐστὶ, καὶ πῶς Διὸς θυγάτηρ,
καὶ πῶς Ἡφαίστου σύνευνος· τίς δ' Ἥφαιστος τυγχάνει,
πῶς Ἄρης ταύτης τε μοιχός· καὶ τίς ἐστὶν ὁ Ἄρης·
τό τε ἡλίου μήνυμα, καὶ οἱ δεσμοὶ δὲ τίνες,
καὶ τὰ λοιπὰ δὲ σύμπαντα, καὶ δὴ λοιπὸν ἀρκτέον.

Ὕλη πρὶν ἦν ἀκίνητος. τὸ ἔρεβος καὶ χάος·

Ζεὺς δὲ ἀήρ τις κινηθεὶς πνεῦμα τῆς εἰδουργίας,
καὶ σὺν αὐτῷ λεπτότερον ὅπερ ἐστὶν ἡ Ἥρα,
διεῖλον γῆν καὶ θάλασσαν καὶ πρόσγειον ἀέρα·
ὅς περ ἐστὶν ἡ Ἀθηνᾶ· εἶτα τῇ συγκινήσει
ἐς πλέον ἐκαθαίροντο· καὶ διηρθροῦντο πλέον·
τοῦτο ἡ Ἀφροδίτη δὲ ἐστὶν ἡ εὐθεσία·
καὶ πῦρ χωλὸν καὶ ἀτελὲς ῥαγὲν τῇ συγκινήσει,
τῇ εὐθεσίᾳ τε μιγὲν, ἐς πλέον ἤρθρου ταῦτα,
ὅ περ ἐστὶν ὁ Ἥφαιστος σύζυγος Ἀφροδίτης·
πῦρ δὲ σκιρτῆσαν ἄτακτον, ἔφθειρε ταῦτα πάλιν·
ὅ περ ὁ Ἄρης ὁ μοιχὸς ἐστὶ τῆς Ἀφροδίτης·
ἡλίου μήνυμα ἐστὶ τῆς Ἄρεος μοιχείας,
ἡ τῆς θαλάσσης ἄνοδος καὶ τοῦ ἡμισφαιρίου,
καὶ φαῦσις τῶν ἀκτίνων δε παρὰ τὸ ἄνω μέρος·
οὕτω γὰρ ἀνερχόμεναι αὗται συγκεκραμέναι,
ὡς τὸ φλογῶδες ὕδασιν αὐτῶν συγκεραννῦσαι·
τῷ δὲ θερμῷ καθαίρουσαι τὸ κάθυργον ἀέρος
ἔδειξον νόθον καὶ μοιχὸν ὄντως τὸ πῦρ ἐκεῖνο·
δεσμοὶ δ' Ἡφαίστου ἄλυτοι, δρόμος ὁ περὶ σφαίρας·
ἀτάκτως ἄνω, κάτω τε πάντα χωρῶν εἰς χρόνον·
Ἥφαιστος δὲ καὶ ἥλιος ἓν κατ' αὐτὸ τυγχάνον·
ὡς μὲν ἰὼν ἐκ τῆς ἁλὸς, καὶ δῆλος ὑπηρμένος,
ἥλιος κλῆσιν ἔσχηκεν. Ἥφαιστος δὲ καλεῖται,
ὡς ὢν θερμὸς πυρώδης τε καὶ ταῖς ἁφαῖς δὲ τόσαις,
εἴ τε καὶ ὡς ἀνάψεων αἴτιος ὢν πυρφόρων·
Ἡφαίστῳ δόμος δέ ἐστι τόπος ὁ πρὸς αἰθέρα·
λέχος Ἡφαίστου καὶ ἀήρ. τὸ εὔκρατον τυγχάνει·
ὁ χαλκεὼν Ἡφαίστου δε σφοδρότερον γενέσθαι
ἀκμῶν, ἡ σφαῖρα δέ ἐστιν· ὁ δέ γε ἀκμοθέτης
ἐνθέρμου δύναμις τινὸς πνεύματος ἐγκειμένου·
ὑφ' οὗ ὁ ἄκμων οὐρανὸς παντὶ κινεῖται χρόνῳ·

δεσμοὶ δὲ ἄῤῥηκτοι εἰσὶν, ὥς περ καὶ πρὶν εἰρήκειν.
ἡ τοῦ ἡλίου εὔτακτος κίνησις περὶ σφαῖραν·
τὰ πρὸς αἰθέραν θάλαμος καὶ κοίτη τοῦ Ἡφαίστου,
ἑρμῖνες καὶ κλινόποδες, τὸ κάτω μέρος σφαίρας,
τὸ δ' ἄνω ἡμισφαίριον τὸ μέλαθρον ὑπάρχει·
τὸ, ὡς ἀράχνα δὲ λεπτὰ, ἃ δ' οὐ θεός τις ἴδοι,
τὴν συγκινοῦσαν εἰσαεὶ δύναμιν σφαίρας λέγει,
ἀῤῥηκτον οὖσαν καὶ λεπτὴν, καὶ ὑπὲρ νοῦν ἀνθρώπων.
μετὰ δεσμῶν δὲ συσκευὴν τὶς ἡ ὀργὴ πρὸς Λῆμνον,
μετὰ πυρὸς τὴν δύναμιν τὴν ἄῤῥητον ἐκείνην,
τὴν τέχνην λεπτουργήσασαν πᾶσαν ἁπλῶς τὴν σφαῖραν·
εἰς Λῆμνον, κόσμον ἤρξατο θέρμη χωρεῖν ἡλίου·
εὐκράτῳ θέρμῃ γὰρ τὸ πῦρ τὸ ἄτακτον ἐκεῖνο,
ὃ μοιχικῶς ἐμίγνυτο τῇ νέᾳ διαρθρώσει,
τῇ γινομένῃ ἐκ Διὸς πνεύματος εἰδουργίας,
ἐδέθη καὶ κεκράτηται τῇ συστροφῇ τῆς σφαίρας,
εὐκρατωθὲν καὶ εὐκρατοῦν ὑδάτων ἀνιμήσει·
Λῆμνον, μοιχείας, καὶ δεσμοὺς ἔχεις λεπτῶς ῥηθέντας·
ἡ αὖθις τοῦ Ἡφαίστου δὲ ὑποστροφὴ ἐκ Λήμνου,
τῆς σφαίρας ἡ ἀνάλευσις ἡ ἐκ τοῦ ὑπορείου,
σὺν ᾗ θερμότης ἄνεισιν ἡλιακαῖς ἀκτῖσι·
τὴν περὶ πρόθυρα βοὴν νῦν τοῦ Ἡφαίστου μάθε·
ἡ τοῦ ἡλίου πρώτη μὲν ἀνέλευσις σὺν σφαίρᾳ,
τὰ πρόθυρα τυγχάνουσιν, ἅ περ ἐνθάδε λέγει·
ἡ εὔτακτος δὲ κίνησις βοὴ ἡ σμερδαλέα·
ἡ εὔτακτος πορεία γὰρ ἡλίου βοᾷ μέγα·
ἤτοι δεικνύει προφανῶς τῇ τεταγμένῃ βάσει,
ὅτι τὸ πῦρ τὸ μοιχικὸν ἐκεῖνο κατεχέθη·
χωλὸν τὸ πῦρ ἡλίου δὲ, ὁ Ἥφαιστος τυγχάνει,
ὅτι λοξὴν ὁ ἥλιος ποιεῖται τὴν πορείαν,
καὶ βραδυτέραν δὲ πολὺ πυρὸς τοῦ κεραυνείου,

καὶ ἀερίου δὲ παντὸς πυρὸς ἀτακτοτέρου.
ἃ Ἄρης κατωνόμασται τοῖς πάλαι μυθογράφοις·
ἠπεδανὸς, ὁ ἀσθενὴς καὶ ὁ χωλὸς τυγχάνει·
πῶς δὲ χωλὸς ὁ Ἥφαιστος εἰρήκαμεν τυγχάνει·
Ἡφαίστȣ λόγοι δὲ λοιπὸν νῦν προσωποποιΐα·
τὴν τῶν θεῶν συνέλευσιν εἰς ȣ̓ρανὸν νῦν μάθε·
τȣ̃ Ποσειδῶνος, τȣ̃ Ἑρμȣ̃, Ἀπόλλωνος σὺν τȣ́τοις
καὶ τὴν αἰδῶ τῶν θεαινῶν μέχρι τȣ̃ τέλους πάντα·
μετὰ τὸ σφαῖραν εὔτακτον δρόμον λαβεῖν ὡς ἔφην,
ὅ περ βοὴν ἐκάλεσεν ὁ ποιητὴς Ἡφαίστȣ,
τρανῶς δοκοῦσαν ὡς τὸ πῦρ τὸ μοιχικὸν ἐδέθη,
ἦλθον θεοὶ ὁ Ποσειδῶν, Ἑρμῆς καὶ ὁ Ἀπόλλων,
τουτέστι κατηυκράτωται τὸ πᾶν καὶ ηὐθετήθη·
ἀνασπωμένων κάτωθεν κερατικῶν ἰκμάδων·
Ἑρμȣ̃ πυρφορημάτων τε καθαρτικῶν ἀττόντων·
ἃ πνεύματι γινόμενα καθαίρει τὸν ἀέρα·
Ἀπόλλων τε καὶ ἥλιος λαμπρότερος ἐφάνη,
ὅ περ λαμπρὸν καὶ γένος νῦν λαμπρότερον στοιχεῖον·
αἱ δι᾽ αἰδῶ δὲ θήλιαι θεαὶ τοῖς οἴκοις οὖσαι,
ὕδωρ τὸ γεωδέστερον τὸ κάθυγρον ἀέρος,
τὰ τȣ́των ἀνυμήθη γὰρ λεπτότερα τοῖς ἄνω·
καὶ εὐκρασίας αἴτια γογόνασιν, ὡς ἔφην·
ταῦτα δὲ ὡς βαρύτερα τοῖς κάτωθεν ἐλείφθει·
τῷ πλάσματι δ᾽ ὁ Ὅμηρος προσφυεστάτως λέγει
θηλείας ταύτας σοι θεὰς, ἤτοι ἀσθενεστέρας,
καὶ ὑπ᾽ αἰδȣ̃ς μὴ ἀνελθεῖν τοῖς οἴκοις δὲ λειφθῆναι.
ὁ πρὸς Ἑρμῆν δ᾽ Ἀπόλλωνος δὶ Ἀφροδίτην λόγος,
κἀκείνȣ συγκατάνευσις ἐκείνῃ συγκαθεύδειν,
ἔν γε δεσμοῖς τριστοσαπλοῖς πάντας θεοὺς δὲ βλέπειν,
σαφὲς καὶ προφανές ἐστιν, ὡς δὲ μετ᾽ ἀκρασίαν
καὶ δέσιν τὴν πρὶν ἄτακτον πυρὸς περὶ τὴν σφαῖραν,

νῦν δ' εὔκρατον καὶ εὔτακτον ἡλιακὴν λαμπάδα,
καὶ ἁρμογὴν τοῦ σύμπαντος τόσην ἠκριβωμένην,
Ἑρμαϊκὰ διάττουσιν ὁμῶς καὶ πάλιν σέλας·
καὶ εὐκρασίας αἴτια μᾶλλον εἰσὶν ἐκεῖνα·
πνεύμασι μὲν κινούμενα, καὶ πνεύματα δηλοῦντα,
καὶ κάθαρσιν ἀέρος δὲ, τυγχάνει γὰρ ἐκεῖνα
τὸ πῦρ ὑγρομενέστερον περίττωμα ἀέρος·
ἡ Ποσειδῶνος αἴτησις λυθῆναι δὲ τὸν Ἄρην,
ἡ λύσις τε καὶ ἄφιξις ἐκείνου πρὸς τὴν Θρᾴκην,
τῆς δ' Ἀφροδίτης ἄφιξις πρὸς Κύπρον τὲ καὶ Πάφον,
καὶ τὰ λουτρὰ Χαρίτων δὲ καὶ ἔνδυσις εἱμάτων,
ἔχουσιν ἀλληγόρημα, ὅ περ τανῦν μοι μάθε.
Ἀτάκτως πρὶν ἐφέρετο τὸ πῦρ ὡς ἠκηκόεις,
μετὰ δὲ σφαίρας κίνησιν τὴν ἄτακτον οὐκέτι,
ἀλλ' ἦν κρατοῦν καὶ εὐτακτοῦν τῇ θέσει τῇ τῆς σφαίρας,
ἀνιμωμένων καὶ ὑγρῶν νεφῶν πεπαχυμένων.
καὶ ῥηγνυμέων τῶν νεφῶν. βροντὰς ἀποτελούντων,
πῦρ κεραυνῶν ἐφέρετο θρασέως ἀναθρῶσκον,
καὶ ὄμβροι ῥέειν ἤρξαντο τὴν γῆν ἐγκυμονοῦντες·
ὃ λύσις ἐστὶν Ἄρεος καὶ ἔλευσις εἰς Θρᾴκην,
καὶ Ἀφροδίτης ἄφιξις εἰς Κύπρον τὲ καὶ Πάφον,
λουτρά τε Χαριτήσια, καὶ ἐσθημάτων κόσμος·
οἷον ἵνα σαφέστερον ἐρῶ σοι πάλιν τοῦτο,
μετὰ τὴν σφαίρας κίνησιν, καὶ κεραυνοὶ καὶ ὄμβροι,
καὶ τῶν καιρῶν διαίρεσις ἐφάνη σαφεστέρα
χειμῶνος τὲ καὶ ἔαρος, θέρους καὶ μετοπώρου·
καὶ τῷ ὑγρῷ μὲν λύεται πάλιν τὸ πῦρ χειμῶνι,
πῦρ κεραυνῶν καὶ Ἄρεος ταχέως ἀναθρῶσκον,
τῇ εὐκρασίᾳ πάσῃ δὲ τὸ κύειν ἐπορίσθη,
καὶ πάντα φύειν ἤρξατο καὶ χάρισι κοσμεῖσθαι.
Ἔχεις τὸ ἀλληγόρημα πᾶν λεπτολογηθέν σοι·

θεοὶ δὲ νῦν παράσχοιεν, ἐστὶν ἡ εἱμαρμένη·
Διῒ καὶ ἄλλοισι θεοῖς, τῷ ȣρανῷ, ἡλίῳ,
καὶ τοῖς λοιποῖς ϛοιχείοις δε, αὐτῇ τῇ εἱμαρμένῃ·
θεῶν δὲ κάλλος ἔχουσα, σημαίνει τῶν ἀϛέρων·
Ζεὺς ὁ ἐρίγδουπος, ἀὴρ ῥάδιον θείη πλοῦν μοι.
ὥσπερ θεῷ, ϛοιχείῳ νῦν, ἡλίῳ, καὶ σελήνῃ·
Διὸς θυγάτηρ, νῦν νοός· ὁ ἥλιος, Ἀπόλλων·
θεὸς παρέσχε σοι ᾠδήν· νȣς ἡ εἱμαρμένη·
θεῷ. τῷ νῷ καὶ λογισμῷ κεκινημένος ᾖδε·
τὸν ἵππον ἄγαλμα θεῶν, ἡλίου καὶ ϛοιχείων,
ἤτοι ἵνα μνημόσυνον αἰώνιον ὑπάρχῃ,
ἡλίου καθορώμενον κύκλοις μακροῖς καὶ χρόνοις·
Ἀθήνην νῦν μεγάθυμον, τὴν φρόνησιν εἰρήκειν·
τὸ ἀοιδὸν, τὸν θεῖον δὲ, σοφὸν νοεῖν σε δέον,
φρένας τὰς νῆας εἴρηκε τὰς τῶν Φαιάκων ἔχειν,
ἐν ναυτικῇ τοὺς Φαίακας ὑπερβολαῖς ἐξαίρων·
τὸν Ποσειδῶ, τὴν θάλασσαν φθονῆσαι τȣ́τοις λέγων,
τῷ ἄριϛα ναυτίλλεσθαι ὑπερβολαῖς ὁμοίως·
τὸ δὲ προεῖδε μὲν χρησμοῖς νῆα ῥαισθῆναι τȣ́των,
τῶν ἀπεικότων οὐδαμῶς, οὐ δὲ τῇ φύσει ξένον·
θεὸς δ' εἴκε τελέσειεν, ἐϛὶν ἡ εἱμαρμένη·
θεοειδὴς, ὁ νȣ̃ς ἐϛιν ὁ δίκαιος ἐνθάδε·
θεοὶ, ἡ εἱμαρμένη δε, οἱ τάξαντες ὀλέθρους.

## ΑΥ̓ΤΗ Ἡ ὙΠΟΘΕΣΙΣ ΤΗΣ Ι. ὈΔΥΣΣΕἸΑΣ

Ὁ Ὀδυσσεὺς ἀπάρχεται νῦν σφῶν διηγημάτων,
πῶς πρῶτα μὲν τοῖς Κίκοσι πόλεμον συνταράττει·
εἶτα δ' ἀνέμοις ἐξωσθεὶς, ἦλθεν εἰς Λωτοφάγους·

μετέπειτα πρὸς Κύκλωπα Πολύφημον τῇ κλήσει·
τὸν ὃν καὶ ἀπετύφλωσεν ἀντάποινα τῶν φίλων·
ἐκ τέτων γὰρ ἓξ βέβρωκε δώδεκα συνελθόντων·
θεοῖς ἀλίγκιος αὐδὴ ὁ ἀοιδὸς τυγχάνει,
τοιάδε ᾄδει εὔφθογγα ὡς μουσικὴ ἀςέρων·
θεοὺς νῦν ἐρανίωνας τὴν εἱμαρμένην λέγει·
θεάνων, βασιλίδων καὶ ἀρχουσῶν γυναίων·
» Ὅν μοι Ζεὺς προέηκεν ἀπὸ Τροίηφιν ἰόντι.
Ζεὺς καὶ ἡ εἱμαρμένη νῦν· ὁ δὲ ἀὴρ ἐς πλέον·
φησὶ γὰρ Ἰλιόθε με ὁ ἄνεμος ἐφόρει·
Διὸς αἶσα, κατάλληλον ἐςὶν ἡ εἱμαρμένη·
ἄνεμος νῦν ἐκ τῦ Διὸς ἐφώρμησεν, ἀέρος.
» Τῶν δ' ὅςτις λωτοῖο φάγοι μελιηδέα καρπὸν,
» ἐκ ἔτ' ἀπαγγέλλειν πάλιν ἤθελεν, ἐδὲ νέεσθαι.
Λωτὸν καὶ τὴν ἀγρίαν δὲ καλῦσιν τὴν βοτάνην,
καὶ δένδρον τὶ καθέςηκε Γαδείροις καὶ Αἰγύπτῳ,
φέρον καρπὸν ὡς κύαμον, ἐξ οὗ ποιῦσιν ἄρτους·
τινὲς λωτὸν δὲ λέγουσι τὶ καλαμῶδες Νείλῳ·
οὐδεὶς λωτὸς δὲ δύναμιν θέλγειν ἀνθρώπυς ἔχει,
ὡς γευσαμένους μὴ ποθεῖν τὴν ἑαυτῶν πατρίδα,
ἔποικος εἶναι θέλειν δὲ γῆς τῆς λωτοφορύσης·
δεκαετῶς ἐκεῖνοι δε πόσα παθόντες Τροίᾳ
καὶ μετὰ τὸν ἀπόπλουν δε κύμασιν ἐξωσθέντες
εἰς μακρὰν γῆν ἀλλοδαπὴν πόῤῥω τῆς σφῶν πατρίδος,
καὶ νῦν προμαντευόμενοι τὰ δυσχερῆ θαλάσσης,
ἰδόντες τὸ φιλόξενον ἀνδρῶν τῶν Λωτοφάγων,
καὶ γῆν ἐκείνων ἀγαθὴν, ἤθελον συνοικῆσαι·
ὁ Ὅμηρος δ' ὁ πάνσοφος ἡ θάλασσα τῶν λόγων,
μεταρσιεῖ τὰ εὐτελῆ, τὰ δ' ὑψηλὰ κατάγει,
ἐν τοῖς ἀλληγορήμασι δεινὸς ὢν λογογράφος,
καὶ μυθικῷ τῷ νέκταρι πάντα καταγλυκάζει.

» Κυκλώπων δ' ἐς γαῖαν ὑπερφιάλων, ἀθεμίςων,
» ἱκόμεθ', οἵ ῥα θεοῖσι πεποιθότες ἀθανάτοισιν,
» οὔτε φυτεύουσιν χερσὶ φυτὸν, οὔτ' ἀρόωσιν·
» ἀλλὰ τά γ' ἄσπαρτα καὶ ἀνήροτα πάντα φύονται.
Θεοὺς, τὴν εὐκρασίαν δε τὴν τῶν ςοιχείων λέγει·
Διὸς ὄμβρος ἀέξει δε, τȣ̃ ἐρανȣ̃ μοι νόει·
θεός τις ἡγεμόνευε, τȣτέςιν εὐτυχία·
» Ὦρσαν δὲ Νύμφαι κȣ̃ραι Διὸς Αἰγιόχοιο,
» αἶγας ὀρεσκῴους· ἵνα δειπνήσειαν ἑταῖροι.
Ἐκ τῶν Νυμφῶν τῶν τόπων δε νῦν τῶν συνδένδρων λέγει,
αἱ θυγατέρες τȣ̃ Διὸς καὶ ἐρανȣ̃ τελοῦσιν·
ἀνέμων καταιγίσι τε τρεφόμεναι καὶ ὄμβροις,
ὥρμησαν καὶ ἐξέδραμον αἶγες ἐκ τῶν ἀγρίων·
θεὸς ἔδωκε θήρην δε· φρόνησις, εὐτυχία·
νοῦς θεουδὴς, ὁ δίκαιος, ὥς περ καὶ πρώην ἔφην·
Ἀπόλλων μὲν, ὁ ἥλιος· ἀκήρατος δὲ οἶνος,
ὁ κάλλιςος καὶ γέρων δε καὶ μὴ φθαρεὶς τῷ χρόνῳ.
» Αὐτὰρ ἔπειτ' ἐπέθηκε θυρεὸν μέγαν ὑψόσ' ἀείρας,
» ὄβριμον· ȣ̓κ ἂν τόν γε δύω καὶ εἴκοσ' ἅμαξαι.
Τȣ̀ς πυλαιῶνας ἔκλεισαν ἐκείνου τȣ̃ πυλίȣ,
οὓς πόσαι ἀνασπάσειαν ἅμαξαι κεκλεισμένους·
ἄρτι Ζεὺς ἤθελεν αὐτὸς καὶ οἱ λοιποὶ θεοί δε·
ἀὴρ ἀνέμων συςροφαῖς συνὼν, ἡ εἱμαρμένη·
αἰδεῖο φέριςε θεούς· τὰς παρακλήσεις λέγει·
ψυχῆς δὲ πάθος, ἔλεος εἰσὶ καὶ παρακλήσεις·
Ζεὺς ὁ ἐπιτιμήτωρ δε τῶν ξένων, εἱμαρμένη·
» Ὅς κε θεοὺς κέλεαι, ἢ δειδίμεν ἢ ἀλέασθαι·
» οὐ γὰρ Κύκλωπες Διὸς Αἰγιόχου ἀλέγουσιν·
» οὐδὲ θεῶν μακάρων· ἐπεὶ δὴ πολὺ φέρτεροί εἰμεν·
» οὐδ' ἂν ἐγὼ Διὸς ἄχθος ἀλευάμενος πεφιδοίμην,
» οὔτε σεῦ, οὐθ' ἑτάρων, εἰ μὴ θυμός με κελεύει.

Ἢ τῶν ἀφρόνων πέφυκας, ἢ ξένος τῶν ἐνθάδε,
ὅς τις αἰδεῖσθαι μὲ θεοὺς καὶ παρακλήσεις λέγεις·
μὴ ξενωθεὶς κατασχεθῶ τοιάδε εἱμαρμένῃ·
Κύκλωπες οὐκ ἐκπλέουσι τῆς ἑαυτῶν πατρίδος,
ὅθεν ὑπέρτεροι ἐσμὲν τοιᾶσδε εἱμαρμένης·
καὶ φόβου δὲ ξενώσεως καὶ τῶν λιπαρημάτων,
οὐδὲ ἐγὼ οἰκτειρῶ φόβῳ τοιᾶσδε τύχης,
οὐ σοὺς ἑτάρους, οὐδὲ σέ, εἰ μὴ αὐτὸς θελήσω·
» Τοὺς δὲ διαμελεϊϛὶ ταμὼν ὡπλίσσατο δόρπον.
Τῶν φίλων τὴν ἀναίρεσιν κατάβρωσιν νῦν λέγει·
Κύκλωψ γὰρ Δευκαλίωνα τῆς κόμης ἀναρπάσας,
θατέρας διηντέρευε κάτω βαλὼν τὸ ξίφος·
Διὶ χεῖρας ἀνέσχομεν, τῷ οὐρανίῳ ὕψει·
ἄχος Ἀθήνη δοίη μου, φρόνησις ἡ οἰκεία·
ἢ καὶ θεὸς ἐκάλεσεν, αὐτὴ ἡ εἱμαρμένη·
Διὸς ὄμβρȣς ἀέξει δε, τȣ̃ ȣ̓ρανȣ̃ νῦν λέγει·
» Νοῦσον δ' οὔπως ἐϛὶ Διὸς μεγάλȣ ἀλέασθαι.
Νόσον, τὴν εἱμαρμένην, δε ἀποφυγεῖν ȣ̓κ ἔϛιν·
ὑπέρτεροι ὑπῆρχον δὲ Κύκλωπες, εἱμαρμένης,
ἀποδημίας, φόβου τε καὶ τῶν λιπαρημάτων·
τῆς εἱμαρμένης νόσȣ τε θανάτου καὶ τοιούτων,
Τζέτζης φησὶν ὑπέρτεροι συνόλως ȣ̓χ' ὑπῆρχον.
» Ἀλλὰ σύγ' εὔχεο πατρὶ Ποσειδάωνι ἄνακτι.
Φέρε δὴ ταύτην καρτερῶς γενναῖος, ὑπηργμένος·
ὁποῖα παῖς θαλάσσης τε· εἴτε πετρῶν ἀγρίων·
ὁ Ζεὺς καὶ ἄλλοι τε θεοί, οἱ πλάνητες ἀϛέρες·
ἤτοι ἡ εἱμαρμένη γε ἐτίσατο ἀξίως.
» Πομπὴν δ' ὀτρύνω δόμεναι κλυτὸν Ἐννοσίγαιον·
» τȣ̃ γὰρ ἐγὼ παῖς εἰμί, πατὴρ δ' ἐμοὶ εὔχεται εἶναι.
Ἤτοι καὶ εἴπωσοι καιρὸν ὅτε σοι πλεῦσαι δέον·
οἶδα τὰ τῆς θαλάσσης γὰρ τῆς τῇδε σαφεϛάτως·

ὡς γεννηθεὶς καὶ ἐντραφεὶς ἐν μέρεσι γῆς τῆσδε·
» Αὐτὸς δ' αἴκ' ἐθέλῃς ἰήσεται οὐδέ τις ἄλλος.
Ἰάσεταί τὸ θλίβον με ὁ πλοῦς ὁ τῆς θαλάσσης·
κατασχεθεὶς ἐνταῦθα γὰρ τὸν ὀφθαλμόν μου δότε,
τὴν θυγατέρα τὴν ἐμὴν τὴν Ἔλπην καλουμένην·
θάλασσα γὰρ καὶ Ποσειδῶν οὐκ ὀφθαλμοὺς ἰᾶται·
» Οὔτε θεῶν μακάρων οὔτε θνητῶν ἀνθρώπων.
Οὐ βασιλεὺς, οὐδὲ σοφός· οὔτε τῆς κάτω τύχης.
Πῶς τοῦτο φὴς ὦ Ὅμηρε; καὶ μὴν ὁ Ἀντιφάτης
ὁ Λαιστρυγὼν ὁ ἀδελφὸς Κύκλωπος Πολυφήμου,
τὰς Ὀδυσσέως ἕνδεκα κατέαξεν ὁλκάδας,
τὴν Ἔλπην πάλιν δὲ λαβὼν δέδωκε Πολυφήμῳ,
κἂν περ σὺ τοῦτο σιωπᾷς θέλων γλυκάζειν μύθοις·
ἀλλ' εἰ καὶ δέδρακεν αὐτὸ τοῦτο ὁ Ἀντιφάτης
τῇ δυσχαιρείᾳ φαίης μοι θαλάσσης ἐδεδράκει·
εὔχετο δὲ τῷ ἄνακτι Κύκλωψ τῷ Ποσειδῶνι·
ἤτοι δυσχέρειαν πλοὸς ἐπηύχετο γενέσθαι·
» Ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε κυανοχαίτης.
Οὕτω συνέβη Ὀδυσσεῖ περὶ τὸν πλοῦν γενέσθαι·
εἰς μέρος ἕτερον ἐλθὼν καὶ γὰρ τῆς Σικελίας,
ὡς εἶπον, πρὶν ἀπώλεσεν ὁλκάδας Ἀντιφάτης·
Ζηνὶ κελαινεφέϊ δε, τανῦν τῇ εἱμαρμένῃ·
λοιπόν μοι τὸ τοῦ Κύκλωπος πᾶν ἀλληγορητέον·
ὁ Κύκλωψ ὁ μονόφθαλμος οὐδὲ ἀνθρώπους ἦλεν,
οἱ Ἰσσηδοὶ μονόφθαλμοι ὡς Ἀριστέας γράφει·
» Ἰσσηδοὶ χαίτῃσιν ἀγαλλόμενοι ταναοῖσι,
» καί σφας ἀνθρώπους εἶναι καθύπερθεν ὁμούρους
» πρὸς Βορέω πολλοὺς τε καὶ ἐσθλοὺς κάρτα μαχητάς·
» ἀφνειοὺς ἵπποισι πολύῤῥηνας πολυβούτους·
» ὀφθαλμὸν δ' ἓν ἕκαστος ἔχει χαρίεντι μετώπῳ·
» χαίτῃσι λασίῃσι πάντων στιβαρώτεροι ἀνδρῶν.

Οἱ Ἰσσηδοὶ μονόφθαλμοι οὐ τὰ Κυκλώπων γένη·
ὅπως δ' ὁ Κύκλωψ λέγεται μονόφθαλμος ὑπάρχειν,
καὶ πῶς δαλῷ τετύφλωται, μάνθανε σαφεστάτως·
οἱ Σικελοὶ οἱ Κύκλωπες πλὴν ὀλιγανθρωποῦντες
ὑπάρχοντες καὶ ἄπειροι τοῦ ναυπηγεῖν ὁλκάδας,
τοὺς ξένους τοὺς καταίροντας πτοούμενοι ἀνῄρουν,
μήπως αὐτῶν κρατήσωσι τῆς χώρας ἐπελθόντες·
οὕτω καὶ Ὀδυσσέα δὲ σὺν δώδεκα τῶν φίλων,
κατάραντα κατέσχηκε Πολύφημος ὁ Κύκλωψ,
καθεῖρξε καὶ ἀνεῖλε δὲ καὶ ἓξ ἐκ τῶν ἑταίρων·
Ἄντιφον, Εὐρυλέοντα, Ἀφήδαντα, Κηφέα,
Στράτιόν τε καὶ Μένετον· καὶ τούτους μὲν ἀνεῖλεν·
οἱ ἓξ περιλειφθέντες δὲ μόνοι μετ' Ὀδυσσέως,
Λυκάων καὶ Ἀμφίαλος, Ἄλκιμος, Ἀμφιδάμας.
Ἀντίλοχος, Εὐρύλοχος βουλαῖς τῶν εὐσυνέτων
ἢ οἴνῳ, ἢ καὶ χρήμασι μεθύσαντες ἐκεῖνον
τὴν θυγατέρα Κύκλωπος τὴν Ἔλπην καλουμένην,
ὄμμα τελοῦσαν τῷ πατρὶ τινὸς αὐτῶν ἐρῶσαν,
οἴξασαν τούτοις τὴν εἱρκτὴν ἀπέπλεον λαβόντες,
κἀκτῶν ποιμνίων δὲ πολλὰ καὶ ἕτερα τῶν τούτου·
ἦν δὲ νυκτὸς καιρὸς αὐτοῖς φυγῆς καὶ τοῦ ἀπόπλου
ὁ κύκλος ὄχλος σύμπας δὲ δραμὼν ἀκρωτηρίοις
πολλοὺς ἁμαξιαίους μεν κάτω κλινοῦντες λίθους,
πολλὴν δὲ λίθων χάλαζαν ἐκπέμποντες σφενδόναις·
εἰ μὴ ἡ νὺξ ἐμπόδιος ὁράσεως ὑπῆρχεν,
εἴ τ' αὖ κατέκλυσαν αὐτοὺς ὑπερβριθέσι λίθοις,
εἴ τε καὶ συνκατήῤῥαξαν αὐτοὺς καὶ τὴν ὁλκάδα.
τοῖς ῥιπτομένοις λίθοις δὲ καὶ τοῖς σφενδονουμένοις,
καὶ ὕστερον τὰς ἕνδεκα συνέτριψαν ὁλκάδας·
οἱ Λαιστρυγόνες βάλλοντες ἐκ τῶν ἀκρωτηρίων,
μετὰ μιᾶς ὁλκάδος δὲ ὁ Ὀδυσσεὺς ἀπέδρα·

οὕτω μὲν ἡ διήγησις ἔχει τῆς ἱστορίας·
Ὅμηρος δὲ τῷ νέκταρι τοὺς λόγους κεραννύων
τὸ ἄξενον Κυκλώπων τε καὶ ῥώμην αὔξων τούτων,
ὁρῶν ἀκρωτηρίοις που καὶ γίγασιν εἰκάζει·
τὰς δ' ἀναιρέσεις σφᾶς αὐτῶν τῶν Ὀδυσσέως φίλων
κατάβρωσιν ἐκ Κύκλωπος λέγει καὶ Λαιστρυγόνων·
μέθην δὲ τὴν ἐν χρήμασι χαύνωσιν πρὸς τοὺς φόνους·
τὴν ῥάβδον δὲ τὴν ἀληθῆ τοῦ Κύκλωπος ἐπαύξων,
ἴσην ἱστῷ σοι εἴρηκε νηὸς ἐεικοσόρου·
τὴν ἁρπαγὴν τῆς Ἔλπης δὲ τῆς θυγατρὸς ἐκείνου,
τὴν γεγονυῖαν ἔρωτι πάλιν κατονομάζει,
τοῦ ὀφθαλμοῦ ἐξαίρεσιν δαλῷ δῆθεν ἐρώτων·
τοῦτο τὸ ἀλληγόρημα ξένον οὐχὶ τοῦ Τζέτζου·
πλὴν ὄμματος ἡ τύφλωσις ἡ ἐν δαλῷ καὶ μόνη,
ὅση ἡ Ἔλπη ὀφθαλμὸς τοῦ Κύκλωπος τελοῦσα,
τοῖς ξένοις συναπέπλευσε λιποῦσα τὸν πατέρα,
καὶ ὅτι προμεμέθυστο τοῖς χρήμασιν ὁ Κύκλωψ·
τὰ δ' ἄλλα σύμπαντα δεινῇ κυμαίνονται τῇ ζάλῃ,
τῶν ὧν τὰ πλείω εἴρηκα καὶ ἠλληγόρηκά σοι·
ἔχεις μὲν τὴν τοῦ Κύκλωπος πᾶσαν ἀλληγορίαν,
πλὴν βραχυτάτων τῇ φειδοῖ τοῦ χάρτου παρειμένων.

## ΤΟΥ Κ. ὙΠΟΘΕΣΙΣ ΤΗΣ ὈΔΥΣΣΕΙΑΣ ΛΕΓΕΙ

Αἰόλον τὸν δεσπότην μὲν δεσπότου τῶν ἀνέμων,
ἀσκῷ βοὸς τῷ Ὀδυσσεῖ δεσμῆσαι τοὺς ἀνέμους,
μόνον αὐτῷ πνεῖν Ζέφυρον ὡς οὔριον ἐᾶσαι,
ἔγγιστα τῆς πατρίδος δὲ νυστάξαι Ὀδυσσέα·
τὸν τῶν ἀνέμων δὲ ἀσκὸν λυσάντων τῶν ἑταίρων,

πάλιν νοστῆσαι πρὸς αὐτὰς τὰς νήσους τοῦ Αἰόλου,
καὶ πρὸς τοὺς Λαιστρυγόνας ἱκέσθαι πλανωμένους·
οὓς περ οἱ μῦθοι λέγουσιν ἀνθρωποβρῶτας εἶναι.
αὐτάνδρους ἀνθ' ὧν ἕνδεκα συνέτριψαν ὁλκάδας,
καὶ μετὰ Λαιστρυγόνας δὲ πρὸς Κίρκην πεπλευκότας,
τοὺς φίλους Ὀδυσσέως μὲν πρῶτον ἐκχοιρωθῆναι·
πάλιν ἀνθρωπωθῆναι δὲ αὐτὸν τὸν Ὀδυσσέα,
βουλαῖς Ἑρμοῦ τὸ δυσχερὲς ταυτὶ μὴ πεπονθέναι.
  Τζέτζης τὸν Ὀδυσσέα δὲ φησὶν ἐκχοιρωθῆναι
πλέον τῶν φίλων τῶν αὐτοῦ ὑφ' ὁλοκλήρῳ ἔτει,
τῇ Κίρκῃ συγκαθεύδοντα πορνείαις τῆς ἐκείνης·
οὕτως ἡ Κίρκη λέγεται καὶ γὰρ χοιροῦν ἀνθρώπους·
κατάρχουσα τῆς νήσου γὰρ οὔσης ὀλιγανθρώπου,
καὶ συῤῥαγὰς πολέμων δὲ τῶν πέριξ πτοουμένη,
πορνεῖα συσκευάσασα, πολλοὺς τοὺς ἐκπλεόντων,
οὕτως ἐποίει κατοικεῖν καὶ συμμαχεῖν ἐκείνῃ·
οἱ τῷ βορβόρῳ γοῦν ἀεὶ κρατούμενοι τοῦ πάθους.
καὶ τοῖς πορνείοις μένοντες ἐξοχειροῦντο τάχα·
οἱ πρὸς βραχὺ δὲ μείναντες, ἔμπαλιν ὑπεχώρουν,
λύκοι ὁμοῦ καὶ λέοντες ἐκλήθησαν τοῖς μύθοις·
οὗ περ συμβάντος καὶ αὐτοῖς τοῖς Ὀδυσσέως φίλοις,
ἐξ ἑρμηνέως Ὀδυσσεὺς πῶς γνοὺς ἠκριβωμένως,
ὅπως ἐν ταῖς πορνείαις τε καὶ γέ τισι φαρμάκοις,
τοὺς ξένους πάντας παρ' αὐτῇ χειροῖ τε καὶ κατέχει·
μῶλυ λαβὼν ἀπέρχεται πορνείοις τοῖς Κιρκαίοις·
τὸ μῶλυ γὰρ καὶ κόνιζα, καὶ ῥάμνος, καὶ ἰτέα,
καὶ ἕτερα μυρία δὲ, μαγείαις ἀντιπράττει·
οὕτως ἐλθὼν ὁ Ὀδυσσεὺς καὶ ὁλοκλήρῳ ἔτει,
τῇ Κίρκῃ συμφθειρόμενος πλέον ἦν πάντων χοῖρος·
ἀλλὰ τὰ Κίρκης ἔφημεν καὶ τὰ τῶν Λαιστρυγόνων·
τὰ τοῦ Αἰόλου φράσω δὲ ἄρτι σοι σαφεστάτως·

Αἰόλος ἄρχων τῶν ἐκεῖ δώδεκα παῖδας εἶχεν,
ὧν περ τὰς κλήσεις μάνθανε, καὶ χρόνον μή μοι νόει·
Περίφας σὺν Ἀγήνορι, Εὐχήνωρ τε ὁ τρίτος,
Κλύμενος, Ξοῦθος, Μακαρεὺς, κλήσεις ἀῤῥένων αἵδε·
Κλυμένη, καὶ Καλλίθυια σύν γε τῇ Εὐρυγόνῃ,
καὶ Λυσιδίκην ἄλλην τε συνάμα τῇ Κανάκῃ·
τηρῶν δὲ τὴν ὁμόνοιαν καὶ τὴν στοργὴν Αἰόλος,
τὰς ἀδελφὰς τοῖς ἀδελφοῖς συνέζευξεν ἐν γάμοις·
ὅς τὸν Αἰόλον χρόνον δὲ καὶ μῆνας ληροῖ τούτοις,
ἐκ τῶν μηνῶν λεγέτω μοι τὶς Μακαρεὺς νοεῖται,
καὶ ποῖος. ἡ Κανάκη δὲ, καὶ οἱ λοιποὶ ὁμοίως·
πῶς τὸν Αἰόλον λέγουσι δεσπότην δὲ ἀνέμων,
καὶ Ὀδυσσεῖ τὸν Ζέφυρον μόνον ἐᾶσαι πνέειν,
ἀσκῷ δεσμῆσαι δὲ πνοὰς καὶ τῶν λοιπῶν ἀνέμων,
ἄκουε, καί μου μάνθανε τὸ πᾶν ἠκριβωμένως.
Οἱ τελεσταὶ μὲν λέγουσι καὶ οἱ θαυματεργάται,
ἂν ἐξ ἰχθύος τὶς ἀσκὸν ποιήσειε δελφῖνος,
φησήσας τοῦτον δήσῃ τε, πρὸς ἄνεμον δὲ θείη,
ἐκεῖνος μόνος πνεύσειε, σιγήσουσι δ' οἱ ἄλλοι·
ἴσως δ' ἂν ὑπολάβοι τὶς καὶ τὸν Αἰόλον τοῦτον
εἶναι τοιοῦτον τελεστὴν καὶ ἔμπειρον τοιούτων,
καὶ οὕτω δρᾶσαι Ζέφυρον τῷ Ὀδυσσεῖ πνεῖν μόνον,
πᾶσαν πνοὴν δὲ τῶν λοιπῶν ἐγκατασχεῖν ἀνέμων·
οὐκ ἔστι τοῦτο οὐδαμῶς· ἦν δ' οὗτος ὁ Αἰόλος
ναυτιλλομένων φροντιστὴς, καὶ φροντιστὴς ἀνέμων,
ὡς λέγειν πᾶσιν ἀκριβῶς, ποῖος ἀνέμων πνεύσει,
καὶ μέχρι ποίου χρόνου δε οὗτος κρατήσει πνέων,
καθάπερ δὴ καὶ Ὀδυσσεῖ ἐκπλέοντι προεῖπεν·
ὁ ἄνεμος ὁ Ζέφυρος οὗτος οὐ λήξει πνέων,
ἔστ' ἂν ἀποκομίσηται πρὸς τὴν αὐτοῦ ματρίδα·
εἰ μήπου σὺ βραδύνειας καὶ μελλητὴς φανείης·

σοῦ γεγονότος καὶ αὐτοῦ ῥαθύμου γεγονότος,
ἀντίπνους πνεύσας ἄνεμος, στρέφει πρὸς Αἰολίαν·
Ὅμηρος ὕπνον λέγει δὲ τὴν τούτου ῥαθυμίαν·
τὴν ἐναντίαν πνεῦσιν δὲ πάλιν ἀνέμων λέγει,
περὶ ἑταίρων τοῦ ἀσκοῦ τὴν τῶν ἀνέμων λύσιν.
Ἀλλ' ἤδη μὲν εἰρήκειμεν πάντα τὸν νοῦν τοῦ κάππα.
ὁπόσος ἦν ἁρμόδιος ἀλληγορεῖσθαι τέως·
νῦν δὲ καὶ πᾶν κατάτμημα χρῆζον ἀλληγορίας,
ἀλληγορήσω προσφυῶς τοῖς τόποις τοῖς ἑκάστου.
Θεοῖς τοῖς ἀθανάτοισι φίλον Αἰόλον λέγει,
τὸν φρόνιμον καὶ ἔννουν δὲ καὶ στοχαστὴν μελλόντων·
τεῖχος δὲ χάλκεον φησίν, ὡς ὂν τῶν στεῤῥοτάτων,
εἴτε τὸ τειχιζόμενον ὅπλοις καὶ στρατιώταις·
ταμίαν δὲ ἐποίησεν ἀνέμων ὁ Κρονίων,
ἤγουν προγνώστην τέθεικεν ὑπάρχειν τῶν ἀνέμων,
ἡ σκοτεινὴ καὶ ἄγνωστος τοῖς πᾶσιν εἱμαρμένη,
εἴτε ὁ νοῦς καὶ λογισμός, καὶ φρόνησις οἰκεία·
» Ἄνδρα τόν, ὅς κε θεοῖσιν ἀπέχθηται μακαρέσσιν·
ὃς ἄφρων, νῦν ἐστιν αὐτῇ μισούμενος φρονήσει,
ἢ καὶ τό, ὃς μεμίσηται αὐτῇ τῇ εἱμαρμένῃ·
γυναῖκα ἴσην κορυφῇ τοῦ ὄρους δὲ νῦν λέγει,
ἀγρίαν, ὑψουμένην τε τῷ τύφῳ καὶ μεγάλην·
» Αὐτίχ' ἕνα μάρψας ἑτάρων, ὡπλίσσατο δόρπον·
καὶ μετὰ ἔπη δὲ τινὰ πάλιν φησὶν ὁμοίως·
» Ἰχθῦς δ' ὡς πείροντες, ἀτερπέα δαῖτα πένοντο·
τὰς ἀναιρέσεις τῶν ἀνδρῶν νῦν καταβρώσεις λέγει·
» Κίρκη ἐϋπλόκαμος, δεινὴ θεὸς αὐδήεσσα.
Θεὸς φωνῇ ἀνθρώπου δὲ χρωμένη καὶ λαλοῦσα,
ἤτοι σοφὴ ταῖς ἐπῳδαῖς, καὶ ἄρχουσα τῶν τόπων·
οἱ γὰρ ἀστέρες οἱ θεοί, στοιχεῖα, καὶ οἱ ἄλλοι
θεοὶ μὲν ὀνομάζονται αὐδήεντες δὲ οὔκουν·

Ἥλιον νῦν Ὠκεανὸν ἀκούοντες ἐνθάδε,
πατέρα Κίρκης ἄνθρωπον καὶ βασιλέα νόει,
τὸν, φαεσίμβροτον, λαμπρὸν ἐν τοῖς ἀνθρώποις νόει·
θεός τὶς ἡγεμόνευε, τύχη τὶς προηγεῖτο·
θεῶν τις ὠλοφύρατο· ᾠκτείρησεν ἡ τύχη·
θεᾶς καλλιπλοκάμοιο, ἀρχούσης βασιλίδος·
θεάων, βασιλίδων νῦν ὁμοίως τῷ προτέρῳ·
ἠὲ θεός, ἠὲ γυνὴ, πάλιν αὐτὸ σημαίνει·
ἢ ἦχος ἐστι τῶν ὀρῶν, ἢ καὶ γυνή τις ᾄδει·
φάρμακα ἦσαν δὲ λυγρὰ τῷ σίτῳ μεμιγμένα,
αἱ τῶν πορνῶν νῦν ἐπαφαὶ ἅπερ ἐχοίρουν τούτους·
ῥάβδος ἡ πλήττουσα αὐτοὺς, αἱ ἴυγγες τοῦ πόθου·
Ἑρμείαν νῦν χρυσόρραπιν, ὃς εἶπε τὰ τῆς Κίρκης·
θεοῦ εὐνὴν, τῆς Κίρκης δὲ τῆς βασιλίδος λέγει·
μῶλυ καλέουσι θεοὶ, καὶ οἱ ἑξῆς θεοὶ δὲ,
σοφοὺς τανῦν σημαίνουσιν οὐχ ἕτερόν τι πλέον·
ὁ τοῦ Ἑρμοῦ δὲ Ὄλυμπος, τὸν οἶκον τὸν ἐκείνου·
ὁ περὶ Ὀδυσσέως δὲ Ἑρμῆς εἰπὼν τῇ Κίρκῃ,
τὶς ἑρμηνεὺς ἠκούετο πλανᾶσθαι γὰρ ἐκ Τροίας·
αἱ τέσσαρες ἀμφίπολοι τῆς Κίρκης τὶ δηλοῦσιν;
ἔχειν ἐκείνην ἄφθονα τὰ ἐξ ὡρῶν τεσσάρων·
σὺ μὴ κιρκαίως Κίρκην δὲ τὸν χρόνον ὀνομάσῃς·
πῶς γὰρ Τηλέγονον γεννᾷ χρόνος ἐξ Ὀδυσσέως
καὶ τὰ λοιπὰ πῶς φαίη τίς τῆσδε τῆς ἱστορίας;
ἡ ῥάβδος καὶ τὸ φάρμακον τὸ βροτουργοῦν ἐκ χοίρων,
ἡ μετ' ὀργῆς παραίνεσις ἐστὶ καὶ νουθεσία·
εἰς Ἅδην δὲ κατέλευσιν καὶ χρῆσιν Τειρεσίου,
βουλαῖς τῆς Κίρκης νόησον ποῦ τῶν ἐκεῖσε τόπων,
τὸν Ὀδυσσέα χρῆσθαι δὲ ταῖς αἱματομαντείαις
σὺν τοῖς ἐκεῖσε μάντεσι καὶ μάγοις ὑπηργμένοις.
ἀναγαγοῦσιν εἴδωλον ψυχῆς τοῦ Τειρεσίου,

ἐξ οὗ πάντα μεμάθηκεν ὁπόσων χρείαν εἶχεν·
τίς ἂν θεὸν οὐ θέλοντα ἐν ὀφθαλμοῖσιν ἴδοι;
τίς ἂν σοφοῦ μὴ θέλοντος οἰκονομίαν γνοίη;

---

## Ἡ ΛΑΒΔΑ ΔΕ ὙΠΟΘΕΣΙΣ ἘΣΤΙ ΤΗΣ ὈΔΥΣΣΕΙΑΣ

Αὐτὸς λαβὼν ὁ Ὀδυσσεὺς τὰς Τειρεσίου χρήσεις,
ἃς κατελθόντι ἔχρησεν αὐτῷ περὶ τὸν Ἅδην,
καὶ τὴν μητέρα εἶδέ τε καὶ πόσας ἡρωΐδας,
τινὰς τῶν ἐν τῇ Τροίᾳ τε καὶ τοὺς κολαζομένους,
πῶς τούτῳ Κίρκη ὄπισθεν ἀγρίας πνοὰς πέμπει,
πέμπειν ἀνέμους Ὀδυσσεῖ οὐκ εὐσθενὴς ἡ Κίρκη·
πνοὴν δ' ἰδοῦσα ἄγριον ἐκέλευσε πλεῖν τοῦτον.
» Ἡ δ' ἐς πείραθ' ἵκανε βαθυῤῥόου Ὠκεανοῖο·
» ἔνθα δὲ Κιμμερίων ἀνδρῶν δῆμός τε πόλις τε
» ἠέρι καὶ νεφέλῃ κεκαλυμμένοι· οὐδέ ποτ' αὐτοὺς
» ἠέλιος φαέθων ἐπιδέρκεται ἀκτίνεσσιν.
Τοὺς Κιμμερίους οἱ πολλοὶ ἔθνος φασὶν ὑπάρχειν
περὶ τοὺς Ταυροσκύθας τε καὶ τὴν Μαιῶτιν λίμνην,
οἵ περ ἀφώτιστοί εἰσιν ἥλιον οὐχ' ὁρῶντες·
ἐν σκότει δὲ διάγουσιν, ἔν τε νυκτὶ βαθείᾳ·
ἡμέρας τεσσαράκοντα καιρὸς δ' αὐτοῖς τοῦ σκότους·
ἄλλοι δ' ἄλλ' ἀψευδέστατα λέγουσι περὶ τούτων·
καὶ θεῶν ἐν συνόψει δὲ συντάξεως μεγάλης
ἔκμηνον φῶς καὶ σκότος δὲ λέγει τοῖς Κιμμερίοις.
Ὅμηρος Κιμμερίους δὲ παρ' Ἰταλίαν λέγει,
καὶ ἀφωτίστους εἰσαεὶ τούτους φησὶν ὑπάρχειν,
καὶ τοῦτο θόρυβον πολὺν τοῖς φυσικοῖς παρέσχεν·
εἰσὶ δὲ οἱ Κιμμέριοι μέρος βραχὺ καὶ δῆμος

ἔθνους τινὸς Ἰταλικοῦ· αἱ δὲ οἰκήσεις τούτων
ἐν φάραγξι καὶ κοίλοις τε καὶ βαθυτάτοις τόποις,
καὶ ὅλως ἥλιος αὐτοῖς οὐδόλως ἐπιλάμπει·
ἐκεῖ καὶ λίμνη τις ἐστι Σιάχα καλουμένη,
ᾗ καὶ τὰ φύλλα πίπτοντα βυθίζεται τῶν δένδρων·
ἐκεῖ δὲ καὶ μαντεῖον ἦν ψυχαγωγὸν ἀνθρώπων,
οἱ Ὀδυσσεῖ (ἐξαίροντες πᾶσαν) τὴν ἁμαρτίαν,
ἀναγαγόντες δῆθεν τε ψυχὴν τοῦ Τειρεσίου,
δι' αὐτοῦ μὲν μαντεύονται πάντα τῷ τοῦ Λαέρτου,
καὶ πάντα δὲ δεικνύουσι τὰ τῶν νεκρῶν καὶ ζώντων·
ὅθεν εἰς Ἅδου λέγουσιν ἐλθεῖν τὸν Ὀδυσσέα·
θεῶν δὲ μήνιμα δηλοῖ ὀργὴν ἐξ εἱμαρμένης·
θεὸς σὲ νόστον χαλεπὸν θήσει, ἡ εἱμαρμένη,
ἢ καὶ ἡ θάλασσα αὐτὴ, ὡς κατωτέρω λέγει·
» Χωόμενος ὅτι οἱ υἱὸν φίλον ἐξαλαώσας·
ἡ θάλασσα φρουρεῖται γὰρ παρὰ τῶν ὁμορούντων,
ἁρπάσαντα τὴν Κύκλωπος παῖδα δὲ σχεῖν ζητοῦντα.
» Ὁππότε δὴ πρῶτον πελάσας εὐεργέα νῆα
» Θρινακίῃ νήσῳ, προσφυγὼν ἰοειδέα πόντον·
» βοσκομένας δ' εὕρητε βόας καὶ ἴφια μῆλα
» ἠελίου, ὃς πάντ' ἐφορᾷ, καὶ πάντ' ἐπακούει.
Βοάς ἡλίου νῦν τοὺς ἀροτῆρας λέγει,
ὡς καὶ ἀρχῇ προείπομεν τῆς ἄλφα Ὀδυσσείας,
καὶ πάλιν δὲ πλατύτερον οὗ δέον γράφω ταῦτα·
τοῖς ἀθανάτοις δὲ θεοῖς, τῇ εἱμαρμένῃ λέγει,
καὶ τοῖς στοιχείοις δὲ αὐτοῖς τοῖς οὐρανίοις μόνον·
Διῒ καὶ τῷ Ἡλίῳ τε, ἤτοι πυρὶ, ἀέρι·
ταῦτα σου ἐπεκλώσαντο θεοὶ, ἡ εἱμαρμένη·
» Ἢ δολιχὴ νοῦσος, ἢ Ἄρτεμις ἰοχέαιρα.
Ἄρτεμις ἰοχέαιρα, ἡ νόσος ἡ ὀξεῖα,
ὡς γὰρ πολλάκις ἔφημεν τὰς νόσους τὰσ ὀξείας

σελήνῃ, τῷ ἡλίῳ τε οἱ παλαιοὶ προσῆπτον·
ὡς κἀντῷ ἐπιδείκνυται τόδε συμφανεστέρως,
μᾶλλον τῶν ἄλλων πλέον δὲ ὀξέων νοσημάτων
τὰ ἐκ λοιμȣ̃ νοσήματα προσῆπτον τοῖς ῥηθεῖσι·
ἡ Περσεφόνη, μοῖρά τε καὶ θάνατος ἑκάστȣ·
παῖς εἶναι λέγεται Διὸς αὐτῆς τῆς εἱμαρμένης·
ἡ Περσεφόνη πάλιν δὲ, ὁ τόπος ὁ τȣ̃ Ἅδȣ,
παῖς εἶναι λέγεται Διὸς, τȣ̃ εὐδουργȣ̃ ἀέρος·
ὃς πρὶν ἐξ ὕλης κινηθεὶς, διήρθρωσε τὰ πάντα,
ὥς περ νεανιεύονται δόξαι σοφῶν Ἑλλήνων·
Τυρὼ τȣ̃ Ἐνιππέως μὲν ἀνθρώπȣ τινὸς ἦρα,
ἐξ οὗ τὴν κλῆσιν Ἐνιππεὺς ὁ ποταμὸς ἐσχήκη,
ἀντὶ τȣ̃ Ἐνιππέως δε τὶς ποταμὸς τὴν κλῆσιν,
ἐμίγη ταύτῃ τῇ Τυροῖ· ἢ τὶς τῶν ἐκ θαλάσσης·
Διὸς ἐν τοῖς ἀγκοίνῃσι, τȣτέστι βασιλέως·
θεοὶ θέσαν ἀνάπυστα, θεῶν βȣλάς τε πάλιν,
τὴν εἱμαρμένην νόει μοι τῇδε τὰ ἔπη λέγειν·
ἡ χαλεπὴ κατέδησε μοῖρα θεοῦ, ὁμοίως.
» Ἣ ῥ' ἐπὶ Τυνδάρεω κρατερόφρονε γείνατο παῖδε
» Κάστορά θ' ἱππόδαμον, καὶ πύξ ἀγαθὸν Πολυδεύκην·
» τοὺς ἄμφω ζωὸς κατέχει φυσίζοος αἶα·
» οἳ καὶ νέρθε γῆς τιμὴν πρὸς Ζηνὸς ἐλόντες
» ἄλλοτε μὲν ζώȣσ' ἑτερήμεροι· ἄλλοτε δ' αὖτε
» τεθνᾶσιν· τιμὴν δὲ λελόγχασιν ἶσα θεοῖσιν·
Γῆν ζῶντες ἔχειν λέγουσι Κάστορα, Πολυδεύκην,
διὰ τὸ δίκαιον αὐτῶν καὶ ἀρετὰς τὰς ἄλλας·
οἱ ἀρεταῖς βιȣ̃ντες γὰρ ζῶσι καὶ τεθνηκότες·
διὰ Θησέα γὰρ αὐτοὶ στρατεύσαντες Ἀθήναις,
τὴν ἀδελφὴν τὴν ἑαυτῶν ἀπέλαβον Ἑλένην,
καὶ μόνην ᾐχμαλώτησαν μητέρα τȣ̃ Θησέως,
τῶν δ' ἄλλων πάντων ȣ̓δὲ εἷς ἄχρι τριχὸς ἐβλάβη·

δι' ἃ καὶ νέρθεν ὄντες γῆς τιμαῖς τῆς εἱμαρμένης,
ἡμέραν παρ' ἡμέραν μὲν τοῖς εὐηργετημένοις
ὥς περ θεοὶ τετίμηνται ἀστέρες καὶ στοιχεῖα,
καὶ ψυχικαὶ δυνάμεις δὲ δίκαιον σὺν φρονήσει·
ἐν τῇ μιᾷ ἡμέρᾳ μὲν ὑμνούμενοι ὡς ζῶντες,
ἐν τῇ ἑτέρᾳ πάλιν δὲ, τρόπῳ τῶν τεθνηκότων·
Ἰφιμεδείας δὲ τινὸς γενναίου Ποσειδῶνος,
Γίγαντες νέοι ἄθεοι γεννῶνται τῶν ἀφρόνων,
ὧν περ αἱ κλήσεις Ὦτος τε καὶ Ἐπιάλτης ἦσαν,
οὓς ψυχικῶς, στοιχειακῶς ἐν στίχοις ἰαμβείοις
πρότερον ἠλληγόρησα· νῦν δὲ πραγματικῶς σοι·
τὰς ἀφροσύνας Ὅμηρος ἐκείνων παρεισφέρει,
καὶ πῶς λοιμῷ τεθνήκασιν Ἀπόλλωνος τοξείᾳ·
ζῶντες δὲ καὶ τὸν Ἄρεα μυθεύονται δεσμῆσαι,
ὅτι πάντας κατέπαυσαν σφῶν ῥώμῃ τοὺς πολέμους,
τὴν Ἀριάδνην Μίνωος τελοῦσαν θυγατέρα,
Θησέως ἄγοντος αὐτὴν Ἄρτεμις Νάξῳ κτείνει·
οἱ δὲ φασὶ Διόνυσον ταύτην ἁρπάξαι Νάξῳ·
ὁ Τζέτζης εἰρηνεύων δὲ καὶ διαλύων μάχας.
ἕν σοι τὰ δύο καὶ ταυτὸν νῦν λέγω πεφυκέναι·
οἴνου πόσει θανοῦσα γὰρ ἡρπάγη Διονύσῳ·
ἐπεὶ τῶν νοσημάτων δὲ τῶν ὀξυτάτων πάντων
αἴτιος εἶναι λέγεται ἥλιος καὶ σελήνη,
εὐλόγως γράφει νὶν, αὐτὴν, τὴν Ἄρτεμιν φονεῦσαι,
καὶ τὸν ἐξ οἴνου θάνατον σεμνῶς σοι παρεμφαίνει
ταῖς Διονύσου ἐκβοῶν κτεῖναι δὲ μαρτυρίαις,
ἤγουν ὀξέως τέθνηκεν οἴνου ἀμέτρου πόσει·
θεῶν ἰότητι φησὶ, βουλαῖς τῆς εἱμαρμένης·
Ζεὺς νῦν εὐρύοπα, ἐστὶν αὕτη ἡ εἱμαρμένη,
ἡ ἔστι μεγαλόφωνος καὶ περιθρυλλουμένη·
» Τεύχεσιν ἀμφ' Ἀχιλῆος ἔθηκε δὲ πότνια μήτηρ·

» παῖδες δὲ Τρώων δίκασαν καὶ Παλλὰς Ἀθήνη.
Ἡ περὶ ὅπλων γέγονε κρίσις ἐγγὺς θαλάσσης,
τὴν θάλασσαν γινώσκεις δε πῶς μήτηρ Ἀχιλέως·
παῖδες δὲ Τρώων δικασαν, αἰχμάλωτοι τὴν κρίσιν,
καὶ ἡ Παλλὰς Ἀθήνη δε, οἱ φρόνιμοι Ἑλλήνων·
πῆμα θεοὶ δὲ ἔθεσαν, αὐτὴ ἡ εἱμαρμένη·
ὁ Ζεὺς ὁμοίως τὸν στρατὸν ἤχθηρεν, εἱμαρμένη.
» Καὶ Τιτυὸν εἶδον, γαίης ἐρικυδέα υἱόν.
Ὁ Τιτυὸς παῖς θυγατρὸς Ὀρχωμενοῦ Ἐλάρας,
τὴν ἣν ταφεῖσαν ἔγγυον οὖσαν ἀνατεμόντες,
Καισάρων πάντων πρώτιστον τὸν Τιτυὸν ἐξῆξαν·
ὅθεν καὶ λέγουσιν αὐτὸν γῆς παῖδα πεφυκέναι·
» Λητὼ γὰρ ἥλκωσε Διὸς κυδρὴν παράκοιτιν.
Λητὼ καὶ νὺξ καὶ ὁ αἰθὴρ, ἓν, σύνευνος ἀέρος·
τὴν Λητὼ, νύκτα· πῶς δε Τιτυὸς ἦν τραυματίζων,
πάντας γοῦν ἁμαρτήσαντας ἀνθρώπους ἐν τῷ βίῳ,
καὶ Ἕλληνες ἐδόξαζον ἐν Ἅδου τιμωρεῖσθαι
ὡς τοῦτον τὲ καὶ Τάνταλον καὶ Σίσυφον σὺν τούτοις,
οὓς αἱματομαντείαις νῦν καὶ οὗτος ἰδεῖν λέγει·
ἀρχιερεὺς καὶ ἄρχων δε ὁ Τάνταλος ὑπάρχων,
ζῶν τὰ θεῶν μυστήρια εἰπὼν, ἐτιμωρήθη,
ἃ καὶ ἠλληγορήσαμεν ὅπου ὑπῆρχε δέον·
ἐν Ἅδου δὲ κολάζεσθαι τοῦτον φασὶ τοιῶσδε.
Ζηνὸς μὲν παῖς ὁ Ἡρακλῆς ὑπῆρχε βασιλέως,
καὶ ἀστρολόγου μάντεως, μάγου, σοφοῦ τοῖς πᾶσι·
πλείστους δεδμῆσθαι Εὐρυσθεῖ κελεύει δ' ὁ Κρονίων,
καὶ εἱμαρμένη προφανῶς καὶ τοῦτο ἐατέον·
τὸν Ἡρακλέος Ἅδην δὲ νῦν ἀλληγορητέον·
Ἅδης ὑπῆρχε βασιλεὺς τῆς Μολοσσίας χώρας·
τούτῳ τὴν κλῆσιν Κέρβερος μέγας ὑπῆρχε κύων·
θυγάτηρ δὲ ὡραία τὶς ἦν καλουμένη Κόρη·

ἣν ὁ Πειρίθους καὶ Θησεὺς μέλλοντες ἐφαρπάσαι,
ὁ μὲν Πειρίθους βέβρωκτο Κερβέρῳ τῷ ῥηθέντι·
Θησεὺς δεσμοῖς δὲ κρατηθεὶς, ἦν ἐν τοῖς Ἅδου δόμοις·
ὁ Ἡρακλῆς δὲ Εὐρυσθεῖ πρὸς Ἅδην ςαλεὶς τȣτον,
ἐν ἑρμηνεῖ φρονήσει τε, ἃ ὁ Ἑρμῆς, Ἀθήνη,
ἀνάγει καὶ τὸν Κέρβερον, ἀνάγει καὶ Θησέα·
πρὸς τὴν ὁμωνυμίαν δε ὁ Ὅμηρος νῦν παίζων,
ταῖς Εὐρυσθέως προςαγαῖς τὸν Ἡρακλῆ τὸν μέγαν,
πρὸς Ἅδην ἀνυπόςροφον, νῦν κατελθεῖν σοὶ λέγει,
μὴ κεφαλήν μοι τῆς Γοργȣς ἡ Περσεφόνη πέμψῃ,
μὴ φόβον καὶ κατάπληξιν καὶ τῶν φρενῶν ἐκςαίην.

---

ΤΗΣ ΜΥ ΔΕ Η ῾ΥΠΟΘΕΣΙΣ ΚΑΙ ΝΟΥΣ ᾿ΕΣΤΙ ΤΟΙΟΣ ΔΕ.

Πρὸς Κίρκην Ὀδυσσεὺς φησὶν ἃ κατεῖδεν εἰς Ἅδην·
αὐτὴ προλέγει τούτῳ δε πῶς πλεύσει τὰς Σειρῆνας,
καὶ Σκύλλαν καὶ τὴν Χάρυβδιν καὶ τὰ βοῶν ἡλίȣ,
ἀπόλειαν τῶν φίλων τε νηὸς κεραυνωθείσης,
πῶς τε σωθῇ πρὸς Καλυψὼ μόνος νηὸς ἐν ξύλῳ.
» Νῆσον τ' Αἰαίην, ὅθι τ' ἠοῦς ἠριγενείης
» οἰκία καὶ χοροί εἰσι, καὶ ἀντολαὶ ἠελίοιο·
ἤγουν οὗ φῶς καὶ ἥλιος, οὗ σκότος Κιμμερίων·
» Ὧς τοι ἐγὼν ἐρέω· μνήσει δέ σε καὶ θεὸς αὐτός·
καὶ ἡ ψυχή σȣ δὲ αὐτὴ σὲ ἀναμνήσει τούτων·
» Σειρῆνας μὲν πρῶτον ἀφίξεαι αἵ ῥα τε πάντας.
Αὗται πόρναι περίφημοι καὶ ᾠδικαὶ ὑπῆρχον,
καὶ πτοηθεὶς ὁ Ὀδυσσεὺς μὴ συσχεθῇ καὶ ταύταις,
τὰς πέντε τῶν αἰσθήσεων ἐμφράττει, τὰς καὶ φίλȣς·
οὐ γὰρ τὰ ὦτα ἔχρισεν ἑταίρων ἐν κηρίῳ

τὸν νοῦν μετεωρίσας τε ἐκ ἐν ἱστῷ νηός δε,
κρίσει δ' ἀρίστου λογισμοῖς παρέπλευσεν ἐκείνοις·
πλαγκτὰς καλέουσι θεοί· νῦν τοὺς σοφούς μοι νόει.
» Τῇ μέν τ' οὐδὲ ποτητὰ παρέρχεται, οὐδὲ πέλειαι
» τρήρωνες, ταίτ' ἀμβροσίην Διὶ πατρὶ φέρουσι.
Δοκῶ λέγειν τὸν Ὅμηρον ἐν τῷδε τῷ χωρίῳ,
μηδὲ τὸ ἄστρον φαίνεσθαι ἐκεῖσε τῶν Πλειάδων,
ὡς ἐν τῇ ἐρυθρᾷ φησὶ πάλιν ὁ Ἀνθαγόρας,
αὐτὴν τὴν Ἄρκτον μηδαμῶς τὸ ἄστρον καθορᾶσθαι·
αἱ δὲ Πλειάδες σφῶν πατρὶ Διΐ, τῷ οὐρανῷ δε,
φέρουσιν, ἤτοι ἔχουσιν τήν δε τὴν ἀμβροσίαν,
ἢ φέρουσι, παρέχουσι τήν δε τὴν ἀμβροσίαν·
σφῶν ἑσπερίᾳ δύσει μὲν σπόρου καιρὸν σημαίνει,
ἀνατολαῖς ἑώαις δὲ, τὸ θέρος καταγγέλλει·
ἄλλην ἐνίησι πατὴρ. ἤτοι ἡ εἱμαρμένη,
» Ἀλλ' Ἥρη παρέτρεψεν ἐπεὶ φίλος ἦεν Ἰήσων·
ἀὴρ δὲ τῷ Ἰάσονι φίλος ἦν, πνεύσας τότε·
» Ἔνθα δ' ἐνὶ Σκύλλα ναίει δεινὸν λελακυῖα·
Σκύλλα δὲ ἀκρωτήριον περὶ τὴν Σικελίαν,
δίσπλουν τε καὶ ὀλέθριον τοῖς πλέουσιν ἐκεῖσε,
καὶ σκυλιαίας ἓξ δειρὰς ἔχον ἐκτεταμένας,
ὑφάλας πέτρας τε πολλὰς καὶ συστροφὰς ῥευμάτων,
καὶ σάλον πρὸς αὐτὰς (ἀκτὰς), καὶ ῥόχθον τῶν κυμάτων,
θηρία τε θαλάττια ἐκεῖσε περιπλέει,
ἃ φθειρομένων τῶν ναῶν τοὺς ἄνδρας κατεσθίει,
κἀκ τῶν ὁλκάδων δὲ τινὰς πολλάκις ἀναρπάζει·
ἀνάγκη γοῦν (τοὺς) πλέοντας πρὸς τούτους τοὺς κινδύνους,
ἢ προφανῶς καὶ καρτερῶς χρωμένους εἰρεσίαις,
τρεῖς μόνους ἢ καὶ τέσσαρας λιπεῖν ἐκ τῶν ἑταίρων,
ἐκπεπτωκότας τῷ σφοδρῷ τῇ ῥύμῃ τῶν κυμάτων,
βορὰν γενέσθαι τοῖς θηρσί. τοὺς δὲ λοιποὺς σωθῆναι,

ἢ ῥαθυμίᾳ σύμπαντας φθαρῆναι σὺν ὁλκάδι·
τὰ τοῦ Σκυλλαίου τοιαδὶ μετέπεσεν εἰς μῦθον·
τῇ Σκύλλῃ οὐ γηθήσειεν, οὐδὲ θεὸς ἀντήσει,
μεγάλως πτοηθείη τὶς, οὐ δ' ἀβλαβῶς παρέλθοι
Σκύλλης τὸν πλοῦν κἄν περ σοφὸς, ὥς τε φησὶ, τυγχάνει·
ἤτοι σοφὸς καὶ τελεστὴς, καὶ ἐπῳδὸς καὶ μάγος·
οὐδὲ θεοῖς ὑπείξεαι· θεὸν νῦν τὰ στοιχεῖα·
» Ἡ δέ τι οὐ θνητὴ, ἀλλ' ἀθάνατον κακόν ἐστιν·
ἡ Σκύλλα ζῶον, Ὀδυσσεῦ, κύων θνητὸς οὐκ ἔστιν,
αλλὰ θαλάττης μέρος τὶ ναυτιλλομένοις, οἷον,
» Ἀλλὰ μάλα σφοδρῶς ἐλάαν, βωστρεῖν δὲ Κραταιῒν,
» μητέρα τῆς Σκύλλης· ἥ μιν τέκε πῆμα βροτοῖσιν,
» ἥ μιν ἔπειτ' ἀποπαύσει δ' ἐς ὕστερον ὁρμηθῆναι·
Βλέπε νῦν γέροντος χρυσοῦ καὶ μελιχρὴν καρδίαν,
καὶ ὀνομάτων πλάσματα· θέλων εἰπεῖν γὰρ τῇδε
ὡς πρὸς τὴν Σκύλλαν πολεμεῖν, ὦ Ὀδυσσεῦ, οὐ δέον,
ἐν κραταιᾷ δυνάμει δε ναύταις βοᾷν ἐλαύνειν,
οὕτω γὰρ ἂν ἐκφύγητε καὶ δεύτερον βλαβῆναι·
καὶ κραταιὰ γὰρ δύναμις ἐτέκνωσε τὸ ῥεῦμα,
Σκύλλαν καὶ Κράταιϊν φησὶ, καὶ ταύτης παρακλήσεις,
καὶ ἐξ αὐτῆς ἀπόπαυσιν, παιδὸς αὐτῆς τῆς Σκύλλας.
» Θρινακίην δ' ἐς νῆσον ἀφίξεαι, ἔνθα δὲ πολλαὶ
» βόσκονται ἠελίοιο βόες καὶ ἴφια μῆλα·
» ἑπτὰ βοῶν ἀγέλαι· τόσα δ' οἴων πώεα καλά·
» πεντήκοντα δ' ἕκαστα· μένος δ' οὐ γίγνεται αὐτῶν,
» οὐδέποτε φθινήθουσι. θεοὶ δ' ἐπιποιμένες εἰσί.
Τῇ ἄλφα τῆς παρούσης βίβλου τῆς Ὀδυσσείας
τοὺς ἀροτῆρας ἔφημεν βόας ἡλίου εἶναι·
ἰστέον ὡς καὶ βόας δε καὶ πρόβατα καὶ ἵππους,
καὶ ἅπαν ζῶον ἕτερον καὶ ἄλση καὶ φυτὰ δὲ
ἡλίῳ ἐνετίθεντο, ἀέρι, καὶ τοῖς ἄλλοις·

οὐδὲν τοιοῦτον ζῶον δὲ τὶς ἀνελεῖν ἐτόλμα,
οὔτε τὸ ἄλσος δὲ τεμεῖν· ἀεὶ δὲ ἐτηροῦντο
ἐν τῇ αὐτῇ ποσότητι τῶν στείρων πεφυκότα·
κἂν ἐτεθνήκει τὶ αὐτῶν, πάλιν ἀπεπληροῦτο·
αἱ τῶν βοῶν ἀγέλαι δὲ ἡλίου καὶ προβάτων
ἑπτὰ μὲν ἦσαν ἔχουσαι ἀνὰ πεντηκοντάδος,
καὶ φύλακα Φαέθουσαν ὁμοῦ καὶ Λαμπετίην·
εὐλόγῳ λόγῳ προσφυεῖ καὶ χρόνῳ καὶ ἡλίῳ·
πεντήκοντα καὶ δύο γὰρ ἔτους αἱ ἑβδομάδες,
ποιητικοὶ δὲ ἀριθμοῖς ἀπηρτισμένοις χρῶνται·
ἡμέραι δὲ πεφύκασι φρουρεῖν τὰς ἑβδομάδας·
αἱ ἑβδομάδες μῆνας δε, μῆνες δὲ πληροῦν χρόνον·
κἂν μῆνας παραλέλοιπεν εἰπεῖν τῇ συντομίᾳ,
καὶ τῷ μὴ θέλειν φανερῶς δεῖξαι γυμνὸν τὸν μῦθον·
ἐπεὶ τοῖς Ὀδυσσέως δὲ συμπέπτωκεν ἑταίροις
φαγοῦσι τούτων τῶν βοῶν, πάντας θανεῖν θαλάσσῃ·
ἐκτρέπων πάντας Ὅμηρος πράξεων τῶν ἀθέσμων,
τὶ οὐ ποιεῖ, τὶ οὐ λαλεῖ κινοῦν εἰς νουθεσίαν;
φέρει καὶ γὰρ τὸν ἥλιον ἐν προσωποποιΐᾳ
ἀγανακτοῦντα περιττῶς, ζητοῦντα τιμωρίαν,
καὶ τῶν βοῶν τοῖς ὀβελοῖς μυκώμενα τὰ κρέα,
καὶ καθερπούσας βύρσας δε καὶ ἕτερα μυρία·
ἅ περ κολαστικώτερον ἂν εἶπε ῥήτωρ γράφων,
τοῖς ὀβελοῖς ἂν εἶπε τὶς μυκᾶσθαι τότε κρέα·
Ζεὺς ὦσεν ἄνεμον ζωὴν, ὁ οὐρανὸς ἐνθάδε·
σπηλαίῳ ἦσαν τὰ Νυμφῶν, γλυφαὶ τῶν Νηρηΐδων·
ἠράμην πάντεσσι θεοῖς, ἀέρι καὶ στοιχείοις·
ῥέξομην ἀθανάτοισι, στοιχείοις, εἱμαρμένῃ·
ἔψονται ἄλλοι δὲ θεοὶ, ἀστέρες ἢ στοιχεῖα·
Ζεῦ πάτερ, ἤγουν ὦ ἀὴρ καὶ τὰ λοιπὰ στοιχεῖα·
ὁ γὰρ ἀὴρ καὶ τὸ ὑγρὸν εἴωθεν ὑποφέρειν·

ἡ Λαμπετίη ἄγγελος ἀπέρχεται ἡλίῳ·
ἑβδόμην Ζεὺς ἐποίησεν, ὁ οὐρανὸς, ἡμέραν·
ἀποκατάστασις καὶ γὰρ τοῦ οὐρανοῦ ἡμέρα·
Διὸς πληγεῖσα κεραυνῷ, νεφῶν τε καὶ ἀέρος·
θεὸς, ἡ εἱμαρμένη δε τὸν νόστον ἀφηρεῖτο·
Σκύλλην ἐμὲ δὲ ὁ πατὴρ, ἤγουν ἡ εἱμαρμένη·
οὐκ εἴασε θεάσασθαι· τί δὲ ἂν ἐθεάθης;
ὁ πᾶς φόβος ἐν Σκύλλῃ γὰρ μὴ καταχθῇ τὸ πλοῖον,
καὶ οἱ πλωτῆρες ὕδασιν ἐμπέσωσι θαλάσσης·
σὺ δὲ πεσὼν τί δέδοικας ἔτι λοιπὸν τὴν Σκύλλαν;
εἰ μήπου φῂς ποτοούμενος μὴ ἐντυχεῖν θηρίῳ·
καὶ τὸ πεσεῖν εἰς θάλασσαν, πᾶς φαίη δεινὸν λέγει·
πρὸς τοῦτο· τοῦτο δὲ φημί· ὃ παίζων τῇδε γράφει·
ὅτι μετὰ τὴν ἔκπτωσιν, ἣν πέπτωκε θαλάσσῃ,
ὁ Ζεὺς ἐκεῖνον κατεδεῖν οὐκ εἴασε τὴν Σκύλλαν·
θεοὶ ἐς νῆσον πέλασαν, ἤδη τὴν Ὠγυγίαν·
στοιχεῖα· θάλασσα αὐτὴ καὶ αἱ πνοαὶ ἀνέμων·
θεοὶ καὶ εἱμαρμένη δε νοεῖται γὰρ ἐνθάδε·

ΑΥ̓ΤΗ 'ΕΣΤΙΝ ‘ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ν. ΤΗΣ 'ΟΔΥΣΣΕΙΑΣ.

Μετὰ τῶν δώρων Φαίακες τὸν Ὀδυσσέα τῇδε
κοιμώμενον ἐξάγουσιν εἰς γῆν τὴν τῆς Ἰθάκης·
τῷ δ' ὑποστρέφειν Ποσειδῶν τούτων λιθοῖ τὴν νῆα·
τῷ δ' Ὀδυσσεῖ δὲ Ἀθηνᾶ κτεῖναι μνηστῆρας λέγει·
τὰ δ' ἐκ Φαιάκων χρήματα τούτου σπηλαίῳ κρύπτει·
αὐτὸν δὲ μετεμόρφωσεν, ὥς περ μορφὴν γερόντων·
Ζηνὶ κελαινεφέϊ δε, ἄρτι τῇ εἱμαρμένῃ
θεοὶ οἱ οὐρανιῶνες, ὁμοίως εἱμαρμένη·

καὶ τὸ θεοὶ δὲ ἀρετὴν ὀπάσειαν, ὡσαύτως·
Διῒ πατρὶ, ὁμοίως δέ· οἱ οὐρανοὶ, ὁμοίως,
δηλοῦσιν εἱμαρμένην τε, δηλοῦσι καὶ στοιχεῖα·
» Ἄνδρα φέρουσα, θεοῖς ἐναλίγκια μήδε' ἔχοντα·
ταῖς ψυχικαῖς δυνάμεσιν ὅμοιον καὶ ἀγχίνουν·
» Ἱρὸν Νυμφάων, αἳ Νηϊάδες καλέονται·
ὅσα φασὶν ἐν ἱερῷ, τῷ τῶν Νυμφῶν ἃ λέγει,
κρητῆρες τὲ καὶ ἀμφορεῖς· ἱστοὶ πορφύρας, φάρη,
λιθόξεστα μιμήματα ἦσαν καὶ εἰκασίαι.
» Αἱ μὲν πρὸς Κορέω καταβάται ἀνθρώποισιν·
» αἱ δ' αὖ πρὸς Νότον εἰσὶ θεώτεραι· οὐδέ τι κείνῃ
» ἄνδρες ἐπέρχονται· ἀλλ' ἀθανάτων ὁδὸς ἐστί.
Αἱ μὲν βαταὶ τυγχάνουσι τοῖς σύμπασιν ἀνθρώποις.
αἱ δὲ εἰσὶ θεώτεραι καὶ ἱερέων μόνων·
» Ὤπασαν οἴκαδ' ἰόντι διὰ μεγάθυμον Ἀθήνην·
διὰ τὴν φρόνησιν αὐτὴν δεδώκασι τὰ δῶρα·
» Αὐτοὶ δ' αὖτ' οἶκον πάλιν κίον· οὐδ' Ἐνοσίχθων
» λήθετ' ἀπειλάων, τὰς ἀντιθέῳ Ὀδυσσῆϊ·
Φαίακες δ' ὑπεστρέφοντο δεινῇ τῇ τρικυμίᾳ,
ἐν πέτραις διεφθάρησαν ῥαγείσης τῆς ὁλκάδος·
τὴν τρικυμίαν Ὅμηρος πλάττει δὲ Ποσηδῶνα,
ὡς πρὸς τὸν Δία οὐρανὸν ἅ περ φησὶ λαλοῦντα,
καὶ Δία πάλιν πρὸς αὐτόν· ἃ Ποσειδῶν δὲ λέγει·
» Ἀλλὰ σὸν αἰεὶ θυμὸν ὀπίζομαι ἠδ' ἀλεείνω.
Καλῶς φησὶν ἡ θάλασσα· κλύδωνας γὰρ οὐκ ἔχει,
ἂν οὐρανός τε καὶ ἀὴρ τελῶσι τῶν νηνέμων·
τὴν τῆς νηὸς ἀπώλειαν ἣν ἔφη περὶ πέτρας,
καὶ πρὸς τοὺς Φαίακας φησὶ φθόνον ἐκ Ποσειδῶνος·
ἀνθ' ὧν ἐτέλουν ἄριστοι φθόνον ναυτιλλομένων·
τὸ, τῇ θαλάσσῃ νῆα δε ῥαισθῆναι τῶν Φαιάκων,
καὶ μέγα ὄρος τούτων δε τὴν πόλιν γεγονέναι

ἐκ παλαιῶν τοῖς Φαίαξιν ἠκούετο τῶν χρόνων·
ἡ Ἀθηνᾶ τῷ Ὀδυσσεῖ ποιεῖ ἀορασίαν.
καὶ τὴν Ἰθάκην ἀγνοεῖ τὴν ἑαυτοῦ πατρίδα·
τουτέστι χρόνον ἐς μακρὸν ἔκδημος ὢν Ἰθάκης,
γνῶναι αὐτὴν οὐκ ἴσχυσε φρονήσει τῇ οἰκείᾳ·
ἐζυγομάχει δὲ πολλὰ, διὸ καὶ κατηρᾶτο·
ὁ Ζεὺς ὁ ἱκετήσιος, ἤγουν ἡ εἱμαρμένη·
ἡ τοῖς ἱκέταις βοηθεῖ· Φαίαξι δοίη βλάβας·
ἦλθε σχεδὸν ἡ Ἀθηνᾶ δέμας ὁμοιωθεῖσα
νέῳ παιδὶ καὶ τρυφερῷ ποιμνίων ἐπιστάτῃ·
νῦν Ἀθηνᾶν καὶ φρόνησιν ὁ Ὅμηρός σοι λέγει,
ἐκεῖνο τὸ παιδάριον, ὃ ἔνεμε τὴν ποίμνην·
ἐκεῖνο πάντα γὰρ λεπτῶς εἰπὼν πρὸς Ὀδυσσέα
τὴν ἄνοιαν ἐσκέδασεν, ἣν εἶχε τῆς πατρίδος·
καὶ ὥς περ κατεφρένωσε τὸν πρὶν ἠγνοηκότα.
» Ὣς φάτο· μείδησε δὲ θεὰ γλαυκῶπις Ἀθήνη.
» χειρί τε μὶν κατέρεξε· δέμας δ' ἤϊκτο γυναικί·
Ὡς ἀκριβῶς ἐπέγνωκεν ἅπαν ἐκ τοῦ ποιμένος,
ἐκμειδιᾷ ἐν τῇ φρενὶ τῇ ἑαυτοῦ Ἀθήνη·
ὁμαλισθεὶς ἐν τῇ χειρὶ καὶ πρακτικῶς νοήσας
ὁπόσον ἔχρῃζε μαθεῖν ἵνα διττολογήσω,
χρῄζων Ὁμήρου παίγνια σαφῶς σοι παρεστάναι·
τὸ, γυναικὶ δὲ ἤϊκτο, καλῇ τε καὶ μεγάλῃ·
καὶ ἀγλαὰ δὲ καὶ λαμπρὰ ἐπισταμένῃ ἔργα·
τοῦτο σημαίνει προφανῶς, ὡς ἀγνοῶν ἦν πρῶτον·
ἐκ τοῦ παιδὸς δὲ διδαχθεὶς ἠκριβομένως ἄνω,
καὶ σφῶν εἴκασε φρόνησιν τῷ συνεργῷ γυναίῳ·
ἤτοι πάλιν κατήρξατο πανουργιῶν ὡς πρώην·
ὅσα δὲ πλάττει Ἀθηνᾶν λέγουσαν Ὀδυσσῆϊ.
αὐτὸς αὐτῷ ὁ Ὀδυσσεὺς, νῷ τῷ οἰκείῳ λέγει·

# ΗΡΑΚΛΕΙΔΟΥ.

Cap. 1. Μέγας ἀπ' οὐρανȣ̃ καὶ χαλεπὸς ἀγὼν Ὁμήρῳ καταγγέλλεται περὶ τῆς εἰς τὸ θεῖον ὀλιγωρίας· πάντη γὰρ ἠσέβησεν εἰ μηδὲν ἠλληγόρησεν· ἱερόσυλοι δὲ μῦθοι καὶ θεομάχου γέμοντες ἀπονοίας, δι' ἀμφοτέρων τῶν σωματίων μεμήνασιν· ὥς τε εἴ τις ἄνευ φιλοσόφȣ θεωρίας μηδενὸς αὐτοῖς ὑφεδρεύοντος ἀλληγορικοῦ τρόπȣ, νομίζοι κατὰ ποιητικὴν παράδοσιν εἰρῆσθαι, Σαλμωνεὺς ἂν, Ὅμηρος εἴη καὶ Τάνταλος ἀκόλαστον γλῶσσαν ἔχων αἰσχίστην νόσον· ὥς τε ἔμοιγε καὶ σφόδρα συμβέβηκε θαυμάζειν, πῶς ὁ δεισιδαίμων βίος ὁ ναοῖς καὶ τεμένεσι καὶ ταῖς διὰ ἔτȣς ἐν ταῖς περὶ θεῶν προτρεπόμενος ἑορταῖς, ȣ̔́τω τὴν ὁμηρικὴν ἀσέβειαν ἐνηγκάλισται φιλοστόργως τȣ̀ς ἐναγεῖς λόγους διὰ στόματος ᾄδων· εὐθὺς γὰρ ἐκ πρώτης ἡλικίας τὰ νήπια τῶν ἀρτιμαθῶν παίδων, διδασκαλία παρ' ἐκείνῳ τιτθεύεται· καὶ μόνον ȣ̀κ ἐνεσπαργανωμένοι τοῖς ἔπεσιν αὐτȣ̃ καθαπερεὶ ποτίμῳ γάλακτι τὰς ψυχὰς ἐπάρδομεν· ἀρχομένῳ δ' ἑκάστῳ συμπαρέστηκε· καὶ κατ' ὀλίγον ἀπανδρουμένῳ· τελείοις δ' ἐνακμάζει· καὶ κόρος οὐ δεὶς ἄχρι γήρως· ἀλλὰ παυσάμενοι διψῶμεν αὐτȣ̃ πάλιν· καὶ σχεδὸν ἓν πέρας Ὁμήρῳ παρ' ἀνθρώποις ὃ καὶ τȣ̃ βίου·

Cap. 2. Δι' ὧν σαφὲς οἶμαι καὶ πᾶσιν εὔδηλον· οὐδεμία κηλὶς ἐναγῶν μύθων τοῖς ἔπεσιν ἐνεσπείρηται· καθαρὰν καὶ παντὸς ἁγνεύουσαν λύσιν Ἰλιὰς πρώτη καὶ μετὰ ταύτην Ὀδύσσεια σύμφωνον ἑκατέρα περὶ τῆς ἰδίας εὐσεβείας κέκραγε φωνήν:

a Οὐκ ἂν, ἔγωγε θεοῖσιν ἐπουρανίοισι μαχοίμην.

a) Il. ζ· 129·

a) Νήπιοι οἳ Ζηνὶ μενεαίνομεν ἰσοφαρίζειν:

οἷος μὲν ἐν ὀρανῷ διὰ τῶν ἐπῶν καθιέρωται Ζεύς, ἀφανεῖ νεύματι σείων· ὡς δὲ Ποσειδῶνος ὁρμήσαντος αἰφνιδίως, b) τρέμεν ὄρεα μακρὰ καὶ ὕλη. τὰ αὐτὰ δ' ὑπὲρ Ἥρας ἄν τις εἴποι:

c) Σείσατο δ' ἐνὶ θρόνῳ· ἐλέλιξε δὲ μακρὸν Ὄλυμπον.

ὁμοίως δὲ Ἀθηνᾶν παρεστάναι·

d) Θάμβησε δ' Ἀχιλεύς· μετὰ δ' ἐτράπετ' αὐτίκα δ' ἔγνω
Παλλάδ' Ἀθηναίην· δεινὼ δέ οἱ ὄσσε φάανθεν:

e) οἵη δ' Ἄρτεμις εἶσι κατ' ὄρεος ἰοχέαιρα
ἢ κατὰ Τηΰγετον περιμήκετον ἢ Ἐρύμανθον·
τερπομένη κάπροισι καὶ ὠκείαις ἐλάφοισιν·

ἃ μὲν γὰρ ἐξ ἴσȣ καὶ κατὰ κοινὸν ὑπὲρ ἁπάντων ἱεροπρεπῶς τεθεολόγηται, τί δεῖ καὶ λέγειν· f) μάκαρες θεοὶ αἰὲν ἐόντες g) καὶ ἄφθιτα μήδε' ἔχοντες· ἢ νὴ Δία h) δωτῆρες ἐάων καὶ i) ῥεῖα ζώοντες.

k) ȣ̓ γὰρ σῖτον ἔδȣσ'· ȣ̓ πίνȣσ' αἴθοπα οἶνον·
τȣ̈νεκ' αναίμονές εἰσι καὶ ἀθάνατοι καλέονται.

Cap. 3. Τίς ȣ̓̃ν ἐπὶ τȣ́τοις Ὅμηρον ἀσεβῆ λέγειν τολμᾷ.

l) Ζεῦ κύδιστε μέγιστε κελαινεφὲς αἰθέρι ναίων.
m) ἠέλιός θ' ὃς πάντ' ἐφορᾷς καὶ πάντ' ἐπακȣ́εις·
καὶ ποταμοὶ καὶ γαῖα καὶ οἳ ὑπένερθε καμόντες
ἀνθρώπȣς τίνυσθον ὅς τις κ' ἐπίορκον ὀμόσσῃ·

ὑμεῖς μάρτυροι ἐστὲ τῆς Ὁμήρȣ θεοσεβȣ̃ς προαιρέσεως ὅτι πάθεσιν ἐξαιρέτοις ἐπὰν νεοκορῇ τὸ δαιμόνιον. ἐπεὶ κ' αὐτός ἐστι θεῖος· εἰ δ' ἀμαθῶς τινες ἄνθρωποι τὴν Ὁμηρικὴν ἀλληγορίαν ἀγνοȣ̃σιν· ȣ̓ δ' εἰς τὰ μυχία τῆς ἐκείνου σοφίας καταβεβήκασιν, ἀλλ' ἀβασάνιστος αὐτοῖς ἡ

a) Il. ο. 104. b) Il. ν. 18. c) Il. θ. 199. d) Il. α. 199. e) Od. ζ. 102. f) Od. θ. 306, μ. 371. 377. g) Il. ω. 88. h) Od. θ. 324. i) Od. δ. 805. k) Il. ε. 342. l) Il. β. 412. m) Il γ. 276. seqq.

τῆς ἀληθείας κρίσις ἔῤῥιπται. καὶ τὸ φιλοσόφως ῥηθὲν οὐκ εἰδότες, ὃ μυθικῶς δοκεῖ πλάσαι προσαρμόζουσιν, οὗτοι μὲν ἐῤῥέτωσαν· ἡμεῖς δ' οἱ τῶν ἀβεβήλων ἐντὸς περιραντηρίων ἡγνίσμεθα, σεμνὴν ὑπὸ νόμῳ τῶν ποιημάτων τὴν ἀλήθειαν ἰχνεύωμεν·

Cap. 4. Ἐῤῥίφθω δὲ καὶ Πλάτων ὁ κόλαξ Ὁμήρου συκοφάντης ἔνδοξον ἀπὸ τῆς ἰδίας πολιτείας τὸν φυγάδα προπέμπων λευκοῖς ἐρίοις ἀνεστεμμένον καὶ πολυτελεῖ μύρῳ τὴν κεφαλὴν διάβροχον· οὐδ' Ἐπικούρου φροντὶς ἡμῖν· ὃς τῆς ἀσέμνου περὶ τοὺς ἰδίους κήπους ἡδονῆς γεωργός ἐστιν ἅπασαν ὁμοῦ ποιητικὴν ὥς περ ὀλέθριον μύθων δέλεαρ ἀφοσιούμενος· πρὸς οὓς μέγα δή τι στενάξας, εἴποιμ' ἄν, εὐλόγως·

a) ὢ πόποι· οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται·

καὶ τὸ πικρότατον ἀρχὴν ἑκάτεροι τῶν παρ' ἑαυτοῖς δογμάτων ἔχοντες Ὅμηρον· ἀφ' οὗ τὰ πλεῖστα τῆς ἐπιστήμης ὠφέληνται, περὶ τοῦτον ἀχαρίστως εἰσὶν ἀσεβεῖς· ἀλλ' ὑπὲρ μὲν Ἐπικούρου καὶ Πλάτωνος, αὖθις ἐξέσται λέγειν.

Cap. 5 Νυνί δ' ἀναγκαῖον ἴσως μικρὰ καὶ σύντομα περὶ τῆς ἀλληγορίας τεχνολογῆσαι· σχεδὸν γὰρ αὐτὸ τοὔνομα καὶ λίαν ἐτύμως εἰρημένον, ἐλέγχει τὴν δύναμιν αὐτῆς. ὁ γὰρ ἄλλα μὲν ἀγορεύων τρόπος· ἕτερα δὲ ὧν λέγει σημαίνων, ἐπωνύμως ἀλληγορία καλεῖται· καθάπερ Ἀρχίλοχος μὲν ἐν τοῖς θρακικοῖς ἀπειλημμένος δεινοῖς, τὸν πόλεμον εἰκάζει θαλαττίῳ κλύδωνι· λέγων ὧδέ πως b).

Γλαῦκε ὅρα· βαθὺς γὰρ ἤδη κύμασι ταράσσεται
πόντος· ἀμφὶ δ' ἄκρα γύρεον ὄρπων ἵσταται νέφος·
σῆμα χειμῶνος. κιχάνει δ' ἐξ ἀελπτίης φόβος·

a) Od. α. 32. b) Cf. Plut. de superst., Brunck. anecd. veter. poet. T. I. 42. XIII.

ἐν ἱκανοῖς δὲ καὶ τὸν Μιτυληναῖον μελοποιὸν εὑρήσομεν ἀλληγοροῦντα· τὰς γὰρ τυραννικὰς ταραχὰς ἐξ ἴσου χειμερίῳ προσεικάζει καταστήματι. Θαλάσσης ἀσυνέτην· νὴ τῶν ἀνέμων στάσιν a).

Τὸ μὲν γὰρ ἔνθεν κῦμα κυλίνδεται·
τὸ δ' ἔνθεν· ἄμμες δ' ἂν τὸ μέσον ναῒ
φορήμεθα σὺν μελαίνα
χειμῶνι μοχθεῦντες μεγάλῳ· καλὰ
περάμεν γὰρ ἄντλος ἱστοπέδαν ἔχει·
λαῖφος δὲ πᾶν ζάδηλον ἤδη
καὶ λακίδες μεγάλαι. κατ' αὐτὸ
χολαῖσι δ' ἄγκυραι·

τίς οὐκ ἂν εὐθὺς ἐκ τῆς προτρεχούσης περὶ τὸν πόντον εἰκασίας, ἀνδρῶν πλωϊζομένων θαλάττιον εἶναι νομίσειε φόβον· ἀλλ' οὐχ' οὕτως ἔχει. Μύρσιλος γὰρ ὁ δηλούμενός ἐστι· καὶ τυραννικὴ κατὰ Μιτυληναίων ἐγειρομένη σύστασις· ὁμοίως δὲ τὰ ὑπὸ τούτου αἰνιττόμενος, ἑτέρωθί που λέγει b).

Τό δ' εὖτε κῦμα τῷ προτέρω νέμω στίχει·
παρέξει δ' ἄμμι πόνον πολὺν ἄντλην·

ἐπεὶ καὶ ναὸς ἐμβαίνει κατακόρως ἐν ταῖς ἀλληγορίαις ὁ νησιώτης θαλασσεύει· καὶ τὰ πλεῖστα τῶν διὰ τοὺς τυράννους ἐπεχόντων κακῶν πελαγείοις χειμῶσιν εἰκάζει· καὶ μὴν ὁ Τήϊος Ἀνακρέων ἑταιρικὸν φρόνημα καὶ σοβαρᾶς γυναικὸς ὑπεριφανίαν ὀνειδίζων, τὸν ἐν αὐτῇ σκιρτῶντα νοῦν ὡς ἵππον ἠλληγόρησεν· οὕτω λέγων·

c) Πῶλε Θρηϊκίη· τί δή με
λοξὸν ὄμμασι βλέπουσα,

a) Cf. Alcaei ed. F. Ursinii carm. poët. lyr., p. 102. Steph. fragm. lyr. p. 17., Walckenar. ad Ammon. p. 114. b) Steph. ib. etc. c) Carm. νή.

νηλεῶς φεύγεις· δοκέεις δέ
μ᾽ οὐδὲν εἰδέναι σοφόν·
ἴσθι τοι καλῶς μὲν ἄν τοι
τὸν χαλινὸν ἐμβάλοιμι·
ἡνίας δ᾽ ἔχων, στρέφοιμ᾽
ἀμφὶ τέρματα δρόμου·
νῦν δὲ λειμῶνάς τε βόσκεαι
κοῦφα τὲ σκιρτῶσα παίζεις
δεξιὸν γὰρ ἱπποπείρην
οὐχ᾽ ἔχεις ἐπεμβάτην·

Καθόλου μακρὸς ἂν, εἴην ἐπεξιὼν ἕκαστα τῶν παρὰ ποιηταῖς καὶ συγγραφεῦσιν ἠλληγορημένων· ἀπόχρη ὀλίγαις εἰκόσι τὴν ὅλην τοῦ πράγματος τεκμηριώσασθαι φύσιν· ἀλλ᾽ οὐδ᾽ αὐτὸς Ὅμηρος ἀμφιβόλοις ἔσθ᾽ ὅτε καὶ ζητουμέναις ἔτι ταῖς ἀλληγορίαις εὑρίσκεται χρώμενος, ἐν ἀρχῇ τὸν τρόπον ἡμῖν τῆς ἑρμηνείας παραδέδωκε τοῦτον· ἐν οἷς Ὀδυσσεὺς τὰ πολέμου καὶ μάχης κακὰ διεξιὼν φησίν·

a) Ἡ ὅτε πλείστην μὲν καλάμην χθονὶ χαλκὸς ἔχευεν·
ἀμητὸς δ᾽ ὀλίγιστος ἐπὴν κλίνησι τάλαντα
Ζεύς·

τὸ μὲν γὰρ λεγόμενον ἐστὶ γεωργία· τὸ δὲ νοούμενον μάχη· πλὴν ὅμως δι᾽ ἐναντίων ἀλλήλοις πραγμάτων τὸ δηλούμενον ἐπείπομεν·

Cap. 6. Ὁπότ᾽ οὖν συνήθης μὲν ἅπασι τοῖς ἄλλοις ὁ τῆς ἀλληγορίας τρόπος· ἠγνόηται δὲ οὐδὲ παρ᾽ Ὁμήρῳ, τί παθόντες ὅσα φαύλως ἔχειν δοκεῖ περὶ θεῶν, οὐ διὰ τοιαύτης ἀπολογίας θεραπεύσομεν· τάξις δέ μοι γενήσεται τῶν λόγων ἡ τῶν Ὁμηρικῶν ἐπῶν τάξις· ἐν ἑκάστῃ ῥαψῳδίᾳ διὰ λεπτῆς ἐπιστήμης ἐπιδεικνύντι τὰ περὶ θεῶν

a) Il. τ. 222.

ἠλληγορημένα· ὁ τοίνυν μιαρὸς αἰεὶ καὶ βάσκανος φθόνος, οὐδὲ τῆς πρώτης ἐν ἀρχῇ, πέφεισται· πολύς δ' αὐτῷ θρυλεῖται περὶ τῆς Ἀπόλλωνος ὀργῆς λόγος· ὅτι τοὺς οὐδὲ αἰτίους Ἕλληνας, οἱ μάτην ἀφεθέντες ὀϊστοὶ παρανάλωσαν· καὶ οὕτως ἄδικός ἐστιν ἡ τούτου μῆνις· ὥστ' ὁ μὲν ὑβρίσας Χρύσην Ἀγαμέμνων, οὐδὲν ἐξαίρετον ἔπαθεν· ὀφείλων εἴ περ ἠδίκει κολασθῆναι· οἱ δ' ἐπιβοήσαντες

a) Αἰδεῖσθαί θ' ἱερῆα καὶ ἀγλαὰ δέχθαι ἄποινα,

τῆς ἀγνωμοσύνης τοῦ μὴ πεπεισμένου γεγόνασι παρανάλωμα· πλὴν ἔγωγε τὴν ὑπολελημμένην ἐν τοῖς ἔπεσιν ἀλήθειαν ἀκριβῶς διαθρήσας, οὐκ Ἀπόλλωνος ὀργὴν οἶμαι ταῦτα· λοιμικῆς δὲ νόσου κακόν· οὐ θεόπεμπτον ἀλλ' αὐτόματον φθορὰν συστάντος τότε καὶ πολλαχῆ· ὥστε καὶ μέχρι τῶν δεῦρο χρόνων ἐκνέμεσθαι τὸν ἀνθρώπινον βίον· ὅτι μὲν τοίνυν ὁ αὐτὸς Ἀπόλλων ἡλίῳ· καὶ θεὸς εἷς δυσὶν ὀνόμασι κοσμεῖται, σαφὲς ὑμῖν εἴ τε τῶν μυστικῶν λόγων οὓς αἱ ἀπόῤῥητοι τελεταὶ θεολογοῦσι· καὶ τὸ δημῶδες ἄνω καὶ κάτω θρυλούμενον· ἥλιος Ἀπόλλων· ὁ δέ γε Ἀπόλλων ἥλιος·

Cap. 7. Ἠκρίβωται δ' ἡ περὶ τούτων ἀπόδειξις καὶ Ἀπολλοδώρῳ περὶ πᾶσαν ἱστορίαν ἀνδρὶ δεινῷ· τοῦτ' ἔγωγε τὴν ἐπὶ πλέον ἐξεργασίαν καὶ ἀκαίρου λόγου περιττὸν ὑπερθήσομαι μῆκος· ἐκεῖνο δ' ὃ ἐκ τῆς ἡμετέρας εἰκασίας ἀναγκαῖον εἰπεῖν οὐ παρήσω· δεικνὺς ὅτι καὶ καθ' Ὅμηρον αὐτός ἐστιν Ἀπόλλων καὶ ἥλιος· τοῦτο δ' εἰ λεπτῶς ἐθέλει σκοπεῖν τις ἐξ ἁπάντων εὑρήσει τῶν ἐπιθέτων γνώριμον· ἀμέλει Φοῖβον αὐτὸν εἴωθε συνεχῶς ὀνομάζειν· οὐ μὰ Δία οὐκ ἀπὸ Φοίβης ἣν Λητοῦς φασιν εἶναι μητέρα· σύνηθες γὰρ Ὁμήρῳ τοῖς πατρόθεν ἐπιθέτοις χρῆσθαι·

a) Il. α. 23.

τὰ δ' ἐκ μητέρων, οὐκ ἂν εὕροι τις ὅλως παρ' αὐτῷ. Φοῖβον οὖν, ἀπὸ τῶν ἀκτίνων λαμπρὸν αὐτὸν ὀνομάζει· τὸ μόνον ἡλίῳ προσὸν ἐξ ἴσου Ἀπόλλωνι· a) καὶ μὴν οὐδ' ἑκάεργον εἰκός ἐστιν ἑκαέργης ὁμώνυμον εἶναι τῆς ἐξ Ὑπερβορέων ἀπαρχὰς ἐπίδηλον ἐνεγκούσας· ἀλλ' ἐστιν ἐτύμως ἑκάεργος, ὁ τὰ ἕκαθεν ἐργαζόμενος· τουτέστιν ὁ ἥλιος πόῤῥωθεν ὁ ἀφεστὼς τῆς ἡμετέρας γῆς· ὡρῶν ειων γεωργὸς εὐκαίρως ἐφίσταται τῇ γῇ χειμῶσιν ἀντιμετρῶν καὶ πρωτοῦ τε καὶ σπορᾶς ἀμητοῦ τε καὶ τῶν κατὰ γεωμορίαν ἔργων αἴτιος ἀνθρώποις γενόμενος· b) λυκηγενέτην δὲ προσηγόρευσεν αὐτὸν, οὐχ ὡς ἐν Λυκίᾳ γεγεννημένον· ἔξω γὰρ οὖν τῆς ὁμηρικῆς ἀναγνώσεως οὗτος ὁ νεώτερος μῦθος· ἀλλ' ὥς περ οἶμαι c) τὴν ἡμέραν ἠριγένειαν ὀνομάζει τὴν τὸ ἦρ γεννῶσαν ὅπερ ἐστιν ὄρθρον, οὕτω λυκηγενῆ προσηγόρευσε τὸν ἥλιον· ἐπειδὴ τοῦ κατὰ τὴν αἴθριον ὥραν λυκαυγοῦς, αὐτός ἐστιν αἴτιος· ἢ ὅτι τὸν λυκάβαντα γεννᾷ τουτέστι τὸν ἐνιαυτόν· ὅρος γὰρ ἐτησίου χρόνου διαδραμὼν ἥλιος ἐν μέρει τὰ δώδεκα ζώδια· καὶ μὴν χρυσάορον αὐτὸν ὠνόμασεν. οὐχ ὡς ὑπεζωσμένον χρυσοῦν ξίφος· ἀνοίκιον γὰρ Ἀπόλλωνι τὸ ὅπλον· τοξότης γὰρ ὁ θεός· ἀλλ' ἐπειδήπερ ἐξ ἀνατολῶν χρυσῷ μάλιστα τὸ φέγγος ὁραθὲν ἔοικεν, εὑρέθη πρέπον ἐπίθετον ἡλίῳ διὰ τὰς ἀκτῖνας ὁ χρυσάορ· d) ὅθεν οἶμαι κἀν τῇ θεομαχείᾳ Ποσειδάων ἵσταται διαμιλλώμενος· ἀεὶ γὰρ ἄπιστος ἔχθρα πυρὶ καὶ ὕδατι τῶν δύο στοιχείων ἐναντίαν προσάλληλα φύσιν ἀποκεκληρωμένων· διατοῦθ' ὁ Ποσειδῶν ὑγρά τις ὕλη καὶ περὶ τὴν πόσιν οὕτως ὠνομασμένος, ἐξ ἀντιπάλου μάχεται ταῖς διαπύροις ἀκτῖσι τοῦ ἡλίου· πρὸς γὰρ Ἀπόλλωνα ποίαν ἔχει πρόφασιν ἐξαίρετον ἀπεχθείας;

a) Il. α. 47. b) Il. δ. 101. 119. c) Il. α. 477. d) Il. υ. 67.

Cap. 8. Ταῦτα τοίνυν εἰρήσεται, ἀνθ' ὅτου ποτὲ τὸν αὐτὸν ἀπεφηνάμην ἥλιον Ἀπόλλωνι· καί τι πειρώμενος κατασκευάζειν· αἱ λοιμικαὶ νόσοι τὴν μεγίστην ἔχουσι τῆς φθορᾶς πρόφασιν τὸν ἥλιον· ὅταν μὲν γὰρ ἡ θέρειος αὐτὸν μαλακὴ καὶ πραεία δι' εὐκράτου τῆς ἀλέας ἡσυχῆ διαθάλπεται σωτήριον ἀνθρώποις ἐπιμειδιᾷ φέγγος, αὐχμηρὰ δὲ καὶ διάδυρος ἐκκαεῖσα, νοσηροὺς ἀπὸ γῆς ἀτμοὺς ἀφέλκεται· κάμνοντα δὲ τὰ σώματα καὶ διὰ τὴν ἀήθη τοῦ περιέχοντος τροπὴν νοσοῦντα, λοιμικοῖς πάθεσιν ἀναλοῦται· τῶν δ' ὀξέων συμφορῶν αἴτιον Ὅμηρος ὑπεστήσατο τὸν Ἀπόλλωνα· διαῤῥήδην τοῖς αἰφνιδίοις θανάτοις ἐπιγράφων τὸν θεόν· φησὶ γάρ·

a) Ἐλθὼν ἀργυρότοξος Ἀπόλλων Ἀρτέμιδι ξύν·
οἷς ἀγανοῖσι βέλεσσιν ἐπιχόμενος κατέπεφνεν·

ἐπειδήπερ οὖν ἕνα μὲν καὶ τὸν αὐτὸν ὑπίσταται τῷ Ἀπόλλωνι τὸν ἥλιον· ἐκ δὲ τοῦ ἡλίου τὰ τοιαῦτα τῶν παθημάτων συνίσταται, φυσικῶς ἐπέστησε τῷ λοιμῷ τὸν Ἀπόλλωνα· καὶ ὅτι καθ' ὃν καιρὸν συνέβαινε τοὺς Ἕλληνας ἐν τῷ λοιμῷ νοσεῖν θέρειος ἦν ὁ καιρός, ἤδη πειράσομαι δικάσειν· ὥς τε οὐκ ὀργὴν Ἀπόλλωνος· ἀλλ' αὐτομάτου φθορὰν ἀέρος εἶναι τὸ συμβεβηκός· αὐτίκα τῶν ἡμερῶν τὸ μῆκος εἰς πλείστην ἀμετρίαν ἐκτεινόμενον, ἐλέγχει τὴν ἀκμὴν τοῦ θέρους·

b) ὅτε τ' ἤματα μακρὰ πέλονται·

μία γὰρ ἀπὸ τῆς Ἀγαμέμνονος ἀριστείας ἐπὶ τὴν Ἀχιλλέως ἄνοπλον ἔξοδον ἡμέρα παρατείνεται· καὶ τὸ μεῖζον οὐδ' ὁλόκληρος·

c) Ἠέλιον γὰρ ἀκάμαντα βοῶπις πότνια Ἥρη
πέμψεν ἐπ' ὠκεανοῖο ῥοὰς ἀέκοντα νέεσθαι·

a) Od. ο. 409. b) Od. σ. 366. c) Il. σ. 239.

χρεοκοπήσασα τῶν ὑπολειπομένων ὡρῶν οὐκ ὀλίγον οἶμαι μέρος·

Cap. 9. Αἱ δὲ μεταξὺ πράξεις εἰς ὀκτὼ ῥαψῳδίας μερίζονται· καὶ πρώτη μὲν a) ἡ ἐπὶ διάδι μάχη· πολλὰς ἀνδραγαθίας ἑκατέρων ἐμπεριέχουσα· μετ' αὐτὴν δὲ, b) ἡ παρὰ τοῖς ἑλληνικοῖς τείχεσι· c) καὶ τρίτην προςτίθημι τὴν ἐπὶ ναυσὶ μάχην· ἄχρι τῆς ἀναιρέσεως Πατρόκλου· καὶ τῆς δι' ἐκεῖνον Ἀχιλλέως ἐξόδου· πλὴν ὅμως τὸν ἀριθμὸν οὕτω πολὺν ὄντα τῶν ἔργων, οὐκ ἄπιστον ἡ θέρειος ὥρα πεποίηκεν· αἵ τε νύκτες ἥκιστα χειμέριοι· πῶς ἂν, κρύους ἐτόλμησεν Ἕκτωρ ταῖς ἀχαϊκαῖς ἐπινυκτερεῦσαι ναυσίν· d) οὐ δ' ἂν, αὐλῶν συρίγγων τ' ἐνοπὴ διὰ τοῦ βαρβαρικοῦ στρατεύματος ἐπανηγυρίζετο· στιβὰς γὰρ ἐλεεινὴ καὶ στρατόπεδα τοῖς πολεμοῦσι χειμῶνος εὐτρεπίζεται. τῶν δ' ὑπαίθρων ἀγώνων ἐκτός εἰσιν· ὡς τ' ἐκ ἂν, Ἕκτωρ τὴν πόλιν ἐκλιπὼν ἐν ᾗ μετ' ἀσφαλείας διέτριβεν· ἐλθὼν ἂν, ἐπὶ τῇ θαλάττῃ γυμνὰ τὰ στρατεύματα καθίδρυσε· πῶς δὲ τῶν κατὰ συμμαχίαν ἐληλυθότων ἕκαστος οὕτω ῥιψοκίνδυνος ἦν, ὡς παρ' ὥραν ἐφεδρεύειν τοῖς πολεμίοις· καὶ μάλιστα τῆς Ἴδης ὑπερκειμένης ὄρους δυσχειμέρου· καὶ ῥεῖθρα ποταμῶν ἄπειρα πηγαζούσης· ἐκρήγνυνται γὰρ ἀπὸ τῶν κατὰ μέρη λαγόνων·

e) Ῥῆσός θ' Ἑπτάπορός τε Κάρησός τε Ῥοδιός τε
Γρήνικός τε καὶ Αἴσηπος δῖος τε Σκάμανδρος
καὶ Σιμόεις·

οἱ δίχα τῶν ἀπ' οὐρανοῦ φερομένων ὑετῶν ἱκανοὶ τὸ πεδίον ἦσαν ἐκλιμνάσαι· φέρε δ' οὖν ὑπ' ἀναισθησίας τοὺς βαρβάρους τὸ ἀσύμφορον ἑλέσθαι τί ποιεῖν ἀντί τινος·

a) Il. λ. 166. b) Il. μ. ν. ξ. c) Il. ο. π. ρ σ. d) Il. κ. 12.
e) Il. μ. 20.

οἱ πάντα φρονήσει διαφέροντες Ἕλληνες ἐπιλεξάμενοι τοὺς ἀρίστους, ἐπὶ τὴν κατασκοπὴν νύκτωρ ἀποπέμπουσιν. ἵν' ἐκ τοῦ κατορθῶσαί τι τηλικοῦτον ὠφεληθῶσιν, ὁπόση βλάβη διαμαρτόντων ἀπήντα. νιφετὸς γὰρ εἷς καὶ χειμερίων ὑδάτων ἐπομβρία, ῥαδίως ἂν ἀμφοτέρους κατέκλυσεν· ἐγὼ μὲν γὰρ αὐτὴν νομίζω τὴν ἀπὸ τῆς πόλεως ἔξοδον ἐπὶ τὴν μάχην, οὐκ ἄλλου τινος εἶναι καιροῦ σημεῖον ἢ θέρους. ἅπας γὰρ ἀναπαύεται πόλεμος ἐν χειμῶνι· καὶ τὴν πρὸς ἀλλήλους ἐκεχειρίαν ἄγουσιν· οὐθ' ὅπλα δυνάμενοι βαστάζειν, οὔτε τὰς πολεμικὰς ὑπηρεσίας φέρειν· πῶς γὰρ ἢ διῶξαι ῥᾴδιον ἢ φυγεῖν· πῶς δ' ἄν, αἱ χεῖρες εὐστοχείᾳ βάλλοιεν ὑπὸ τοῦ κρύους δεδεμέναι· θέρει δὲ τῷ μεσαιτάτῳ τὰ πλήθη τέτραπται πρὸς τὴν μάχην· καὶ τοῦθ' ὅτι τοιοῦτόν ἐστιν, ἀπ' οὐδεμιᾶς εἰκασίας ἀλλ' ἐναργῶς σκεπτέον·

Cap. 10. Μετὰ γὰρ τὴν στρατηγικὴν Ἀγαμέμνονος διάπειραν, ἐξαναστάντες οἱ Ἕλληνες ἐπὶ τὰς ναῦς κατατρέχουσιν·

a) ὑπὸ δ' ᾔρεον ἕρματα νηῶν·

οὐ δήπου ἢ κατὰ πρώραν ἐναντίων ἑστηκότων ἀνέμων· οὐ δ' ἀπειλούσης τῆς θαλάττης· τίς γὰρ ἄν, ἦν κυβερνήτης ἐπὶ πρόδηλον οὕτω κίνδυνον ἐξιοῦσιν· ἄλλως τε μήδ' ὀλίγην περαιοῦσθαι μέλλουσιν αὐτοῖς θάλασσαν· οὐ γὰρ εἰς Τένεδον ἀπῆρον· οὐδ' ἐπὶ Λέσβου καὶ Χίου παρευτρεπίζοντο τὸν πλοῦν· ἡ δ' Ἑλλὰς ἀπῴκιστο πόῤῥω καὶ τὸ πέλαγος ἦν χαλεπόν· ὃ καὶ θέρους ποτὲ πλέοντες ἐσφάλησαν· ἔτι τοίνυν φερομένων ἀπὸ τῆς ἐκκλησίας αὐτῶν, ἐγείρεται δαψιλὴς νόνις·

b) οἱ δ' ἀλαλητῷ

a) Il. β. 134. b) Il. β. 149.

νῆας ἐπεσσεύοντο· ποδῶν δ' ὑπένερθε κονίη
ἵστατ' ἀειρομένη·

τίνι τρόπῳ τῆς γῆς ἔτι διάβροχον ἐχούσης τοὔδαφος· ἔν τε ταῖς ἑξῆς παρατάξεσιν εἴωθε συνεχῶς λέγειν,

a) λευκοὶ ὕπερθε γένοντο κονισσάλῳ· ὅν ῥα δι' αὐτῶν.
οὐρανὸν ἐς πολύχαλκον ἐπέπληγον πόδες ἵππων·

τί δ' ἐπὶ τοῦ τετρωμένου Σαρπηδόνος οὐ ῥιπὴ βόρειος

b) ζώγρει ἐπιπνείουσα, κακῶς κεκαφηότα θυμὸν

ἀναψύξεως δεομένου τοῦ σώματος ἐν ἀέρι διαπύρῳ· καὶ πάλιν ἑτέρωθί που·

c) δίψῃ καὶ καρχαλέοι κεκονιζόμενοι ἐκ πεδίοιο·

καὶ d) ἱδρῶ ἀπεψύχοντο πίον τ' ἀκέοντό τε δίψαν·

ἅπερ ἐν χειμῶνι μὲν ἀμήχανα συμβῆναί τινι· θέρους δὲ μαχομένοις ἦν ἀλεξήματα· τί δεῖ τὰ πολλὰ μηκύνειν· σχεδὸν γὰρ ἀπόχρη κἂν εἴ τι τῶν εἰρημένων ἐναπεδείξαμεν ἐκφῆναι τοῦ ἔτους τὸν καιρόν·

e) καίοντο πτελέαι τε καὶ ἰτέαι ἡ δὲ μυρῖκαι·
καίετο δὲ λωτός τε ἰδὲ θρύον ἡ δὲ κύπειρον·

Cap. 11 Εἰ δὲ θέρος μὲν, ὁμολογεῖται κατ' ἐκεῖνον εἶναι τὸν χρόνον· αἱ δὲ νόσοι περὶ τὴν θέρειον ὥραν συνίστανται· τῶν δὲ λοιμικῶν παθημάτων προστάτης Ἀπόλλων, τί λοιπὸν ἢ δοκεῖν τὸ συμβεβηκὸς οὐ θεοῦ μῆνιν ἀλλὰ συντυχίαν ἀέρος γενέσθαι· σφόδρα γοῦν πιθανῶς Ἡρόδικος ἀποφαίνεται· μηδ' ὅλην τὴν δεκαετίαν ἐν Ἰλίῳ μεμενηκέναι τοὺς Ἕλληνας· ἀλλ' ἐπὶ τέλει τοῦ καθειμαρμένου χρόνου τῆς ἁλώσεως ἐληλυθέναι· καὶ γὰρ ἦν ἄλογον εἰδότας ἐξ ὧν προεῖπεν ὁ Κάλχας· ὅτι τῷ δεκάτῳ πόλιν αἱρήσουσιν εὐρυάγυιαν· ἐπ' οὐδενὶ χρησίμῳ τοσοῦ-

a) Il. ε. 503. b) Il. ε. 698. c) Il. φ. 541. d) Il. χ. 2. e) Il. φ. 350.

των ἐτῶν ἀργίαν ἀναλίσκειν· ἀλλ' εἰκὸς ἐν τοῖς μεταξὺ καιροῖς περιπλέοντας ἄνω καὶ κάτω τὴν Ἀσίαν, ἅμα τάς τε πολεμιστηρίους ἀσκήσεις ὑπογυμνάζειν· καὶ λαφύρων τὸ στρατόπεδον ἐμπιπλάναι· τοῦ δεκάτου δ' ἐνστάντος ἔτους ἐν ᾧ πεπρωμένον ἦν τὸ τῆς ἁλώσεως τέλος, ἀθρόους καταχθῆναι· κοῖλα δ' αὐτοὺς τενάγη καὶ τόπος ἑλώδης ἐξεδέχετο· καὶ διὰ τοῦτο θέρους ἐνστάντος, ἡ λοιμικὴ νόσος ἐγκατέσκηψε·

Cap. 12. Νῦν τοίνυν καὶ τὰ κατὰ μέρος εἰρημένα περὶ τῆς νόσου διασκεψώμεθα· σχεδὸν γὰρ ἅπαντα συνάψει τοῖς ὑφ' ἡμῶν λεγομένοις· καὶ πρώτην γε φυσικὴν ὑπεστήσατο τὴν φερομένην ἀπὸ τῶν ὀϊστῶν φωνήν· οὐ μὰ Δί', οὐ μυθικῶς βέλη φθεγγόμενα τερατευόμενος· ἀλλ' ἔστιν ἐν τῷ στίχῳ θεωρία φιλόσοφος·

a) ἔκλαγξαν δ' ἄρ ὀϊστοὶ ἐπ' ὤμων χωομένοιο
αὐτοῦ κινηθέντος·

εἰσὶ γὰρ εἰσί τινες οὐράνιοι μεθ' ἁρμονίας ἐμμελεῖς ἦχοι κατὰ τὴν ἀΐδιον φορὰν ἀποψαλλόμενοι· μάλιστα δὲ τῆς ἡλιακῆς περιόδου συντόνως φερομένης· οὐ γὰρ δή που ῥάβδῳ μὲν ὑγρᾷ πλήξας τίς εἰκῆ τὸν ἀέρα· καὶ λίθον ἀπὸ σφενδόνης ἀφεὶς ῥοίζους ἀποτελεῖ, καὶ συριγμοὺς οὕτω βαρύφθογγον· τηλικούτων δὲ σωμάτων ἡ κυκλοπόρος βία δρόμοις ἀπ' ἀνατολῶν εἰς δύσιν ἁρματηλατουμένη μεθ' ἡσυχίας τὸν σφοδρὸν ὁδοιπορεῖ νόμον· τούτους δὲ διηνεκῶς οὐρανῷ τελουμένους φθόγγους, ἀγνοοῦμεν ἢ διὰ τὴν ἀπὸ πρώτης γονῆς συνήθειαν ἐνδεχῶς ἐνοικοῦσαν ἡμῖν, ἢ διὰ τὴν ἄμετρον ὑπερβολὴν τοῦ διαστήματος· ἐκλυομένου τοῦ ψόφου τῷ διείργοντι μέτρῳ· καὶ τοῦθ' ὅτι τοιοῦτόν ἐστιν, ὁ φυγαδεύων Ὅμηρον ἐκ τῆς ἰδίας πολιτείας συ-

a) Il. α. 46.

γκαταινεῖ Πλάτων οὕτω λέγων· ἔτι δὲ τῶν κύκλων αὐτοῦ ἄνωθεν ἐφ' ἑκάστου βεβηκέναι σειρῆνα συμπεριφερομένην, φωνὴν μίαν ἱεῖσαν ἕνατον· ἁπασῶν δ' ὀκτὼ οὐσῶν, μίαν ἁρμονίαν συμφωνεῖν· ὁμοίως δὲ καὶ ὁ Ἐφέσιος Ἀλέξανδρος ἐπεξελθὼν ὅπως κατὰ τάξιν οἱ πλάνητες ἀστέρες ὁδεύουσιν, ἐπάγει περὶ τῶν ἑκάστου φθόγγων·

πάντες δ' ἑπτὰ τόνοιο λύρης φθόγγοισι συνῳδεῖν
ἁρμονίην προσέχουσι· διαστὰς ἄλλος ἐπ' ἄλλου

δι' ὧν ἂν εἴη γνώριμον ὡς οὐ κωφὸς οὐδ' ἄφθογγος ἐστὶν ὁ κόσμος·

Cap. 13. Ἀρχὴ δὲ ταύτης τῆς δόξης Ὅμηρος εἰπὼν τὰς ἡλιακὰς ἀκτῖνας ἀλληγορικῶς βέλη. προσθεὶς δ' ὅτι φερόμεναι διὰ τοῦ ἀέρος ἔγκλαξαν ἰδίαν ἔνθεόν τινα φωνήν· τὰ κοινὰ δὲ τῶν φθόγγων παραστήσας, ἐπὶ τὸ ἴδιον εὐθὺς τοῦ λόγου μετέβη· προσθεὶς,

a) ὁ δ' ἤϊε νυκτὶ ἐοικώς·

οὐ γὰρ ἀκήρατον φῶς· οὐδ' ἀμιγὲς ἀχλύος μελαίνης ὑφίσταται τὸ τοῦ ἡλίου· νυκτί δ' αὐτὸν ἐθόλωσεν ὁποία σχεδὸν εἴωθεν ἐν τοῖς λοιμικοῖς πάθεσιν ἐπιπροσθεῖν τῷ δι' ἡμέρας φέγγει. πῶς γε μὴν τοξάζειν ἐσπουδακὼς Ἀπόλλων·

b) ἕζετ' ἔπειτ' ἀπάνευθε νεῶν μετὰ δ' ἰόν ἕηκεν·
δεινὴ δι' κλαγγὴ γένετ' ἀργυρέοιο βιοῖο·

εἰ γὰρ οὖν δι' ὀργὴν ἐτόξευεν, ἐγγὺς ἔδει τιτρωσκομένοις ἑστάναι τὸν βάλλοντα· νῦν δ' ἀλληγορῶν τὸν ἥλιον, εἰκότως ἄπωθεν αὐτοῦ τὴν φορὰν τῆς λοιμικῆς ἀκτῖνος ὑπεστήσατο·

Cap. 14. Καὶ μὴν ἐναργέστατον ἐπιφέρει μετὰ τοῦτο σημεῖον εἰπών·

c) οὐρῆας μὲν πρῶτον ἐπῴχετο καὶ κύνας ἀργούς·

a) Il. κ. 47. b) Il. κ. 48. c) Il. α. 50.

οὐ γὰρ οὕτως ἄκριτον ἦν παρανάλωμα τῆς Ἀπόλλωνος ὀργῆς τὰ ἄλογα τῶν ζώων· οὐ δ' ἄν, ὁ θυμὸς ἀφρόνως ἡμιόνοις ἐνήκμαζε καὶ κυσίν· ὡς τὸ Θρακικὸν ἀνδράποδον Ὁμήρου κατεξανίσταται· λέγω δὲ τὸν ἀμφιπολίτην Ζωΐλον ἄνω καὶ κάτω τοιούτους τινὰς λήρους φληναφοῦντα· Ὅμηρος δὲ καὶ σφόδρα φυσικῶς τὴν περὶ τὰ λοιμικὰ τῶν παθημάτων συντυχίαν διὰ τούτου παρίστησιν· αἱ γὰρ ἐμπειρίαι ἰατρικῆς τε καὶ φιλοσοφίας ἔχουσαι δὶ ἀκριβοῦς παπαρατηρήσεως, ἔγνωσαν ἐν ταῖς λοιμικαῖς νόσοις τὸ δεινὸν ἀπὸ τῶν τετραπόδων ζώων ἀρχόμενον· κατ' ἄμφω δ' ἡ πρόφασις ἐστιν εὔλογος ὥς τ' εὐάλωτα πρὸς τὸ δεινὸν εἶναι· τῆς τε γὰρ διαίτης τὶ ἀκρυβὲς θηρᾶται· δι' ἣν ἀταμιεύτως σιτίων τὲ καὶ ποτῶν πιμπλάμενα διαφθείρεται· μηδενὸς λογισμοῦ τὴν ἐπὶ τὸ πλεῖον ὁρμὴν χαλινοῦντος· ἔπειθ' ὃ καὶ μᾶλλον ἀληθές ἐστιν, οἱ μὲν ἄνθρωποι μεταρσίοις ταῖς ἀναπνοαῖς τὸν καθαρώτατον ἕλκοντες ἀέρα, βραδύτερον ἁλίσκονται τῷ πάθει· τὰ δ' ἐπὶ γῆς ἐῤῥιμένα ζῶα, τοὺς νοσώδεις ἐκεῖθεν ἀτμοὺς εὐμαρέστερον ἕλκει· πάνυ γε μὴν ἀληθῶς οὐκ ἐν ἀρτίοις ἡμέραις τὴν ἀπαλλαγὴν τῆς νόσου δεδήλωκεν, ἀλλ' ἐν περιτταῖς·

a) ἐννῆμαρ μὲν ἀνὰ στρατὸν ᾤχετο κῆλα θεοῖο·

μάλιστα γὰρ ἐν τῇ παρ' ἕκαστα πείρᾳ γνώριμόν ἐστι τοῦθ' ὅτι κρίσιμοι τῶν σωματικῶν παθημάτων αἱ περιτταὶ γίγνονται τῶν ἡμερῶν·

Cap. 15. Αὐτὴρ δ' Ἀχιλεὺς τῆς νόσου·

b) Χείρων γὰρ αὐτὸν ἐδίδαξε
δικαιότατος Κενταύρων·

ὃς πάσῃ μὲν ἐκέκαστο σοφίᾳ· περιττὸς δὲ ἦν τὴν ἰατρικήν· ὅπου γνώριμον αὐτῷ φασιν εἶναι καὶ Ἀσκληπιόν. προσέ-

a) Il. α. 53. b) Il. λ. 831.

θηκε δ' Ἀχιλλεῖ θεραπεύοντι φησικῶς ἀλληγορήσας θεὰν Ἥραν·

a) τῷ γὰρ ἐπὶ φρεσὶ θῆκε θεὰ λευκώλενος Ἥρη·

δύο γὰρ ὄντων κατὰ τοὺς φυσικοὺς τῶν πνευμάτων ϛοιχείων αἰθέρος τὲ καὶ ἀέρος, τὸν μὲν Δία, τὴν πυρώδη φαμὲν οὐσίαν· ἡ δὲ Ἥρα, μετ' αὐτόν ἐστιν ἀὴρ μαλακώτερον στοιχεῖον διὰ τοῦτο καὶ θῆλυ· τὰ δ' ἀκριβῆ περὶ τούτου διαλεξόμεθα μικρὸν ὕστερον· νῦν δ' ἀπόχρη τοσȣ̃τον εἰπεῖν ὅτι τȣ̃ πάλαι θολερȣ̃ διαχυθέντος ἀέρος, αἰφνιδίως διεκρίθη τὸ συμβάν· οὐδὲ γὰρ εὐλόγως λευκώλενον εἶπε τὴν Ἥραν. ἀλλ' ἀπὸ τȣ̃ συμβεβηκότος· ὅτι τῇ νυκτὶ προσεοικυῖαν ἀχλὺν ὁ λευκὸς ἀὴρ ἐπὶ καθαρώτερον ἐλάμπρυνεν. εἶτ' ἀνεθὲν τῆς νόσȣ τὸ ἑλληνικὸν πλῆθος ἐπὶ τὸν συνήθη τοῖς ἀπηλλαγμένοις ὁδὸν ἐτράπη· λέγω δὲ τοὺς ὀνομαζομένους ἀποτροπιασμούς τε καὶ καθαρμούς·

b) οἱ δ' ἀπελυμαίνοντο καὶ εἰς ἅλα λύματ' ἔβαλλον·

Cap. 16. Δοκεῖ δέ μοι καὶ Ὀδυσσεὺς οὐδένα ἄλλον ἢ τὸν ἥλιον ἱλάσκεσθαι δι' ἧς προςηνέγκατο θυσίας· ἀμέλει

c) πανημέριοι μολπῇ θεὸν ἱλάσκοντο·
ἦμος δ' ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθε,
δὴ τότε κοιμήσαντο παρὰ πρυμνήσια νηός·

πέρας γάρ ἐϛι τῆς εὐσεβείας ἡ δύσις· ἕως ἀκούοντα καὶ βλέποντα τὸν θεὸν ἐτίμων· μηκέτι δ' αὐτοῦ τοῖς τελουμένοις παρεῖναι τολοιπὸν δυναμένου· τὸ τῆς ἑορτῆς πέπαυται· πρός γε μὴν βαθὺν τὸν ὄρθρον ἀναχθέντων, φησὶν ὁ ποιητής·

d) τοῖσι δ' ἴκμενον οὖρον ἵει ἑκάεργος Ἀπόλλων·

τὸ περὶ τὸν ἥλιον ἐσπȣδακὼς ἰδίωμα δηλοῦν· ἄχρι γὰρ

a) Il. α. 53. b) Il. α. 314. c) Il. α. 472. seqq. d) Il. α. 479.

οὐδέπω φλογώδης οὐδ' ἔμπειρος ἐπὶ μεσημβρίαν ὁ δρόμος αὐτοῦ νένευκεν, ἡ δροσώδης ἰκμὰς ὑγρὸν τὸ περιέχον ἀφεῖσα, ἀμυδρὰ καὶ νωθῆ παραπέμπεται τὰ πρὸς ἕω πνεύματα· διατοῦτο τὸ ὄρθριον ὁ ἥλιος αὐτοὺς ἐναυστόλησεν. ἱκανὸν ἀποστείλας ἄνεμον τὸν ἐκ τῆς ἰκμάδος πνέοντα· τὴν μὲν οὖν πρώτην ἀλληγορίαν ἐπεδείξαμεν, οὐ θυμὸν Ἀπόλλωνος ὀργισαμένου μάτην· ἀλλὰ φυσικῆς θεωρίας φιλοσοφοῦσαν ἔννοιαν·

Cap. 17. Ἐφεξῆς δ' ἡμῖν σκεπτέον ὑπὲρ τῆς ἐφισταμένης Ἀθηνᾶς Ἀχιλλεῖ·

a) ἕλκετο γὰρ ἐκ κολεοῖο μέγα ξίφος ἦλθε δ' Ἀθήνη
οὐρανόθεν· πρὸ γὰρ ἧκε θεὰ λευκώλενος Ἥρη·
ἄμφω ὁμῶς θυμῷ φιλέουσά τε κηδομένη τε·
στῆ δ' ὄπιθεν· ξανθῆς δὲ κόμης ἕλε Πηλείωνα·
οἴῳ φαινομένη τῶν δ' ἄλλων οὔ τις ὁρᾶτο·
θάμβησε δ' Ἀχιλεὺς μετὰ δ' ἐτράπετ' αὐτίκα δ' ἔγνω·
Παλλάδ' Ἀθηναίην· δεινὼ δέ οἱ ὄσσε φάανθεν·

τὸ μὲν γὰρ πρόχειρον ἐκ τῶν λεγομένων ἔστιν εἰπεῖν· ὅτι μεταξὺ τοῦ σπωμένου σιδήρου· θεὰ παντὸς ὀξυτέρα τάχους τὴν οὐράνιον ἐκλυποῦσα διατριβὴν, ἐμποδὼν ἔστη τῇ μιαιφονίᾳ· πάνυ γραφικῷ σχήματι τῆς κόμης ἀπρὶξ ὄπισθεν Ἀχιλλέως λαβομένη· λαμπρά γε μὴν καὶ λίαν φιλόσοφον ὑφεδρεύει τοῖς νοουμένοις κατ' ἀλληγορίαν ἐπιστήμη· πάλιν οὖν ὁ πρὸς Ὅμηρον ἀχάριστος ἐν τῇ πολιτείᾳ Πλάτων ἐλέγχεται διὰ τούτων τῶν ἐπῶν τὸ περὶ τῆς ψυχῆς δόγμα νοσφισάμενος ἀπ' αὐτοῦ· τὴν γὰρ ὅλην ψυχὴν διῄρηκεν εἰς γένη δύο· τό, τε λογιστικὸν καὶ τὸ ἄλογον ὑπ' αὐτοῦ προσαγορευόμενον· τοῦ δὲ ἀλόγου μέρους, ἰδικωτέραν ὑφίσταται διαίρεσιν εἰς δύο μερίζων· καὶ τὸ μὲν. ἐπιθυμητικὸν

a) Il. α. 194.

ὀνομάζει· τὸ δ' ἕτερον θυμοειδές· καὶ καθάπερ δὲ οἴκους τινὰς ἑκάστῳ μερίζει καὶ διατριβὰς ἐν τῷ σώματι διένειμεν· τὸ μὲν οὖν λογικὸν τῆς ψυχῆς, ἀκρόπολίν τινα τὴν ἀνωτάτω τῆς κεφαλῆς μοῖραν εἰληχέναι νομίζει· πᾶσι τοῖς αἰσθητηρίοις ἐν κύκλῳ δορυφορούμενον· τοῦ δ' ἀλόγου μέρους, ὁ μὲν θυμὸς οἰκεῖ περὶ τὴν καρδίαν· αἱ δὲ τῶν ἐπιθυμιῶν ὀρέξεις, ἐν ἥπατι· ταῦτα δὲ ἀλληγορικῶς ἐν τῷ Φαίδρῳ προσωμοίωσεν ἵπποις τὲ καὶ ἡνιόχῳ· διαῤῥήδην λέγων· ὁ μὲν τοίνυν αὐτῶν ἐν τῇ καλλίονι στάσει ὤν, τό τ' εἶδος ὀρθὸς καὶ διηρθρωμένος· ὑψαύχην· ἐπίγρυπος· λευκὸς ἰδεῖν· μελανόμματος· τιμῆς ἐραστής· μετὰ σωφροσύνης τὲ καὶ αἰδοῦς· δόξης ἑταῖρος· ἄπληκτος· κελεύσματι καὶ λόγῳ μόνῳ ἡνιοχεῖται· ταῦτα μὲν περὶ θατέρου μέρους τῆς ψυχῆς. περὶ δὲ τοῦ λοιποῦ φησίν· ὁ δ' αὖ σκολιός· πολύς· εἰκῇ συμπεφορημένος· κρατεραύχην· πολυτράχηλος· σιμοπρόσωπος· μελανόχρως· γλαυκόμματος· ὕφαιμος· ὕβρεως καὶ ἀλαζονείας ἑταῖρος· περιωτάλσιος· ὑπόκωφος· μάστιγι μετὰ κέντρου μόλις ὑπείκων. τὸ μέν τοι λογικὸν μέρος τῆς ψυχῆς ὃ ἐν τῇ κεφαλῇ, καθίδρυτο, τῶν ὅλων πεποίηκεν ἡνίοχον· οὑτωσὶ λέγων· περὶ δὲ τοῦ κυριωτάτου παρ' ἡμῖν ψυχῆς εἴδους, διανοεῖσθαι δεῖ τῇδε· ὡς ἄρα αὐτὸ δαίμονα θεὸς ἑκάστῳ δέδωκε τοῦτο· ὃ δή φαμὲν οἰκεῖν μὲν ἡμῶν ἐπ' ἄκρῳ τῷ σώματι. πρὸς δὲ τὴν, ἐν οὐρανῷ ξυγγένειαν ἀπὸ γῆς ἡμᾶς αἴρειν· ὡς ὄντας φυτὸν οὐκ ἐπίγειον ἀλλ' οὐράνιον

Cap. 18. Ταῦτα τοίνυν ὥς περ ἐκ πηγῆς τῶν ὁμηρικῶν ἐπῶν, εἰς τοὺς ἰδίους διαλόγους ὁ Πλάτων μετήρδευσεν· καὶ πρῶτόν γε περὶ τῶν ἀλόγων μερῶν τῆς ψυχῆς σκεπτέον· ὅτι μὲν γὰρ ὁ θυμὸς εἴληχε τὸν ὑποκάρδιον χῶρον, Ὀδυσσεὺς τοῦτο ποιήσει σαφὲς ἐν τῇ κατὰ μνηστή-

ρων ὀργῇ· καθάπερ οἶκόν τινα τῆς μισοπονηρίας θυροκρουστῶν τὴν καρδίαν·

a) στῆθος δὲ πλήξας κραδίην ἠνίπαπε μύθῳ·
τέτλαθι δὴ κραδίη, καὶ κύντερον ἄλλό ποτ' ἔτλης·

ἀφ' ἧς γὰρ αἱ μυθικαὶ ῥέουσι πηγαὶ πρὸς ταύτην ὁ λόγος ἀποκλίνων· τόν γε μὴν Τιτυὸν ἐρασθέντα τῶν Διὸς γάμων ἀφ' οὗ μέρους ἤρξατο νοεῖν, εἰς τοῦτο ὑφίσταται κολαζόμενον·

b) γῦπε δέ μιν ἑκάτερθε παρημένω ἧπαρ ἔκειρον·

ἀντὶ τίνος Ὅμηρε·

c) Λητὼ γὰρ εἵλκυσε Διὸς κυδρὴν παρακοίτην·

ὥς περ δὲ οἱ νομοθέται τοὺς πατροτύπτας χειροκοποῦσιν· τὸ δυσσεβῆσαν αὐτῶν μέρος ἐξαιρέτως ἀποτέμνοντες, οὕτως Ὅμηρος ἐν ἥπατι κολάζει τὸν δι' ἧπαρ ἀσεβήσαντα· περὶ μὲν δὴ τῶν ἀλόγων τῆς ψυχῆς μερῶν, οὑτωσὶ πεφιλοσόφηκεν·

Cap. 19. Λοιπὸν οὖν καταλείπεται ζητεῖν ἐν ᾧ τόπῳ τὸ λογικὸν ἵδρυται μέρος· ἔστι τοίνυν ἡ κεφαλὴ καθ' Ὅμηρον ἐν τῷ σώματι τὴν κυριωτάτην εἰληχυῖα τάξιν· ὅλον οὖν εἴωθεν ὀνομάζειν τὸν ἄνθρωπον ἐξαιρέτως ἀφ' ἑνὸς τοῦ κρατίστου τὰ λοιπὰ δηλῶν·

d) τοίην γὰρ κεφαλὴν ἕνεκ' αὐτῶν γαῖα κατέσχε

τὸν Αἴαντα·

καὶ σαφέστερον ἐπὶ τοῦ Νέστορος ἵππου, κυριώτατον ἀποφαίνεται τοῦτο μέρος·

e) ὅθι ταὶ πρῶται τρίχες ἵππων
κρανίῳ ἐμπεφύασι· μάλιστα δὲ καίριόν ἐστι·

ταύτην δὲ τὴν δόξαν ἀλληγορικῶς βεβαιῶν, τὰ κατὰ τὴν

a) Od. υ. 17. b) Od. λ. 577. c) Ibid. 579. d) Od. λ. 548. e) Il. θ. 83.

'Αθηνᾶν ἡμῖν παραδέδωκεν· ἐπειδὴ γὰρ ὁ 'Αχιλλεὺς ὑπόπλεως ὀργῆς γενόμενος ὥρμησεν ἐπὶ τὸν σίδηρον, ἐπισκοτουμένου τοῦ κατὰ τὴν κεφαλὴν λογισμοῦ τοῖς περὶ ϛέρνα θυμοῖς, κατ' ὀλίγον ἐκ τῆς ἀγανακτήσης μέθης ὁ νοῦς ἐπὶ τὸ βέλτιον ἀνένηψεν· ἡ δὲ σὺν φρονήσει μετάνοια, δικαίως ἐν τοῖς ποιήμασιν 'Αθηνᾶ νομίζεται· σχεδὸν γὰρ ἡ θεὸς, οὐκ ἄλλου τινος ἢ συνέσεως ἐπώνυμός ἐϛιν 'Αθηνᾶ τις οὖσα καὶ πάντα τοῖς λεπτοτάτοις ὄμμασι τῶν λογισμῶν διαθρᾶσα· διὸ δὴ καὶ παρθένον αὐτὴν ἐτήρησαν. ἄφθορον γὰρ ἀεὶ τὸ φρόνημα οὐδεμιᾷ κηλῖδι μιανθῆναι δυνάμενον· ἔκ τε τῆς τοῦ Διὸς κεφαλῆς γεγεννῆσθαι δοκεῖ· τοῦτον γὰρ ἀπεφηνάμεθα τὸν χῶρον ἰδίως λογισμῶν εἶναι μητέρα.

Cap. 20· Καὶ τί δεῖ τὰ πολλὰ μηκύνειν· οὐδὲν ἢ τελέως φρόνησις αὕτη· τοιγαροῦν ἀπὸ τῶν διαφλεξάντων 'Αχιλλέα θυμῶν, ὥς πέρ τι σβεϛήριον κακοῦ φάρμακον ἐπέϛη·

a) ξανθῆς δὲ κόμης ἕλε Πηλείωνα·

παρ' ὃν μὲν γὰρ ὀργίζεται καιρὸν, ἐν τοῖς ϛέρνοις ὁ θυμὸς ἕϛηκεν· ἕλκων γὰρ τὸ ξίφος·

b) ϛήθεσσι λασίοισι διάνδιχα μερμήριξεν·

ἡνίκα δ' ἡ ὀργὴ πέπειρα γίνεται· μετειλήχασι δ' αὐτὸν οἷα μετανοοῦντα ἤδη λογισμοὶ, τῆς κεφαλῆς ἀπρὶξ ἡ φρόνησις εἴληπται· c) θάμβησε δ' 'Αχιλεὺς· τὸ πρὸς πάντα κίνδυνον ἀτρεμὲς αὐτοῦ καὶ ἀκατάπληκτον ὁρῶν, ἐφοβήθη τὴν ἐκ λογισμῶν μετάνοιαν· ἐπιγνοὺς δ' εἰς οἷον κακὸν προκυλισθῆναι παρὰ μικρὸν ἔμελλεν, ὡς ἡνίοχον εὐλαβήθη τὸν ἐφεϛῶτα νοῦν· ὅθεν οὐδὲ παντελῶς ἀπήλλακται τῆς ὀργῆς· ἐπιφέρει γοῦν·

d) ἀλλ' ἤτοι ἔπεσι μὲν ὀνείδισον· ὡς ἔσεταί περ·

a) Il. α. 197. b) Il. α. 189. c) Il. α. 199. d) Il. α. 211.

θεὰ μὲν οὖν βοηθοῦσα, πάντως ἂν, ὁλόκληρον εἰρήνην τοῦ πάθους κατεσκεύασεν· ἐπειδὴ δὲ λογισμὸς ἀνθρώπινος ἦν, τὸ ξίφος ἀνεῖρξεν, ἀναγκαίως· καὶ τὸ μὲν ἄχρι τῶν ἔργων τολμηρὸν ἐκκέκοπται· ὑπομένει δὲ ἔτι λείψανα τῆς ὀργῆς· οὐ γὰρ ἀθρόως ὑφ' ἕνα καιρὸν οἱ μεγάλοι θυμοὶ τῶν παθῶν ἀποκόπτονται· καὶ τὰ μὲν περὶ Ἀθηνᾶς ἣν μεσῖτιν ὑπεστήσατο τοῦ πρὸς Ἀγαμέμνονα θυμοῦ, αὐτῆς ἀλληγορίας ἀξιούσθω·

Cap. 21. Βαρύτατον δ' ἔγκλημα κατὰ Ὁμήρου καὶ πάσης καταδίκης ἄξιον εἴπερ ἄρα μεμύθευκεν· ὡς ἐν τοῖς ἐφεξῆς ἔνεστιν εὑρεῖν· a) ὅτε τῶν ἀπάντων ἡγεμόνα

ξυνδῆσαι ὀλύμπιοι ἤθελον ἄλλοι·
Ἥρη τ' ἠδὲ Ποσειδάων καὶ Παλλὰς Ἀθήνη·
ἀλλὰ σὺ τόν γ' ἐλθοῦσα θεὰ ὑπελύσαο δεσμῶν·
ὦχ' ἑκατόγχειρον καλέσασ' ἐς μακρὸν Ὄλυμπον·
ὃν Βριάρεον καλέουσι θεοὶ ἄνδρες δέ τε πάντες
Αἰγαίων'· ὁ γὰρ αὖτε βίη οὗ πατρὸς ἀμείνων·

ἐν τούτοις τοῖς στίχοις ἄξιός ἐστιν Ὅμηρος οὐκ ἐκ μιᾶς τῆς Πλάτωνος ἐλαύνεσθαι πολιτείας, ἀλλ' ὑπὲρ Ἡρακλέους φασὶν ἐσχάτας στήλας καὶ τὴν ἄβατον ὠκεανοῦ θάλασσαν· Ζεὺς γὰρ ὀλίγου δεσμῶν πεπείραται· καὶ τὴν ἐπιβουλὴν αὐτῷ συνιστᾶσιν οὐχ οἱ Τιτᾶνες οὐ δὲ τὸ κατὰ Παλλήνην θράσος γιγάντων· ἀλλ' Ἥρα διπλοῦν ὄνομα φύσεως καὶ συμβιώσεως· ὅτ' ἀδελφὸς Ποσειδῶν ἐξ ἴσου νεμηθεὶς ἅπαντα καὶ οὐχὶ τοῦ διαμαρτεῖν ἧς ὤφειλε τιμῆς ἠξιῶσθαι, κατὰ τοῦ πλεονεκτήσαντος ἠγανακτηκώς· τρίτη δ' Ἀθηνᾶ· διὰ μιᾶς ἐπιβουλῆς εἰς πατέρα καὶ μητέρα δυσσεβοῦσα· νομίζω δ' ἔγωγε τῆς ἐπιβουλῆς Διῒ τὴν σωτηρίαν ἀπρεπεστέραν· Θέτις γὰρ αὐτὸν ἀπήλλαξε τῶν δεσμῶν καὶ Βριά-

a) Il. α. 399.

ρεως· ἀπρεπεῖς δ' αἱ τοιαῦται ἐλπίδες ὡς τοιούτων δεηθῆναι συμμάχων.

Cap. 22. Ταύτης τοίνυν τῆς ἀσεβείας, ἕν ἐστιν ἀντιφάρμακον ἐὰν ἐπιδείξωμεν ἠλληγορημένον μῦθον· ἡ γὰρ ἀρχέγονος ἁπάντων καὶ πρεσβυτέρα φύσις, ἐν τούτοις τοῖς ἔπεσι θεολογεῖται· καὶ τῶν φυσικῶν κατὰ τὰ στοιχεῖα δογμάτων εἷς ἀρχηγὸς Ὅμηρος· ἑκάστῳ τινὶ τῶν μετ' αὐτὸν ἧς ἔδοξεν εὑρεῖν ἐπινοίας γεγονὼς διδάσκαλος· Θάλητα μέν γε τὸν μιλήσιον ὁμολογοῦσι πρῶτον ὑποστήσασθαι τῶν ὅλων, κοσμογόνον στοιχεῖον τὸ ὕδωρ· ἡ γὰρ ὑγρὰ φύσις εὐμαρῶς εἰς ἕκαστα μεταπλαττομένη, πρὸς τὸ ποικίλον εἴωθε μορφοῦσθαι· τό, τε γὰρ ἐξατμιζόμενον αὐτῆς, ἀεροῦται· καὶ τὸ λεπτότατον ἀπὸ ἀέρος αἰθὴρ ἀνάπτεται· συνιζάνον τὲ τὸ ὕδωρ καὶ μεταβαλλόμενον εἰς ἰλὺν ἀπογαιοῦται· διὸ δὴ τῆς τετράδος τῶν στοιχείων ὥς περ αἰτιώτατον ὁ Θαλῆς ἀπεφήνατο στοιχεῖον εἶναι τὸ ὕδωρ· τίς οὖν ἐγέννησε ταύτην τὴν δόξαν· οὐχ Ὅμηρος; εἰπών·

a) ὠκεανὸς ὅς περ γένεσις πάντεσσι τέτυκται·

φερωνύμως μὲν ὠκεανὸν εἰπὼν τὴν ὑγρὰν φύσιν· παρὰ τὸ ὠκέως νάειν· τοῦτον δ' ὑποστησάμενος ἁπάντων γενεάρχην· ἀλλ' ὁ κλαζομένιος Ἀναξαγόρας κατὰ διαδοχὴν γνώριμος ὢν Θάλητος, συνέζευσε τῷ ὕδατι δεύτερον στοιχεῖον τὴν γῆν· ἵνα ξηρῷ μυχθὲν ὑγρὸν, ἐξ ἀντιπάλου φύσεως εἰς μίαν ὁμόνοιαν ἀνακραθῇ· καὶ ταύτην δὲ τὴν ἀπόφασιν πρῶτος Ὅμηρος ἐγεώργησεν· Ἀναξαγόρᾳ σπέρματα τῆς ἐπινοίας χαρισάμενος· ἐν οἷς φησίν·

b) ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε·

πᾶν γὰρ τὸ φυόμενον ἔκ τινων, εἰς ταῦτα ἀναλύεται διαφθειρόμενον· ὡσπερεὶ τῆς φύσεως ἃ δεδάνεικεν ἐν ἀρχῇ

a) Il. ξ. 246· b) Il. η. 99.

χρέα κομιζομένης ἐπὶ τέλει· διὸ δὴ τοῖς κλαζομενίοις δόγμασιν ἑπόμενος Εὐριπίδης φησί.

a) χωρεῖ δ' ὀπίσω. τὰ μὲν ἐκ γαίας
φύντα, εἰς γαῖαν· τὰ δ' ἀπ' αἰθρίου
βλαςόντα γονῆς εἰς αἰθέρα·

καταρώμενος οὖν ὁ ποιητὴς τοῖς Ἕλλησι, μίαν εὗρεν ἀρχὴν φιλόσοφον· εἰ πάλιν ὕδωρ καὶ γῆ γένοιντο διαλυθέντες εἰς ταῦτα ἀφ' ὧν ἐπήχθησαν ὅτε ἐγεννῶντο· ἐσχάτη τοίνυν ὑπὸ τῶν μεγίςων φιλοσόφων ἡ τελεία τετρὰς ἐν τοῖς ςοιχείοις συνεπληρώθη· δύο μὲν γὰρ ὑλικὰ φασὶν εἶναι γῆν τε καὶ ὕδωρ· δύω δὲ πνευματικά· αἰθέρα τὲ καὶ ἀέρα· τούτων δὲ τὰς φύσεις ἀλλήλαις ἐναντία φρονοῦσας, ὅταν εἰς τὸ αὐτὸ κερασθῶσιν, ὁμονοεῖν·

Cap. 23· Ἆρ' οὖν εἴ τις θέλοι τἀληθὲς ἐξετάζειν οὐχὶ καὶ ταῦτα τὰ ςοιχεῖα παρ' Ὁμήρῳ φιλοσοφεῖται; καὶ περὶ μὲν τῶν Ἥρας δεσμῶν, ἐν οἷς ἡ τάξις ἠλληγόρηται τῶν τεσσάρων ςοιχείων εὐκαιρότερον αὖθις ἐροῦμεν· νῦν δ' ἀποχρῶσιν οἱ κατὰ τὴν τρίτην ῥαψῳδίαν ὅρκοι τὸ λεγόμενον ὑφ' ἡμῶν βεβαιῶσαι·

b) Ζεῦ κύδιστε μέγιστε κελαινεφὲς αἰθέρι ναίων·
ἠέλιος θ' ὃς πάντ' ἐφορᾷς καὶ πάντ' ἐπακούεις·
καὶ ποταμοὶ καὶ γαῖα καὶ οἱ ὑπένερθε καμόντας
ἀνθρώπους τίνυσθον ὅς τις κ' ἐπίορκον ὀμόσσῃ·

πρῶτον ἐπικαλεῖται τὸν ὀξύτατον αἰθέρα τὴν ἀνωτάτω τάξιν εἰληχότα· πυρὸς γὰρ εἰλικρινὴς φύσις ἅ τ' οἶμαι κουφοτάτη τὸν ὑψηλότατον, ἀποκεκλήρωται χῶρον· εἴη δ' ἂν οἶμαι τοῦτο Ζεὺς ἐπώνυμος· ἤτοι τὸ ζῆν παρεχόμενος ἀνθρώποις· ἢ παρὰ τὴν ἔμπυρον ζέσιν οὕτως ὠνομασο-

a) Eurip. fragm. ed. Matthiae, et Valkenar. b) Il. β. 412. et γ. 277. seqq.

μένος· ἀμέλει δὲ καὶ ὁ Εὐριπίδης τὸν ὑπερτεταμένον αἰθέρα φησίν·

a) ὁρᾷς τὸν δ' ὑψοῦ· τὸν δ' ἄπειρον αἰθέρα
καὶ γῆν πέριξ ἔχοντα ὑγραῖς ἐν ἀγκάλαις;
τοῦτον νόμιζε Ζῆνα· τὸν δ' ἡγοῦ θεόν·

ὁ μὲν οὖν πρῶτος αἰθὴρ καλεῖται μεσίτης τῶν ὁρκίων· ποταμοὶ δὲ καὶ γῆ, τὰ ὑλικὰ στοιχεῖα μετὰ τὴν πρώτην φύσιν αἰθέρος· τὸν δ' ὑπένερθεν ἀΐδην, ἀλληγορικῶς ἀέρα προσαγορεύει· μέλαν γὰρ τουτὶ τὸ στοιχεῖον, ὡς ἄν, οἶμαι παχυτέρας καὶ διύγρου λαχὸν μοίρας· δίχα γοῦν τῶν καταφωτίζειν δυναμένων, ἀλαμπής ἐστιν· ὅθεν εὐλόγως αὐτὸν ἀΐδην προσηγόρευσεν· τί οὖν τὸ πέμπτον, ἥλιος· ἵνα τι καὶ περιπατητικοῖς φιλοσόφοις χαρίσηται Ὅμηρος ἐπεκαλέσατο· καὶ τοῦτο γὰρ ἀξιοῦσιν ἑτέραν τοῦ πυρὸς εἶναι ταύτην τὴν φύσιν ἣν κυκλοφορητικὴν ὀνομάζουσι· πέμπτον εἶναι τοῦτο τὸ στοιχεῖον ὁμολογοῦντες· ὁ μὲν γὰρ αἰθὴρ διὰ τὴν κουφότητα πρὸς τοὺς ἀνωτάτω χωρεῖ τόπους· ἥλιος δὲ καὶ σελήνη καὶ τῶν ὁμοδρόμων αὐτοῖς ἕκαστον ἄστρων τὴν ἐν κύκλῳ φορὰν δινούμενα διατελεῖ τῆς πυρώδους οὐσίας ἄλλην τινὰ δύναμιν ἔχοντα· διὰ τούτων ἁπάντων ὑπεσήμηνεν ἡμῖν τὰ πρωτοπαγῆ στοιχεῖα τῆς φύσεως·

Cap. 24. Καὶ περὶ αὐτοῦ μηδεὶς λεγέτω πῶς μὲν ὁ αἰθὴρ προσαγορεύται Ζεύς· ἀΐδην δ' ὀνομάζει τὸν ἀέρα· καὶ συμβολικοῖς ὀνόμασι τὴν φιλοσοφίαν ἀμαυροῖ· παράδοξον γὰρ οὐδὲν εἰ ποιητής τε ὢν ἀλληγορεῖ· καὶ τῶν προηγουμένων φιλοσοφούντων τούτῳ τῷ τρόπῳ χρωμένων· ὁ γοῦν σκοτεινὸς Ἡράκλητος, ἀσαφῆ καὶ διὰ συμβόλων εἰκάζεσθαι δυνάμενα θεολογεῖται φυσικά· δι' ὧν φησί· θεοὶ θνητή τ' ἄνθρωποι ἀθάνατοι ζῶντες τὸν ἐκείνων θάνατον·

a) Cf. Eurip. fragm. ed. Matthiae et Valkenar.

θνήσκοντες τὴν ἐκείνων ζωήν· καὶ πάλιν ποταμοῖς τοῖς αὐτοῖς ἐμβαίνομέν τε καὶ οὐκ ἐμβαίνομεν· εἶμέν τε καὶ οὐκ εἶμεν· ὅλον τε τὸ περὶ φύσεως αἰνιγματῶδες ἀλληγορεῖ· τί δ' ὁ ἀκραγαντῖνος Ἐμπεδοκλῆς· οὐχὶ τὰ τέτταρα στοιχεῖα βουλόμενος ἡμῖν ὑποσημῆναι τὴν ὁμηρικὴν ἀλληγορίαν μεμίμηται;

a) Ζεὺς ἀργὴς Ἥρη τε φερέσβιος ἠδ'' Ἀϊδωνεὺς
νῆστις θ' ἣ δακρύοις τέγγει κρούνωμα βρότειον·

Ζῆνα μὲν εἶπε τὸν αἰθέρα· γῆν δὲ τὴν Ἥραν· Ἀϊδωνέα δὲ τὸν ἀέρα· τὸ δὲ δακρύοις τεγγόμενον κρούνωμα βρότειον, τὸ ὕδωρ· οὐ δὴ παράδοξον εἰ τῶν προηγουμένως ὁμολογούντων φιλοσοφεῖν ἀλληγορικοῖς ὀνόμασι χρησαμένων, ὁ ποιητικὴν ἐπαγγελόμενος ἐξ ἴσου τοῖς φιλοσόφοις ἠλληγόρησε·

Cap. 25. Λοιπὸν οὖν σκοπῶμεν, εἰ ἡ κατὰ Διὸς ἐπιβουλὴ τῶν στοιχείων ἐστὶν ἀπαρίθμησις· καὶ φυσικωτέρας ἅπτεται θεωρίας· φασὶ τοίνυν οἱ δοκιμώτατοι φιλόσοφοι ταῦτα περὶ τῆς διαμονῆς τῶν ὅλων· ἕως μὲν ἀφιλόνεικος ἡ ἁρμονία τὰ τέτταρα στοιχεῖα διακρατῇ μηδενὸς ἐξαιρέτως ὑπερδυναστεύοντος· ἀλλ' ἑκάστου κατ' ἐμμέλειαν ἣν εἴληχε τάξιν οἰκονομοῦντος, ἀκινήτως ἕκαστα μένειν· εἰ δ' ἐπικρατήσαί τι τῶν ἐν αὐτοῖς· καὶ τυραννῆσαν εἰς πλείω φορὰν παρέλθοι. τὰ λοιπὰ συγχυθέντα τῇ τοῦ κρατοῦντος ἰσχύϊ μετ' ἀνάγκης ὑπείξειν· πυρὸς μὲν αἰφνιδίως ἐκζέσαντος, ἁπάντων ἔσεσθαι κοινὴν ἐκπύρωσιν· εἰ δ' ἄθρουν ὕδωρ ἐκραγείη, κατακλεισμῷ τὸν κόσμον ἀπολεῖσθαι· διὰ τούτων τοίνυν τῶν ἐπῶν μέλλουσάν τινα ταραχὴν ἐν τοῖς ὅλοις Ὅμηρος ὑποσημαίνει· Ζεὺς γὰρ ἡ δυνατωτάτη φύσις ὑπὸ τῶν ἄλλων ἐπιβουλεύεται στοιχείων· Ἥρας μὲν τοῦ ἀέρος· Ποσειδῶνος

a) Henr. Steph. reliq. poes. philosoph. p. 21.

δὲ τῆς ὑγρᾶς φύσεως· Ἀθηνᾶς δὲ τῆς γῆς· ἐπεὶ δημιουργός ἐστιν ἁπάντων καὶ θεὸς ἐργάνη· ταῦτα δὴ τὰ στοιχεῖα, πρῶτον μὲν συγγενῆ διὰ τὴν ἐν ἀλλήλοις ἀνάκρασιν· εἶτα συγχύσεως παρὰ μικρὸν αὐτῆς γενομένης, εὑρέθη βοηθὸς ἡ πρόνοια· Θέτιν δ' αὐτὴν εὐλόγως ὠνόμασεν· αὕτη γὰρ ὑπέστη τῶν ὅλων εὔκαιρον ἀπόθεσιν· ἐν τοῖς ἰδίοις νόμοις ἱδρύσασα τὰ στοιχεῖα· σύμμαχος δ' αὐτῇ γέγονεν ἡ βριαρὰ καὶ πολύχειρ δύναμις· τὰ γὰρ τηλικαῦτα τῶν πραγμάτων νοσήσαντα, πῶς ἄλλως δύναιτο πλὴν μετὰ μεγάλης βίας ἀναῤῥωσθῆναι· καὶ τὸ μὲν ἄφυκτον ἔγκλημα περὶ τῶν Διὸς ἀσεβῶν δεσμῶν, οὕτω φυσικὴν ἀλληγορίας ἔχει θεωρίαν·

Cap. 26· Ἐγκαλοῦσι δ' Ὁμήρῳ περὶ τῆς Ἡφαίστου ῥίψεως· τὸ μὲν πρῶτον, ὅτι χωλὸν αὐτὸν ὑφίσταται τὴν θείαν ἀκρωτηριάζων φύσιν· εἶθ' ὅτι καὶ παρὰ μικρὸν ἧκεν κινδύνου· a) πᾶν γάρ φησί

δ' ἦμαρ φερόμην· ἅμα δ' ἠελίῳ καταδύντι·
κάππεσον ἐν Λήμνῳ· ὀλίγος δ' ἔτι θυμὸς ἐνῆεν·

καὶ τούτοις δ' ὑποκρύπτεταί τις Ὁμήρῳ φιλόσοφος νοῦς· οὐ πλάσμασι ποιητικοῖς τοὺς ἀκούντας τέρπων· αὐτίκα χωλὸς ἡμῖν παραδέδωκεν Ἥφαιστον· οὐ τὸν ἐξ Ἥρας καὶ Διὸς μυθούμενον παῖδα· τοῦτο γὰρ ἀπρεπὲς ὄντως ἱστορεῖν περὶ θεῶν· ἀλλ' ἐπεὶ ἡ πυρὸς οὐσία διπλῆ· καὶ τὸ μὲν αἰθέριον ὡς ἔναγχος εἰρήκαμεν ἐπὶ τῆς ἀνωτάτω τοῦ παντὸς αἰώρας οὐδὲν ὑστεροῦν ἔχει πρὸς τελειότητα· τοῦ δὲ παρ' ἡμῖν πυρὸς ἡ ὕλη πρόσγειος οὖσα φθαρτὴ καὶ διὰ τῆς ὑποστρεφούσης παρ' ἕκαστα ζωπυρουμένη, διατοῦτο τὴν ὀξυτάτην φλόγα συνεχῶς ἥλιόν τε καὶ Δία προσαγορεύει· τὸ δ' ἐπὶ γῆς πῦρ Ἥφαιστον ἑτοίμως ἁπτόμενον καὶ σβεννύμενον·

a) Il. α. 592.

ὅθεν εἰκότως κατὰ σύγκρισιν ἐκείνου τοῦ ὁλοκλήρου, τοῦτο νενόμισται χωλὸν εἶναι τὸ πῦρ· ἄλλως τε καὶ πᾶσα ποδῶν πήρωσις, ἀεὶ τοῦ διαστηρίζοντος ἐπιδεῖται βάκτρου· τὸ δὲ παρ' ἡμῖν πῦρ ἄνευ τῆς τῶν ξύλων παραθέσεως οὐ δυνηθὲν ἂν ἐπὶ πλεῖον παραμεῖναι, συμβολικῶς χωλὸν εἴρηται· τὸν γοῦν Ἥφαιστον οὐκ ἀλληγορικῶς ἐν ἑτέροις· ἀλλὰ διαῤῥήδην φησὶν Ὅμηρος εἶναι·

a) σπλάγχνα δ' ἄρ ἀμπείραντες ὑπείρεχον Ἡφαίστοιο·

μεταληπτικῶς ὑπὸ τοῦ Ἡφαίστου τὰ σπλάγχνα φησὶν ὀπτᾶσθαι· καὶ μὴν ἀπ' οὐρανοῦ ῥιπτούμενον αὐτὸν ὑφίσταται· φυσικῶς γὰρ κατ' ἀρχὰς οὐδέπω τῆς τοῦ πυρὸς χρήσεως ἐπιπολαζούσης, ἄνθρωποι χρονικῶς χαλκοῖς τισιν ὀργάνοις κατεσκευασμένοις. ἐφειλκύσατο τοὺς ἀπὸ τῶν μετεώρων φερομένους σπινθῆρας· κατὰ τὰς μεσημβρίας ἐναντία τῷ ἡλίῳ τὰ ὄργανα τιθέντες· ὅθεν οἶμαι δοκεῖ καὶ Προμηθεὺς ἀπ' οὐρανοῦ διακλέψαι τὸ πῦρ· ἐπειδή περ τέχνης προμήθεια τῶν ἀνθρώπων ἐπενόησε τὴν ἐκεῖθεν ἀπόῤῥοιαν αὐτοῦ· Λῆμνον δὲ πρῶτων οὐκ ἀλόγως ἐμύθευσε τὴν ὑποδεξαμένην τὸ θεόβλητον πῦρ· ἐνταῦθα γὰρ ἀνίενται ἐγγυγηγενοῦς πυρὸς αὐτόμαται φλόγες· δηλοῖ δὲ σαφῶς ὅτι τοῦτο θεωρητόν ἐστι τὸ πῦρ, ἐξ ὧν ἐπήνεγκεν·

ὀλίγος δ' ἔτι θυμὸς ἐνῆεν·

ἀπόλλυται γὰρ εὐθέως μαρανθὲν εἰ μὴ λάβοιτο τῆς διαφυλάττειν αὐτὸ δυναμένης προνοίας·

Cap. 27. Καὶ ταῦτα μὲν περὶ Ἡφαίστου φιλοσοφητέον· ἐῶ γὰρ ἐπὶ τοῦ παρόντος ὡς τερατείαν τινα τὴν Κράτητος φιλοσοφίαν· ὅτι Ζεὺς ἀναμέτρησιν τοῦ παντὸς ἐσπουδακὼς γενέσθαι, δύο πυρσοῖς ἰσοδρομοῦσιν Ἡφαίστῳ τε καὶ ἡλίῳ διετεκμήρατο τοῦ κόσμου τὰ διαστήματα· τὸ μὲν ἄνωθεν ἀπὸ

a) Il. β. 426.

τοῦ βηλοῦ καλουμένου ῥίψας· τὸν δ' ἀπ' ἀνατολῆς εἰς δύσιν ἀφεὶς φέρεσθαι· διὰ τοῦτ' ἀμφότεροι καὶ συνεχρόνισαν· ἅμα γὰρ ἠελίῳ καταδύντι, κάππεσεν Ἥφαιστος ἐν Λήμνῳ· τοῦτο τοίνυν εἴτε κοσμική τις ἀναμέτρησις· εἴθ' ὃ μᾶλλον ἀληθές ἐστιν ἀλληγορικὴ τοῦ καθ' ἡμᾶς πυρὸς ἀνθρώποις παράδοσις, οὐδὲν ἀσεβὲς ὑπὲρ Ἡφαίστου παρ' Ὁμήρῳ λέλεκται·

Cap. 28. Καὶ μὴν ἐπὶ τῆς δευτέρας ῥαψῳδίας ἀνακομιζομένων τῶν Ἑλλήνων Ὀδυσσεῖ διαποροῦντι, παρέστηκεν οὐκ ἄλλη τίς ἀλλ' ἡ θεία φρόνησις· ἣν Ἀθηνᾶν ὀνομάζει· καὶ τὴν ἀποστελλομένην Ἶριν· ἄγγελον τοῦ Διὸς, τὸν εἴροντα λόγον ὑφίσταται· ὥς περ Ἑρμῆν τὸν ἑρμηνεύοντα· δύο γὰρ ἄγγελοι θεῶν· οὐδενὸς ἄλλου, πλὴν ἐπώνυμοι τῆς κατὰ τὸν λόγον ἑρμηνείας: ἀλλ' ἀπρεπῶς Ἀφροδίτη μαστροπεύει πρὸς Ἀλέξανδρον Ἑλένην· ἀγνοοῦσι γὰρ ὅτι νῦν λέγει τὴν ἐν τοῖς ἐρωτικοῖς πάθεσιν ἀφροσύνην· ἣ μεσῖτις ἐστὶ καὶ διάκονος ἀεὶ μειρακιώδους ἐπιθυμίας· αὕτη καὶ τόπον εὗρεν ἐπιτήδειον ὅπου τὸν Ἑλένης δίφρον ἀφιδρύσει, καὶ ποικίλοις μαγγάνοις ἑκατέρων κινεῖ τὸν πόθον· Ἀλεξάνδρου μὲν ἐρωτικῶς ἔτι διακειμένου, τῆς δὲ Ἑλένης μετανοεῖν ἀρχομένης· διὸ δὴ κατ' ἀρχὰς ἀντειποῦσα, τοὔσχατον ὑπείκει μεταξὺ δυοῖν φερομένη παθῶν· ἔρωτός τε τοῦ πρὸς Ἀλέξανδρον· καὶ αἰδοῦς τῆς πρὸς Μενέλαον·

Cap. 29. Ἥ γε μὴν εὐωχουμένοις ὑποδιακονουμένη κατ' ἀρχὰς Ἥβη, τίς ἂν, εἴη πλὴν ἡ διηνεκῶς ἐν ταῖς εὐφροσύναις νεότης· οὐδὲν γὰρ ἐν οὐρανῷ γῆρας· οὐδ' ὕπεστί τι τῆς θείας φύσεως ἔσχατον βίου νόσημα· πάσης δ' ἐξαιρέτως θυμηδίας ὡσπερεὶ συνεκτικοῦ ὄργανόν ἐστιν ἡ τῶν συνεληλυθότων ἐπὶ τὴν εὐφροσύνην ἀκμή: περὶ μέν γε τῆς ἔριδος οὐ δ' ὑπεσταλμένως ἠλληγόρησεν· οὐ δ' ὥς τε δεῖ-

σθαι λεπτῆς τινος εἰκασίας· ἀλλ' ἐκ τοῦ φανεροῦ τὰ κατ' αὐτὴν πεπόμπευκεν·

a) ἥτ' ὀλίγη μὲν πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα
οὐρανῷ ἐστήριξε κάρη, καὶ ἐπὶ χθονὶ βαίνει·

διὰ γὰρ τούτων τῶν ἐπῶν οὐ θεά τις οὕτω παντάπασι τερατώδης ὑφ' Ὁμήρου μεμόρφωται τὰς πρὸς ἑκατέρου μεταβολὰς τοῦ σώματος ἀπίστους ἔχουσα· καὶ ποτὲ μὲν ἐπὶ γῆς ἐῤῥιμένη ταπεινή· ποτέ δ' εἰς ἄπειρον αἰθέρος ἐκτεινομένη μέγεθος· ἀλλ' ὃ συμβέβηκεν ἀεὶ τοῖς φιλονεικοῦσι πάθος, ἐκ ταύτης τῆς ἀλληγορίας διετύπωσεν· ἀρξαμένη γὰρ ἀπὸ λιτῆς αἰτίας ἡ ἔρις ἐπειδὰν ὑποκινηθῇ, πρὸς μέγα δή τι κακοῦ διογκοῦται· καὶ ταυτὶ μὲν ἴσως μετριώτερα·

Cap. 30. Πολλὴ δὲ καθ' Ὁμήρου τραγῳδία σκηνοβατεῖται παρὰ τοῖς ἀγνωμόνως αὐτὸν ἐθέλουσι συκοφαντεῖν, ὅτι παρεισάγει κατὰ τὴν πέμπτην ῥαψῳδίαν τιτρωσκομένους τοὺς θεούς· Ἀφροδίτην τὸ πρῶτον ὑπὸ Διομήδους· εἶτ' Ἄρην· προστιθέασι δὲ τούτοις ὅσα κατὰ παρηγορίαν ἡ Διώνη περὶ τῶν ἔτι πρότερον ἠτυχηκότων ἀπαγγέλλει θεῶν· ἐν μέρει δ' ὑπὲρ ἑκάστου τὸν λόγον ἀποδώσομεν ἡμεῖς οὐδεμιᾶς ἐκτὸς ὄντος φιλοσοφίας· Διομήδης γὰρ Ἀθηνᾶν ἔχων σύμμαχον τουτέστι τὴν φρόνησιν, ἔτρωσεν Ἀφροδίτην τὴν ἀφροσύνην· οὐ μὰ Δία οὐ θεάν τινα· τὴν δὲ τῶν μαχομένων βαρβάρων ἀλογιστίαν· αὐτὸς μὲν γὰρ ἅτε διὰ πάσης ἐληλυθὼς πολεμικῆς μαθήσεως, καὶ τοῦτο μὲν ἐν Θήβαις· τοῦτο δ' ἐν Ἰλίῳ δεκαέτη χρόνον ἐμφρόνως τοῦ μάχεσθαι προϊστάμενος ἐξ εὐμαροῦς διώκει τοὺς βαρβάρους· οἱ δ' ἀνέσθητοι καὶ λογισμῶν ὀλίγα κοινωνοῦντες, ὑπ' αὐτοῦ διώκονται καθάπερ

a) ὄϊες πολυπάμμονος ἀνδρὸς ἐν αὐλῇ·

a) Il. δ. 442. b) Il. δ. 433.

πολλῶν ὄν φονευομένων, ἀλληγορικῶς Ὅμηρος τὴν βαρβαρικὴν ἀφροσύνην ὑπὸ Διομήδους τετρῶσθαι παρεισήγαγεν·

Cap. 31. Ὁμοίως δὲ ὁ Ἄρης οὐδέν ἐστιν ἄλλο, πλὴν ὁ πόλεμος παρὰ τὴν ἀρὴν ὠνομασμένος ἥ πέρ ἐστι βλάβη· γένοιτο δ' ἂν, ἡμῖν τοῦτο σαφὲς ἐκ τοῦ λέγειν αὐτὸν μαινόμενον τυκτὸν κακὸν ἀλλοπρόσαλλον· ἐπιθέτοις γὰρ ἁρμόζουσι πολέμῳ κέχρηται μᾶλλον ἢ θεῷ· μανίας γάρ εἰσι πλήρεις ἅπαντες οἱ μαχόμενοι· πρὸς τὸν κατ' ἀλλήλων φόνον ἐνθουσιαστικῶς ζέσαντες· καὶ τὸ ἀλλοπρόσαλλον, ἑτέρωθί που διὰ πλειόνων ἐξηγεῖται λέγων·

a) ξυνὸς Ἐνυάλιος καί τε νέοντα κατέκτα·

νεμεσηταὶ γὰρ αἱ πολέμων ἐπ' ἀμφότερα ῥοπαί· καὶ τὸ νικηθὲν οὐδὲ προσαντῆσαν, αἰφνιδίως πολλάκις ἐκράτησαν· ὥς τε τῆς ἐν ταῖς μάχαις ἀμφιβολίας ἄλλοτε πρὸς ἄλλους μεταφοιτώσης, ἐτύμως κακὸν ἀλλοπρόσαλλον εἴρηκε πρὸς τὸν πόλεμον· ἐτρώθη δὲ ὑπὸ Διομήδους Ἄρης, οὐ κατ' ἄλλό τι μέρος ἀλλὰ

b) νείατον ἐς κενεῶνα·

σφόδρα πιθανῶς· ἐπὶ γὰρ τὰ κενὰ τῆς μὴ πάνυ φρουρουμένης τῶν ἀντιπάλων τάξεως παρεισελθὼν, εὐμαρῶς ἐτρέψατο τοὺς βαρβάρους· καὶ μὴν χάλκεον λέγει τὸν Ἄρην· τὰς τῶν μαχομένων πανοπλίας ὑποσημαίνων· σπάνιος γὰρ ἦν ὁ σίδηρος ἐν τῷ τότε πάλαι χρόνῳ· τὸ δὲ σύμπαν ἐσκέπτοντο χαλκῷ· διατοῦτο φησιν·

c) ὅσσαι δ' ἄμερδεν
αὐγὴ χαλκείη κορύθων ἄπο λαμπομενάων·
θωρήκων τὲ νεοσμήκτων·

ἀναβοᾷ δὲ τρωθεὶς·

d) ὅσον τ' ἐννεάχιλοι ἐπίαχον ἢ δὲ κάχιλοι·

a) Il. σ. 309. b) Il. ε. 857. c) Il. ν. 340. d) Il. ε. 860.

καὶ τοῦτο δὲ τεκμήριον πολλῶν διωκομένων πολεμίων· οὐ γὰρ ἄν, εἷς θεὸς ἀνεβόησε τοσοῦτον· ἀλλ' ἡ φεύγουσα μυριάνδρος οἶμαι τῶν βαρβάρων φάλαγξ. ὥς τ' ἐναργέσι τεκμηρίοις καὶ διὰ τῶν κατὰ μέρος ἐδείξαμεν οὐκ Ἄρην τὸν τετρωμένον ὑπὸ Διομήδους ἀλλὰ τὸν πόλεμον·

Cap. 32. Αὗται δ' ἐν παρεκβάσει τῶν προτέρων ἀλληγοριῶν· δι' ὧν καὶ τεχνικωτέρον ἔχουσιν ἐμπειρίαν· ἐν οἷς φησί·

a) τλῆ μὲν Ἄρης ὅτε μιν Ὦτος κρατερός τ' Ἐπιάλτης
παῖδες Ἀλωῆος δῆσαν κρατερῷ ἐνὶ δεσμῷ·

γεννικοὶ γὰρ οὗτοι οἱ κατ' ἀλκὴν νεανίαι ταραχῆς καὶ πολέμου μεστὸν ᾔδεσαν τὸν βίον· οὐδεμιᾶς δ' εἰρηνικῆς ἀναπαύσεως μέσης τοὺς παρ' ἕκαστα κάμνοντας ἀνείης ἰδίοις ὅπλοις ἐκστρατευσάμενοι, τὴν ἐπιπολάζουσαν ἀηδίαν ἀνέστειλαν· ἄχρι μὲν οὖν τρεισκαίδεκα μηνῶν, ἀκλινὴς καὶ ἀστασίαστος αὐτῶν ὁ οἶκος· ἐν ὁμονοίᾳ τὲ τὴν εἰρήνην διεστρατήγει· μητρυιὰ δὲ παρεισπεσοῦσα καὶ φιλόνεικος οἰκίας νόσος, ἀνέτρεψε τὴν προτέραν εὐστάθειαν· ἐν δευτέρου δὲ πάλιν ὁμοίας ταραχῆς ἀναφθείσης, ἔδοξεν ὁ Ἄρης ἀπὸ τοῦ δεδεσμωτηρίου λελῦσθαι· τουτέστιν ὁ πόλεμος·

Cap. 33. Ἡρακλέα δὲ νομιστέον, οὐκ ἀπὸ σωματικῆς δυνάμεως ἀναχθέντα τοσοῦτον ἰσχύσαι τοῖς τότε χρόνοις· ἀλλ' ἀνὴρ ἔμφρων καὶ σοφίας οὐρανίου μύστης ὡσπερεὶ κατὰ βαθείας ἀχλύος ἐπιδεδυκυῖαν ἐφώτισε τὴν φιλοσοφίαν· καθάπερ ὁμολογοῦσι καὶ στωϊκῶν οἱ δοκιμώτατοι· περὶ μὲν οὖν τῶν ἄλλων ἄθλων ὁπόσοι τῆς παρ' Ὁμήρῳ μνήμης ὑστεροῦσι, τί δεῖ παρὰ καιρὸν ἐκμηκύειν φιλοτεχνοῦντας· ὅτι κόπρον μὲν εἷλε τὴν ἐπιπολάζουσαν ἀνθρώποις ἀκολασίαν· λέοντα δὲ τὴν ἀκρίτως ὁρμῶσαν ἐφ' ἃ μὴ

a). Il. ε. 385.

δεῖ φορὰν· κατ' αὐτὸ δὲ θυμοὺς ἀλογίστους πεδήσας, τὸν ὑβριστὴν ταῦρον ἐνομίσθη δεδεκέναι· δειλίον γε μὴν ἐφυγάδευσεν ἐκ τοῦ βίου τὴν κεραυνίαν ἔλαφον· καί τις ἀπρεπῶς ὀνομαζόμενος ἆθλος ἐκμεμόχθηται· διακαθήραντος αὐτοῦ τὴν ἐπιτρέχουσαν ἀνθρώποις ἀηδίαν· ὄρνεις δὲ τὰς συνηνέμους ἐλπίδας αἳ βόσκουσι τὸν βίον ἡμῶν· ἀπεσκέδασε δὲ καὶ τὴν πολύχουν κόπρον· καὶ πολυκέφαλον ὕδραν· ἥ τις ὅταν ἐκκοπῇ, πάλιν ἄρχεται βλαστάνειν· ὥς περ ὕδραν τινὰ διὰ πυρὸς τῆς παραινέσεως ἐξέκοψεν· αὐτός γε μὴν ὁ τρικέφαλος δειχθεὶς ἡλίῳ κέρβερος, εἰκότως ἂν τὴν τριμερῆ φιλοσοφίαν ὑπαινίττεται· τὸ μὲν γὰρ αὐτῆς λογικόν· τὸ δὲ, φυσικὸν· τὸ δὲ, ἠθικὸν ὀνομάζεται· ταῦτα δ' ὥς περ ἀφ' ἑνὸς αὐχένος ἐκπεφυκότα τριχῇ κατὰ κεφαλὴν μερίζεται·

Cap. 34. Περὶ μὲν δὴ τῶν ἄλλων ὥς περ εἶπον ἄθλων, ἐν συντόμῳ δεδήλωται· τετρωμένην δ' Ὅμηρος ὑπεστήσατο τὴν Ἥραν· τοῦτο ἀκριβῶς παραστῆσαι βουλόμενος ὅτι τὸν θολερὸν ἀέρα καὶ πρὸ τῆς ἑκάστου διανοίας ἐπαχλύοντα· πρῶτος Ἡρακλῆς θείῳ χρησάμενος λόγῳ, διήρθρωσε τὴν ἑκάστου τῶν ἀνθρώπων ἀμαθίαν· πολλαῖς νουθεσίαις κατατρώσας· ὅθεν ἀπὸ γῆς εἰς οὐρανὸν ἀφίησι τὰ τόξα· πᾶς γὰρ ἀνὴρ φιλόσοφος ἐν θνητῷ καὶ ἐπιγείῳ τῷ σώματι πτηνὸν ὥς πέρ τι βέλος τὸν νοῦν εἰς τὰ μετάρσια διαπέμπεται· τεχνικῶς δὲ προσέθηκεν· εἰπὼν· ἰῷ τριγλώχινι βαλών· ἵνα διὰ συντόμου τὴν τριμερῆ φιλοσοφίαν ὑπὸ τοῦ τριγλώχινος ὑποσημήνῃ βέλους· μεθημέραν δὲ τετόξευκε καὶ τὸν Ἅδην· οὐδεὶς γὰρ ἄβατος φιλοσοφίᾳ χῶρος· ἀλλὰ μετ' οὐρανὸν, ἐζήτησε τὴν κατωτάτω φύσιν· ἵνα μὴ δὲ τῶν νέρθεν ἀμύητος ᾖ· τὸν οὖν ἀλαμπῆ καὶ πᾶσιν ἀνθρώποις ἄβατον Ἅδην ὁ τῆς σοφίας οἰστὸς εὔστοχα βληθεὶς διευκρίνησεν· ὥς θ' αἱ Ἡρακλέους χεῖρες ἁγνεύουσι παντὸς

ὀλυμπίου μύσους· ἀρχηγὸς δὲ πάσης σοφίας γενόμενος, ἀλληγορικῶς παρέδωκε τοῖς μετ' αὐτὸν ἀρύσασθαι κατὰ μέρη πάνθ' ὅσα πρῶτος πεφιλοσόφηκε·

Cap. 35. Νομίζουσι τοίνυν ἔνιοι μὴ δὲ Διόνυσον εἶναι παρ' Ὁμήρῳ θεὸν· ἐπειδήπερ ὑπὸ Λυκούργου διώκεται καὶ μόλις δοκεῖ σωτηρίας τυχεῖν· Θέτιδος αὐτῷ παραστάσης· τόδ' ἐστὶν οἴνου συγκομιδῆς γεωργοῖς ἀλληγορία· δι' ὧν φησίν·

a) ὅς ποτε μαινομένοιο Διωνύσοιο τιθήνας,
σεῦε κατ' ἠγάθεον νυσήϊον· αἳ δ' ἅμα πᾶσαι
θύσθλα χαμαὶ κατέχευον ὑπ' ἀνδραφόνοιο Λυκούργου·
θεινόμεναι βουπλῆγι· Διώνυσος δὲ φοβηθεὶς
δῦσε θ' ἁλὸς κατὰ κῦμα· Θέτις δ' ὑπεδέξατο κόλπῳ·
δειδιότα·

μαινόμενον μὲν εἴρηκεν ἀντὶ Διονύσου τὸν οἶνον· ἐπειδήπερ οἱ πλείονι τῷ ποτῷ χρώμενοι τοῦ λογισμοῦ διασφάλλονται· ὥς περ τὸ δέος εἰ τύχοι χλωρὸν λέγει καὶ πευκεδανὸν τὸν πόλεμον· ἃ γὰρ ἀπ' αὐτῶν συμβαίνει ταῦτα ἐκείνοις περιῆψεν ὅθεν ἄρχεται τὰ πάθη· Λυκοῦργος δὲ ἀνὴρ εὐαμπέλου λήξεως δεσπότης μετὰ τὴν ὀπωρινὴν ὥραν ὅτε συγκομιδὴ τῶν διονυσιακῶν καρπῶν ἐστὶν, ἐπὶ τὴν εὐφορωτάτην ἐξεληλύθει Νύσαν· τιθήνας δὲ νομίζειν δεῖ τὰς ἀμπέλους· καὶ μετὰ τοῦτο ἔτι δρεπομένων τῶν βοτρύων, φησὶ· Διόνυσος δὲ φοβηθεὶς· ἐπειδήπερ ὁ μὲν φόβος εἴωθε τρέπειν τὴν διάνοιαν· ὁ δὲ τῆς σταφυλῆς καρπὸς τρέπεται θλιβόμενος εἰς οἶνον· ἔθος γε μὴν τοῖς πολλοῖς ἐπὶ φυλακῇ τοῦ διαμένειν ἀκλινῆ τὸν καρπὸν ἐπικιρνάναι θαλαττίῳ ὕδατι· παρὰ τοῦτο ὁ Διονύσιος

b) δῦσε θ' ἁλὸς κατὰ κῦμα· Θέτις δ' ὑπεδέξατο κόλπῳ·

a) Il. ζ. 132. b) Il. ζ. 136.

ἡ τελευταία μετὰ τὴν ἀπόθλιψιν τοῦ κάρπου θέσις· αὕτη γὰρ ἐσχάτη δέχεται τὸν οἶνον· δειδιότα τὸν ἐν ἀρχῇ τοῦ νεοθλιβοῦς γλεύκους παλμόν· καὶ τὴν μεθαρμόζουσαν ὁρμὴν, δέος εἶπε γὰρ τρόμον· οὕτως Ὅμηρος οὐ φιλοσοφεῖν μόνον ἀλληγορικῶς, ἀλλὰ καὶ γεωργεῖν θεωρεῖν ἐπίσταται·

Cap. 36. Φυσικῆς δὲ ἅπτεται θεωρίας καὶ ὅταν ὁ Ζεὺς εἰς τὸ αὐτὸ συναθροίσας τοὺς θεοὺς ἅπαντας, ἄρχεται τῶν μεγάλων ἀπειλῶν

a) ἀκροτάτῃ κορυφῇ πολυδειράδος οὐλύμποιο,

πρῶτος ἕστηκεν αὐτός· ἐπειδὴ τὴν ἀνωτάτω τάξιν ὥς περ ἐδηλοῦμεν ἡ αἰθριώδης ἐπέχει φύσις. σειρὰν δ' ἀπήρτησεν ἀπὸ τοῦ αἰθέρος ἐπὶ πάντα χρυσῆν· οἱ γὰρ δεινοὶ τῶν φιλοσόφων περὶ ταῦτα ἀνάμματα πυρὸς εἶναι τὰς τῶν ἀστέρων περιόδους νομίζουσι· τὸ δὲ σφαιρικὸν ἡμῖν τοῦ κόσμου σχῆμα δὶ ἑνὸς ἐμέτρησε στίχου·

b) τόσσον ἔνερθ' ἀΐδεω, ὅσον οὐρανὸς ἔστ' ἀπὸ γαίης· μεσαιτάτη γὰρ ἁπάντων ἑστία τις οὖσα καὶ δύναμεν κέντρου ἐπέχουσα καθίδρυται βεβαίως ἡ γῆ πᾶσα· κύκλῳ δ' ὑπὲρ αὐτὴν ὁ οὐρανὸς ἀπαύστοις περιφοραῖς εἱλούμενος ἀπ' ἀνατολῆς εἰς δύσιν τὸν ἀεὶ δρόμον ἐλαύνει· συγκαθέλκεται δ' ἡ τῶν ἀπλανῶν σφαῖρα· πᾶσαι γε μὴν αἱ ἀπὸ τοῦ περιέχοντος ἀνωτάτω κυκλοφορούμεναι πρὸς τὸ κέντρον εὐθεῖαι καὶ κατ' ἀναγωγάς εἰσιν ἀλλήλαις ἴσαι· διατοῦτο γεωμετρικῇ θεωρίᾳ, τὸ σφερικὸν σχῆμα διεμέτρησεν εἰπών·

τόσσον ἔνερθ' ἀΐδεω ὅσον οὐρανὸς ἐστ' ἀπὸ γαίης:

Cap. 37· Ἔνιοι δ' εἰσὶν οὕτως ἀμαθεῖς, ὡς αἰτιάσασθαι τὸν Ὅμηρον καὶ περὶ τῶν λιτῶν· εἰ τὰς Διὸς γονὰς οὕτως ὕβρισε· διάστροφον αὐταῖς, περιθεὶς ἀμορφίας χαρακτῆρα·

a) Il. θ. 3. b) Il. θ. 16.

a) καὶ γάρ τε λιταί εἰσι Διὸς κοῦραι μεγάλοιο·
χωλαί τε ῥυσαί τε παραβλῶπές τ' ὀφθαλμώ·

ἐν δὲ τούτοις τοῖς ἔπεσι τὸ τῶν ἱκετευόντων σχῆμα διαπέπλασται· πᾶσα γὰρ οὖν συνείδησις ἁμαρτόντος ἀνθρώπου, βραδεῖα· καὶ μόλις οἱ δεόμενοι τοῖς ἱκετευομένοις προσέρχονται· τὴν αἰδῶ κατὰ ῥῆμα μετροῦντες· οὔτε μὴν ἀτρεμὲς δεδόρκασιν· ἀλλ' ὀπίσω τὰς τῶν ὀμμάτων βολὰς ἀποστρέφουσι· καὶ μὴν ἔν γε τοῖς πρώτοις, οὐδὲν γεγηθὸς τῶν ἱκετευόντων ἡ διάνοια περιτίθησιν ἔρευθος· ἀλλ' ὠχρὰ κατηφής· διὰ τῆς πρώτης ὄψεως καλουμένη τὸν ἔλεον· ὅθεν εὐλόγως οὐ τὰς Διὸς θυγατέρας ἀλλὰ τοὺς ἱκετεύοντας ἀπεφήνατο·

χωλούς τε ῥυσούς τε παραβλῶπας τ' ὀφθαλμώ·

τοὔμπαλιν δὲ τὴν ἄτην σθεναράν τε καὶ ἀρτίπουν· κρατερὸν γὰρ αὐτῆς τὸ ἄφρον· ἀλογίστου γὰρ ὁρμῆς ὑπόπλεως, δρομὰς ὡς ἐπὶ πᾶσαν ἀδικίαν φέρεται· παθῶν οὖν ἀνθρωπίνων ὡσπερεὶ ζωγράφος Ὅμηρός ἐστιν· ἀλληγορικῶς τὸ συμβαῖνον ἡμῖν θεῶν περιθεὶς ὀνόμασιν.

Cap. 38. Οἶμαι δ' ἔγωγε καὶ τὸ ἑλληνικὸν τεῖχος ὃ πρὸς καιρὸν ἔρυμα τῆς ἰδίας ἀσφαλείας ἐπύργωσαν, οὐχ ὑπὸ τοῦ συμμάχου καθῃρῆσθαι Ποσειδῶνος ἀλλ' ὡς ὑετοῦ δαψιλοῦς γενομένου· καὶ τῶν ἀπ' Ἴδης ποταμῶν πλημμυράντων, συνέβη καταῤῥιφῆναι· ὅθεν ἐπώνυμος τοῦ πάθους γέγονεν ὁ τῆς ὑγρᾶς φύσεως προστάτης Ποσειδῶν· εἰκὸς δὲ καὶ σεισμοῖς διατιναχθὲν ὑπονοστῆσαι τὸ κατασκεύασμα· δοκεῖ δὲ ὁ Ποσειδῶν ἐνοσίγαιος καὶ σεισίχθων εἶναι τοῖς τοιούτοις τῶν παθημάτων ἐπιγραφόμενος· ἀμέλει φησὶν

b) αὐτός δ' ἐννοσίγαιος ἔχων χείρεσσι τρίαιναν,
ἡγεῖτ'· ἐκ δ' ἄρα πάντα θεμείλια κύμασι πέμπε·

a) Il. ι. 498. b) Il. μ. 27.

φιτρῶν καὶ λάων τὰ θέσαν μογέοντες Ἀχαιοί:

σεισμοῦ τινος φορᾷ διαδονήσας ἐκ βάθρων τὰ τοῦ τείχους θεμέλια· δοκεῖ δέ μοι λεπτῶς ἐξετάζοντι τὰ τοιαῦτα, μὴ δὲ τὸ κατὰ τρίαιναν ἀφιλοσόφητον εἶναι δι' ἧς ὑφίσταται τοὺς λίθους ἀναμεμοχλεῦσθαι τοῦ τείχους· τὰ γάρ τοι σεισμῶν διαφέροντα τοῖς παθήμασιν οἱ φυσικοὶ λέγουσιν εἶναι ἴσα· καί τινας ἰδίους χαρακτῆρας ὀνομάτων ἐπιγράφουσιν αὐτοῖς· βρασματίαν τινὰ καὶ χασματίαν· καὶ κλιματίαν προσαγορεύοντες· τριπλαῖς οὖν καθώπλησεν ἀκμαῖς τὸν τῶν σεισμῶν αἴτιον θεόν· ἀμέλει πρὸς βραχὺ κινηθέντος αὐτοῦ

a) τρέμε δ' οὔρεα μακρὰ καὶ ὕλη·

τὸ τῶν σεισμῶν ἰδίωμα τοῦ ποιητοῦ διασημήναντος ἡμῖν·

Cap. 39. Ἔτι τοίνυν πολλήν τινα χλεύην καὶ μακρὸν ἡγοῦνται καταγέλωτα τοὺς ἀκαίρους Διὸς ὕπνους ἐν Ἴδῃ καὶ τὴν ὄρειον ὥς περ ἀλόγοις ζώοις ὑπεστρωμένην εὐνήν· ἐν ᾗ δυσὶ τοῖς ἀφρονεστάτοις πάθεσι δεδούλωται Ζεύς· ἔρωτι καὶ ὕπνῳ· νομίζω τοίνυν ἔγωγε αὐτὰ ταῦτα δι' ἀλληγορίας ἐαρινὴν ὥραν ἔτους εἶναι· καθ' ἣν ἅπαντα φυτὰ καὶ πᾶσα ἐκ γῆς ἀνίεται χλόη· τοῦ παγεώδους ἡσυχεῖ δυομένου κρύους· ὑφίσταται δὲ τὴν Ἥραν τουτέστι τὸν ἀέρα στυγνὸν ἀπὸ τοῦ χειμῶνος ἔτι καὶ κατηφῆ· διατοῦτο οἶμαι πιθανῶς αὐτῆς στυγερὸς ἔπλετο θυμός· μετὰ μικρὸν δὲ ἀποκρουσαμένη τὸ συννεφὲς τῆς ἀηδίας,

b) λύματα πάντα κάθηρεν· ἀλείψατο δὲ λίπ' ἐλαίῳ·
ἀμβροσίῳ ἑδανῷ, τό ῥα οἱ τεθυωμένον ἦεν·

ἡ λιπαρὰ καὶ γόνιμος ὥρα μετὰ τῆς τῶν ἀνθέων εὐωδίας ὑποσημαίνεται τοιούτῳ χρίσματι τῆς Ἥρας ἀλειψαμένης· τούς τε πλοκάμους φησὶν αὐτὴν ἀναπλέξασθαι·

a) Il. ν. 18. b) Il. ξ. 171.

a) καλοὺς ἀβροσίους ἐκ κράατος ἀθανάτοιο·

τὴν τῶν φυτῶν αἰνιττόμενος αὔξησιν· ἐπειδὴ δένδρον ἅπαν κομᾷ καὶ θριξὶν ὁμοίως ἀπὸ τῶν κλάδων ἀπαρτᾶται τὰ φύλλα· δίδωσι δὲ ἐγκόλπιον τῷ ἔαρι καὶ τὸν κεστὸν ἱμάντα·

b) ἔνθ' ἔνι μὲν φιλότης· ἐν δ' ἵμερος ἐν δ' ὀαριστύς·

ἐπειδήπερ αὕτη μάλιστα τοῦ ἔτους ἡ ὥρα τὸ τερπνότατον ἐπλήρωσε τῶν ἡδονῶν μέρος· οὔτε γὰρ λίαν ὑπὸ τοῦ κρύους πεπήγαμεν, οὔτε ἄγαν θαλπόμεθα· μεταίχμιον δέ τι τῆς ἑκατέρωθεν εὐκρασίας ἐν τοῖς σώμασιν ἀνεῖται· τοῦτον τοίνυν τὸν ἀέρα συνέμιξεν Ὅμηρος μετὰ μικρὸν τῷ αἰθέρι· διατοῦτο ἐπὶ τῆς ὑψηλοτάτης ἀκρωρείας καταλαμβάνεται Ζεύς, ἐν ᾗ

c) δι' ἠέρος αἰθέρ' ἵκανεν·

ἐνθάδε κιρνᾶται· καθ' ἓν ἀναμιχθεὶς ὁ ἀὴρ τῷ αἰθέρι· ἐμφατικῶς σὺν τοῖς ὀνόμασιν εἶπεν·

d) Ἥρα κατ' ἀγκὰς ἔμαρπε Κρόνου παῖς ἣν παρακοίτιν·

ἀγκαλίζεται γὰρ ἐν κύκλῳ περιέχων ὁ αἰθὴρ ὑφηπλωμένον αὐτῷ τὸν ἀέρα· τῆς δὲ συνόδου καὶ κράσεως αὐτῶν τὸ πέρας, ἐδήλωσε τὴν ἐαρινὴν ὥραν·

e) τοῖσι δ' ὑπὸ χθὼν δῖα φύεν νεοθηλέα ποίην·
λωτόν θ' ἑρσήεντα ἰδὲ κρόκον ἠδ' ὑάκινθον
πυκνὸν καὶ μαλακὸν ὃς ἀπὸ χθονὸς ὑψόσ' ἔεργεν·

ἴδια στέφη, ταῦτα τῆς ἀρτιθαλοῦς ὥρας· ἐπειδὰν ἐκ τῶν χειμερίων παγετῶν ἡ στερίφη καὶ μεμυκυῖα, πηγὰς κυοφορουμένας ἔνδον ὠδῖνας ἐκφήνη· προσεπισφραγιζόμενος δὲ τοῦτο, τὸν λωτὸν εἶπεν ἑρσήεντα τὸν δροσερὸν, τῆς ἐαρινῆς καταστάσεως ἐμφανέστερον ποιῶν τοῦ καιροῦ·

a) Il. ξ. 177. b) Ibid. 216. c) Ibid. 288. d) Ibid. 346. e) Il. ξ. 547.

a) ἐπεὶ δὲ νεφέλην ἕσσαντο
καλὴν χρυσείην· στιλπναὶ δ' ἀπέπιπτον ἔερσαι·

τίς ἀγνοεῖ τοῦθ' ὅτι χειμῶνος μὲν ἐπάλληλα πυκνώματα τῶν νεφῶν ἐκμελαίνεται καὶ μετὰ θολερᾶς ἀχλύος κατηφὴς ἅπας ὁ οὐρανὸς ἀμαυροῦται· τοῦ δὲ ἀέρος ὑποσχίζοντος, ἀργὰ τὰ νέφη μαλακῶς ὑποπείρεται ταῖς ἡλιακαῖς ἀκτῖσιν ἐναγκαλιζόμενα· καὶ παραπλήσιόν τι χρυσαῖς μαρμαρυγαῖς ἀποστίλβει· τοῦτο δὴ τὸ περὶ τὴν Ἴδην κορυφαῖον ἡμῖν νέφος ὁ τῆς ἐαρινῆς ὥρας δημιουργὸς Ὅμηρος ἐδήλωσεν·

Cap. 40. Ἀλλ' ἐφεξῆς ἡ τῶν ἐπιφυομένων αὐτῷ τόλμα, τοὺς Ἥρας δεσμοὺς αἰτιᾶται· καὶ νομίζουσιν ὕλην τινὰ δαψιλῆ τῆς ἀθέου πρὸς Ὅμηρον ἔχειν μανίαν·

b) ἦ οὐ μέμνη ὅτε τ' ἐκρέμω ὑψόθεν ἐκ δὲ ποδοῖιν
ἄκμονας ἧκα δύω· περὶ χερσὶ δὲ δεσμὸν ἴηλα
χρύσεον ἄῤῥηκτον· σὺ δ' ἐν αἰθέρι καὶ νεφέλῃσιν
ἐκρέμαω·

λέληθε δ' αὐτοὺς ὅτι τούτοις τοῖς ἔπεσιν ἡ τοῦ παντὸς ἐκτεθεολόγηται γένεσις· καὶ τὰ συνεχῶς ᾀδόμενα τέτταρα στοιχεῖα τούτων τῶν στίχων ἐστὶ τάξις· καθάπερ ἤδη μοι λέλεκται· πρῶτος αἰθὴρ· καὶ μετὰ τοῦτον ἀὴρ· εἶθ' ὕδωρ τὲ καὶ γῆ. τελευταῖα πάντων δημιουργὰ στοιχεῖα· ταῦτα δ' ἀλλήλοις ἐπικιρνώμενα, ζωογονεῖται· καὶ τῶν ἀψύχων ἀρχέγονα καθίσταται· Ζεὺς τοίνυν ὁ πρῶτος τὸν ἑαυτοῦ ἀέρα κατήρτηκεν· στερεοὶ δ' ἄκμονες ὑπὸ ταῖς ἐσχάταις ἀέρος βάσεσιν ὕδωρ τὲ καὶ γῆ· καὶ τοῦτο ὅτι τοιοῦτόν ἐστιν, ἐφ' ἑκάστης λέξεως εἴ τις ἀκριβῶς ἐθέλοι σκοπεῖν, τἀληθὲς εὑρήσει· ἦ οὐ μέμνη ὅτε τ' ἐκρέμω ὑψόθεν· ἀπὸ γὰρ τῶν ἀνωτάτων καὶ μετεώρων τόπων φασὶν αὐτὴν

a) Il. ξ. 340. b) Il. ο. 18.

ἀπηρτῆσθαι· περὶ χερσὶ δὲ δεσμὸν ἵηλα· χρύσεον ἄῤῥηκτον· τί τοῦτο τὸ καινὸν αἴνιγμα τῆς κολακευούσης τιμωρίας· πῶς ὀργιζόμενος Ζεὺς πολυτελεῖ δεσμῷ τὴν κολαζομένην ἠμύνατο· χρυσοῦν ἀντὶ τοῦ κραταιοτέρου σιδήρου τὸν δεσμὸν ἐπινοήσας· ἀλλ' ἔοικε τὸ μεταίχμιον αἰθέρος τε καὶ ἀέρος, χρυσῷ μάλιστα τὴν χρόαν ἐμφερὲς εἶναι· πάνυ δὴ πιθανῶς καθ' ὃ μέρος ἀλλήλοις ἐπισυνάπτουσι· λήγων μὲν γὰρ ὁ αἰθὴρ. ἀρχόμενος δὲ μετ' ἐκεῖνον ὁ ἀὴρ, χρυσοῦν ὑπεστήσατο δεσμόν· ἐπιφέρει γοῦν· σύ δ' ἐν αἰθέρι καὶ νεφέλῃσιν ἐκρέμω· τὸν ἄχρι νεφῶν τόπον ὁρίσας μέτρον ἀέρος· ἐκ δὲ τῶν τελευταίων μερῶν τοῦ ἀέρος ἃ καλεῖται πόδας, απήρτησε στιβαρὰ βρίθη γῆν τε καὶ ὕδωρ· ἐκ δὲ ποδοῖϊν ἄκμονας ἧκα δύω· πῶς ἂν εἶπε δεσμὸν ἄῤῥηκτον αὐτίκα τῆς Ἥρας λυθείσης· εἴγε τῷ μύθῳ προσεκτέον· ἀλλ' ἐπειδήπερ ἡ τῶν ὅλων ἁρμονία δεσμοῖς ἀῤῥαγέσι συνωχύρωται· καὶ δυσχερὴς ἡ τοῦ παντὸς εἰς τἀναντία μεταβολὴ, τὸ μὴ δυνηθὲν ἂν, διαζευχθῆναί ποτε, κυρίως ὠνόμασεν ἄῤῥηκτον·

Cap. 41. Ταύτην δὲ τὴν τετράδα τῶν στοιχείων, καὶ μετὰ μικρὸν ἐν τοῖς ὅρκοις διεσάφησεν Ἥρα·

a) ἴστω νῦν τόδε γαῖα· καὶ οὐρανὸς εὐρὺς ὕπερθεν·
καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ·

τρισὶ γὰρ ὅρκοις τὴν ὁμόφυλον αὐτῆς καὶ συγγενῆ φύσιν ὠνόμασεν· ὕδωρ δὲ καὶ γῆν καὶ τὸν ὕπερθεν οὐρανὸν· τουτέστι τὸν αἰθέρα· τέταρτον στοιχεῖον ἦν ἡ ὀμνύουσα· διευπορῶν γέ τοι καὶ ἐπὶ καλοῖς ἀλληγορικῶς παριστάναι βουλόμενος ταυτὶ τὰ στοιχεῖα, καὶ μετ' ὀλίγον ἐν τοῖς Ποσειδῶνος πρὸς Ἶριν λόγοις αὐτὰ ταῦθ' ὑφίσταται λέγων·

b) ἤτοι ἐγὼν ἔλαχων πολιὴν ἅλα ναιέμεν αἰεὶ

a) Il. ο. 36. b) Il. ο. 190. seqq.

παλλομένων Ἀΐδης δ' ἔλαχε ζόφον ἠερόεντα·
Ζεὺς δ' ἔλαχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλησιν·
γαῖα δέτι ξυνὴ πάντων καὶ μακρὸς ὄλυμπος·

οὐ μὰ Δί' οὐ κλῆρος ὁ μυθευόμενος ἐν Σικυῶνι ταῦτα· καὶ διαίρεσις ἀδελφῶν οὕτως ἀνώμαλος ὡς οὐρανὸν ἀντιθεῖναι θαλάττῃ καὶ ταρτάρῳ· πᾶς γὰρ ὁ μῦθος ἠλληγόρηται περὶ τῶν ἐπ' ἀρχαῖς τεττάρων στοιχείων· χρόνον μὲν γὰρ ὀνομάζει τὸν Κρόνον κατὰ μετάληψιν ἑνὸς στοιχείου· πατὴρ δὲ τῶν ὅλων ὁ χρόνος· καὶ τελέως ἀμήχανόν τι γενέσθαι τῶν ὄντων δίχα χρόνȣ· διὸ δὴ ῥίζα τῶν τεττάρων στοιχείων οὗτός ἐστι· μητέρα δ' αὐτοῖς ἔνειμεν εἶναι Ῥέαν· ἐπειδὴ ῥύσει τινὶ καὶ ἀενάῳ κινήσει τὸ πᾶν οἰκονομεῖται· χρόνου δὲ καὶ ῥύσεως τέκνα γῆν τε καὶ ὕδωρ αἰθέρα τὲ καὶ ἀέρα σὺν αὐτῷ ὑπεστήσατο· καὶ τῇ μὲν πυρώδει φύσει τόπον ἔνειμεν οὐρανόν· τὴν δ' ὑγρὰν οὐσίαν Ποσειδῶνι προσέθηκε· τρίτον δὲ Ἀΐδην τὸν ἀφώτιστον ἀέρα δηλοῖ· κοινὸν δὲ πάντων καὶ ἑδραιότατον ἀπεφήνατο στοιχεῖον εἶναι τὴν γῆν· ὥς περ ἑστίαν τινὰ τῆς τῶν ὅλων δημιουργόν·

γαῖα δ' ἐστὶ ξυνὴ πάντων καὶ μακρὸς ὄλυμπος·

καὶ διατοῦτο δέ μοι δοκεῖ συνεχῶς ἀλληγορεῖν ὑπὲρ αὐτῶν· ἵν' ἡ δοκοῦσα τοῖς ἔπεσιν ἐφεδρεύειν ἀσάφεια τῷ διηνεκεῖ τῆς παραδόσεως ᾖ γνωριμώτερα:

Cap. 42. Τά γε μὴν ἐπὶ Σαρπηδόνι δάκρυα, λύπην μὲν οὐ καταψεύδεται θεοῦ· ὃ καὶ παρ' ἀνθρώποις νόσημα· αὐτῷ δὲ βουλομένῳ τἀκριβὲς ἐρευνᾶν, ἐπινοεῖται τρόπος ἀλληγορευμένης ἀληθείας· πολλάκις γὰρ ἐν ταῖς μεταβολαῖς τῶν μεγάλων πραγμάτων ἱστοροῦσι τεράστια τῷ βίῳ, συμφέρεσθαι· σημεῖα ποταμῶν τε καὶ πηγῶν· ναμάτων αἱμοφορύκτοις ῥεύμασιν ἐκμιαινομένων· ὡς ἐπ' Ἀσωπȣ̃ τε καὶ Δίρκης παραδιδόασιν οἱ παλαιοὶ μῦθοι· λόγος δ' ἔχει καὶ

κατὰ νεφῶν ψεκάδας ὕεσθαι φόνῳ τισὶ κηλῖσιν ἐπικεχρωσμένας· ἐπεὶ τοίνυν ἡ μεταβολὴ τῆς μάχης ἀθρόαν φυγὴν ἐμποιήσειν ἔμελλεν τοῖς βαρβάροις· ἐγγὺς δ' ἦν ὁ τοῦ κατ' ἀλκὴν ἀρίστου Σαρπηδόνος ὄλεθρος, ὡςπερεὶ τεράστια προυφάνη ταύτης τῆς συμφορᾶς ἀγγελτικά· αἱματοέσσας δὲ ψεκάδας κατέχευεν ἔραζε· τοῦτον δὴ τὸν φονέα ὄμβρον, ἀλληγορικῶς εἴρηκεν αἰθέρος δάκρυα· Διὸς μὲν οὔ· ἄκλαυστος γάρ· ἐκ δὲ τῶν ὑπεράνω τόπων ὡς περεὶ θρήνοις μεμιγμένου καταῤῥαγέντος ὑετοῦ·

Cap. 43. Ταυτὶ μὲν ἴσως ἐλάττω τεκμήρια περὶ τῶν ἠλληγορημένων: ἐπεὶ μέν τοι τῆς ὁπλοποιΐας, μεγάλῃ καὶ κοσμοτόκῳ διανοίᾳ τὴν τῶν ὅλων περιήθροισε γένεσιν· ὅθεν γὰρ αἱ πρῶται τοῦ παντὸς ἔφυσαν ἀρχαὶ· καὶ τίς ὁ τούτων δημιουργὸς· καὶ πῶς ἕκαστα πληρωθέντα διεκρίθη, σαφέσι τεκμηρίοις παρέστησε· τὴν Ἀχιλλέως ἀσπίδα τῆς κοσμικῆς περιόδου χαλκευσάμενος εἰκόνα· καὶ τὸ πρῶτον ὑπεστήσατο τῆς παντελοῦς δημιουργίας, νύκτα καιρὸν· ἐπειδήπερ αὕτη χρόνου πτερὰ πάτρια πρεσβεῖα κεκλήρωται· καὶ πρινὴ διακριθῆναι τὰ νῦν βλεπόμενα νὺξ ἦν τὸ σύμπαν· ὃ δὴ χάος ποιητῶν ὀνομάζουσι παῖδες· οὐ γὰρ οὕτως ἄθλιόν τινα καὶ κακοδαίμονα παρεισάγει τὸν Ἥφαιστον, ὡς μὴ δὲ νυκτὸς ἀνάπαυσιν ἔχειν τῆς χειρωνακτικῆς ἐργασίας· ὅπου γε καὶ παρ' ἀνθρώποις ἀθλίοις ἄτοπον εἶναι δοκεῖ τὸ μὴ δὲ νύκτα τῶν πόνων ἐκεχειρίαν ἄγειν· ἀλλ' οὐκ ἔστι ταῦτα χαλκεύων Ἀχιλλεῖ πανοπλίαν Ἥφαιστος· οὐδ' ἐν οὐρανῷ βουνοὶ χαλκοῦ καὶ κασσιτέρου ἀργύρου τὲ καὶ χρυσοῦ εἰσίν· ἀμήχανον γὰρ τὰς ἀηδεῖς καὶ φιλαργύρους γῆς νόσους, ἐπ' οὐρανὸν ἀναβῆναι· φυσικῶς δὲ τῆς ἀμόρφου ποτὲ καὶ μὴ διακεκριμένης ὕλης τὸν καιρὸν ἀποφηνάμενος εἶναι νύκτα, δημιουργὸν ἡνίκα ἔμελλε πάντα μορφοῦσθαι τὸν Ἥφαιστον ἐπέστησε· τουτέστι τὴν θερ-

μὴν οὐσίαν· πυρὸς γὰρ δὴ κατὰ τὸν φυσικὸν Ἡράκλειτον ἀμοιβῇ τὰ πάντα γίγνεται· ὅθεν συνοικοῦσαν ἐκ ἀπιθάνως τῷ τῶν ὅλων ἀρχιτέκτονι πεποίηκε τὴν χάριν· ἔμελλε γὰρ ἤδη τῷ κόσμῳ χαριεῖσθαι τὸν ἴδιον κόσμον· ὕλαι δὲ τίνες αὐτϐ τῆς κατασκευῆς·

a) χαλκὸν δ' ἐν πυρὶ βάλεν ἀτειρέα κασσίτερόν τε· εἰ μὲν Ἀχιλλεῖ κατεσκεύασε πανοπλίαν, πάντα ἔδει χρυσὸν εἶναι· καὶ γὰρ οἶμαι σχέτλιον Ἀχιλλέα μὴ δὲ Γλαύκῳ κατὰ τὴν πολυτέλειαν ἴσον εἶναι· νῦν δὲ τὰ τέτταρα ϛοιχεῖα κιρνᾶται· καὶ χρυσὸν μὲν ὠνόμασε τὴν αἰθερώδη φύσιν· ἄργυρον δὲ, τὸν αὐτῇ τῇ χρόᾳ συνομοιϐμενον ἀέρα· χαλκὸς δὲ καὶ κασσίτερος, ὕδωρ τε καὶ γῆ προσαγορεύεται διὰ τὴν ἐν ἀμφοτέροις βαρύτητα· πρώτη δὲ ἀπὸ τούτων τῶν στοιχείων ἀσπὶς ὑπ' αὐτοῦ χαλκεύεται· σφαιροειδὲς ἔχουσα τὸ σχῆμα· δι' οὗ τὸν κόσμον ἡμῖν ἐμφανῶς ἐσήμηνεν· ὃν οὐκ ἀπὸ τῆς ὁπλοποιΐας μόνον ἀλλὰ καὶ δι' ἄλλων τεκμηρίων ἐπίσταται κυκλοειδῆ·

Cap. 44. Συντόμως δὲ ἐν παρεκβάσει τὰς ὑπὲρ τϐτων φιλοτεχνϐντες ἀποδείξεις δηλώσομεν· συνεχῶς τοίνυν τὸν ἥλιον ἀκάμαντα· καὶ ἠλέκτορα καὶ ὑπερίονα προσαγορεύει διὰ τῶν ἐπιθέτων· οὐκ ἄλλό τι πλὴν τϐτο τὸ σχῆμα σημαίνων. ὅτε γὰρ ἀκάμας ὁ μὴ κάμνων ἔοικεν ὅρϐς ἔχειν οὐκ ἀνατολὴν καὶ δύσιν· ἀλλὰ τὴν ἀειπερίδρομον ἀνάγκην· ἠλέκτορ δὲ, δυοῖν θάτερον· ἢ ἤλεκτρος ὁ θεὸς ὀνομάζεται μηδέποτε κοίτης ἐπιψαύων, ἢ τάχα πιθανώτερον ἐπιελίκτωρ τίς ὢν· καὶ κυκλοτερεῖ φορᾷ δι' ἡμέρας καὶ νυκτὸς ἀναμετρούμενος τὸν κόσμον· ὑπερίονα δὲ νομιστέον, αὐτὸν τὸν ὑπεριέμενον ἀεὶ τῆς γῆς· ὥς περ οἶμαι καὶ Ξενοφάνης ὁ κολοφώνιος φησὶν·

a) Il. σ. 474.

ἠέλιος θ' ὑπεριέμενος γαῖαν τ' ἐπιθάλπων·

εἰ γὰρ πατρωνυμικῶς αὐτὸν ἠθέλησεν ὀνομάζειν, εἶπεν ἂν, ὑπεριονίδην· ὡς Ἀτρείδην εἰ τύχοι τὸν Ἀγαμέμνονα καὶ Πηλείδην τὸν Ἀχιλλέα·

Cap. 45. Ἥτε θοὴ νὺξ οὐκ ἄλλό τι σημαίνειν πλὴν τὸ σφαιροειδὲς ὅλου τοῦ πόλου σχῆμα· τὸν γὰρ αὐτὸν ἡλίῳ δρόμον ἡ νὺξ ἀνύει. καὶ πᾶς ὁ καταλειφθεὶς ὑπ' ἐκείνου τόπος, εὐθὺς ὑπὸ ταύτης ἐκμελαίνεται· σαφῶς γοῦν ἑτέρωθί που τοῦτο μηνύων, φησίν·

a) ἐν δ' ἔπεσ' ὠκεανῷ λαμπρὸν φάος ἠελίοιο·
ἕλκων νύκτα μέλαιναν ἐπὶ ζείδωρον ἄρουραν·

ὥς περ γὰρ ἀπηρτημένην ἑαυτοῦ τὴν νύκτα κατόπιν ἐφέλκεται συγχρονοῦσαν τοῖς ἡλίου τάχεσιν· εἰκότως οὖν αὐτὴν Ὅμηρος εἴρηκε θοήν· δύναταί γε μὴν πιθανώτερόν τις ἐπιχειρῶν, θοὴν ὀνομάζειν μεταληπτικῶς· οὐ τὴν κατὰ κίνησιν ὀξεῖαν· ἀλλὰ τὴν κατὰ σχῆμα· καὶ γὰρ ἑτέρωθί που φησίν·

b) ἔνθεν δ' αὖ νήσοισιν ἐπιπροέηκα θοῇσιν·

οὐ τὸ τάχος τῶν ἐῤῥιζωμένων νήσων· ἠλιθίως γὰρ δηλώσειν ἐσπουδακώς· ἀλλὰ τὰ σχῆμα πρὸς ὀξεῖαν ἀπολήγουσιν ἀποτελεῖν γραμμήν· εἰκότως οὖν νύκτα θοὴν λέγεσθαι, τὴν ἐπ' ὀξὺ τέλος τῆς ἐσχάτης σκιᾶς ἀποτερματίζουσαν·

Cap. 46. Φυσικῶς δὲ περὶ τούτου ὁ λόγος ἀποδείκνυσιν· ὅτι σφαιροειδής ἐστιν ὁ κόσμος· τριχῇ γὰρ οἱ μαθηματικοὶ τὰ σχήματα τῶν σκιῶν φασιν ἀποπίπτειν· ἐπειδὰν γὰρ ἔλαττον ᾖ τὸ περιλάμπον τοῦ καταλαμπομένου, τὴν σκιὰν συμβέβηκε καλαθοειδῶς ἐπὶ τὴν ὑστάτην πλατείνεσθαι· ἀπὸ λεπτῆς ἀνισταμένην τῆς κατὰ κορυφὴν ἀρχῆς· ὅταν

a) Il. θ. 485. b) Od. ο. 298.

δὲ μεῖζον ᾖ τὸ καταλάμπον φῶς τοῦ καταλαμπομένου τόπου, κωνοειδῆ συμβέβηκε τὴν σκιὰν ἀπὸ πλατείας τῆς ἀρχῆς εἰς λεπτὸν ἀποστενοῦσθαι πέρας· ἐπειδάν γε μὴν ἴσον ᾖ τῷ καταλαμπομένῳ τὸ καταλάμπον, κυλίνδρου δίκην ἡ σκιὰ πρὸς ἴσον ἐν ταῖς ἑκατέρωθεν ἔχει γραμμαῖς· βουλόμενος οὖν Ὅμηρος τὸν ἥλιον ἄλλως μείζονα τῆς γῆς κατὰ τὴν τῶν πλείστων φιλοσόφων ἔννοιαν ἀποδεῖξαι, εὐλόγως θοὴν τὴν νύκτα προσηγόρευσεν· εἰς ὀξὺ τὸ πρὸς τῷ πέρατι σχῆμα λήγουσαν· ἅτε οἶμαι μήτε κυλινδροειδῶς μήτε καλαθοειδῶς τῆς σκιᾶς πίπτειν δυναμένης· ἀλλὰ τὸν λεγόμενον κῶνον ἀποτελέσης· ὃ δὴ πρῶτος Ὅμηρος ἐκ μιᾶς λέξεως ὑπαινιξάμενος, τὰς μυρίας τῶν φιλοσόφων ἁμίλλας ἐπιτέτμηται·

Cap. 47. Καὶ μὴν αἱ φοραὶ τῶν ἐναντίων ἀνέμων δηλοῦσι τὸ τοῦ κόσμου σφαιροειδές· βορέας μὲν γὰρ ἀπὸ τῆς ἄρκτου πνέων μετέωρος, a) μέγα κῦμα κυλίνδει· τὴν γὰρ ἀπὸ τοῦ μεταρσίου φορὰν ἐπὶ τὸ ταπεινότερον, ἐκ μιᾶς λέξεως κατεκύλισεν ὁ στίχος· τοὔμπαλιν δὲ ἐπὶ τοῦ νότου πνέοντος ἀπὸ τῶν κάτω τόπων ἱστόρησεν·

b) ἔνθα νότος μέγα κῦμα ποτὶ σκαιὸν ῥέον ὠθεῖ·

τὴν ἀπὸ τοῦ ταπεινοτέρου κίνησιν εἰς τὸ μετέωρον ἀνακαλεῖ· ἔτι γε μὴν μετὰ τῶν ἄλλων, ἀπείρονα γαῖαν ὀνομάζει· καὶ πάλιν ἐπὶ τῆς Ἥρας·

c) εἶμι γὰρ ὀψομένη πωλοφόρβου πείρατα γαίης·

οὐ δή που μαχομέναις δόξαις πρὸς αὑτὸν στασιάζων· ἀλλ' ἐπειδὴ πᾶν σφαιροειδὲς σχῆμα καὶ ἄπειρόν ἐστι καὶ πεπερασμένον· τῷ μὲν γὰρ ὅρον τινὰ καὶ περιγραφὴν ἔχειν, εὐλόγως αὐτὸ πεπεράσθαι νομιστέον· ἄπειρον δ' ἄν, ὁ κύκλος ὀνομάζοιτο δικαίως ἐπειδήπερ ἀμήχανόν ἐστι δεῖξαι

a) Od. ε. 296. b) Od. γ. 295. c) Il. ξ. 200.

πέρας ἐν αὐτῷ τι· τὸ γὰρ νομισθὲν εἶναι τέλος, ἐξ ἴσȣ γένοιτ᾽ ἂν, ἀρχή·

Cap. 48. Ταυτὶ μὲν οὖν ἀθρόα τεκμήρια τȣ̃ σφαιροειδῆ τὸν κόσμον εἶναι παρ᾽ Ὁμήρῳ· τὸ δ᾽ ἐναργέστατον ἐϛὶ σύμβολον τῆς Ἀχιλλέως ἀσπίδος κατασκευῆς· κυκλοτερὲς γὰρ τῷ σχήματι κεχάλκευκεν ὅπλον Ἥφαιστος· ὥς περ εἰκόνα τῆς κοσμικῆς περιόδȣ· μυθικῶς μὲν οὖν ἀσπίδα χαλκευομένην ὑποϛησάμενος ἁρμόζουσαν Ἀχιλλεῖ, τὴν διὰ πάντων ἐνεχάραξε πορείαν· τίς δὲ ἦν αὕτη·

a) ϛησάμενοι δ᾽ ἐμάχοντο μάχην ποταμοῖο παρ᾽ ὄχθας
βάλλον δ᾽ ἀλλήλους χαλκήρεσιν ἐγχείησιν·
ἐν δ᾽ ἔρις ἐν δὲ κυδοιμὸς ὁμίλεον ἐν δ᾽ ὀλοὴ κὴρ·
ἄλλον ζωὸν ἔχουσα νεούτατον ἄλλον ἄουτον·
ἄλλον τεθνειῶτα κατὰ μόθον ἕλκε ποδοῖϊν·

ταῦτα γὰρ ἦν ὁ διηνεκὴς Ἀχιλλέως βίος· νῦν δὲ Ὅμηρος ἰδίᾳ τινὶ φιλοσοφίᾳ δημιουργῶν τὸν κόσμον, εὐθὺς τὰ μέγιστα τῆς προνοίας ἔργα μετὰ τὴν ἀδιευκρίνητον καὶ κεχυμένην ὕλην ἐχάλκευσεν·

ἐν μὲν γαῖαν ἔτευξ᾽ ἐν δ᾽ ȣ̓ρανὸν ἐν δὲ θάλασσαν·
ἠέλιον τ᾽ ἀκάμαντα σελήνην τε πλήθȣσαν·

ἡ τῆς κοσμικῆς γενέσεως εἱμαρμένη πρῶτον θεμελιȣ̃χον ἐκρότησε τὴν γῆν· εἶτα ἐπὶ ταύτῃ καθάπερ τινὰ θείαν ϛέγην τὸν οὐρανὸν ἐπωρόφωσε· καὶ κατὰ τῶν ἀναπεπταμένων αὐτῆς κόλπων ἀθρόαν ἔχεε τὴν θάλασσαν. εὐθύς τε ἡλίῳ τε καὶ σελήνῃ τὰ διακριθέντα τῶν ϛοιχείων ἀπὸ τȣ̃ πάλαι χάους ἐφώτισεν·

b) ἐν δὲ τὰ τείρεα πάντα τά τ᾽ ȣ̓ρανὸς ἐϛεφάνωται·

δι᾽ οὗ μάλιϛα σφαιροειδῆ παραδέδωκεν ἡμῖν τὸν κόσμον· ὥς περ γὰρ ὁ στέφανος κυκλοτερὴς τῆς κεφαλῆς κόσμος

a) Il. σ. 533. b) Il. σ. 485.

ἐστὶν, οὕτω τὰ διεζωκότα τὴν οὐράνιον ἀψῖδα κατὰ σφαιροειδοῦς ἐσπαρμένα σχήματος, εἰκότως οὐρανοῦ στέφανος ὠνόμασται·

Cap. 49· Διακριβολογησάμενος δ' ὑπὲρ τῶν ὁλοσχερῶν ἀστέρων καὶ κατὰ μέρος ἐπιφανέστατα δεδήλωκεν· οὐ γὰρ ἠδύνατο πάντα θεολογεῖν ὥς περ Εὔδοξος ἢ Ἄρατος ἰλιάδα γράφων· ἀντὶ τῶν φαινομένον ὑποστησάμενος ἑαυτῷ· μεταβέβηκεν οὖν ἀλληγορικῶς ἐπὶ τὰς δύο πόλεις· τὴν μὲν, εἰρήνης· τὴν δὲ, πολέμου παρεισάγων, ἵνα μὴ δ' Ἐμπεδοκλῆς ὁ ἀκραγαντῖνος ἀπ' ἄλλου τινος ἢ παρ' Ὁμήρου τὴν σικελὴν ἀρύσηται δόξαν· ἅμα γὰρ τοῖς τεσσάροις στοιχείοις κατὰ τὴν φυσικὴν θεωρίαν παραδέδωκε τὸ νεῖκος καὶ τὴν φιλίαν· τούτων δ' ἑκάτερον Ὅμηρος ὑποσημαίνων, πόλεις ἐνεχάλκευσε τῇ ἀσπίδι· τὴν μὲν, εἰρήνης· τουτέστι τῆς φιλίας· τὴν δὲ, πολέμου· τουτέστι νείκους·

Cap. 50. Πτύχας δὲ ὑπεστήσατο τῆς ἀσπίδος πέντε· σχεδὸν οὐκ ἄλλό τι, πλὴν οὐκ ἐμπεποικιλμένοις τῷ κόσμῳ ζώνας ὑπαινιξάμενος· ἡ μὲν γὰρ ἀνωτάτω περὶ τὸν βόρειον εἱλεῖται πόλον· ἀρκτικὴν δὲ αὐτὴν ὀνομάζουσιν· ἡ δ' ἐφεξῆς, εὔκρατός ἐστιν· εἶτα τὴν τρίτην διακεκαυμένην καλοῦσιν· ἡ τετάρτη δ' ὁμονύμως τῇ δευτέρα πρότερον εὔκρατος ὀνομάζεται· πέμπτη δ' ἐπονύμως τοῦ νοτίου μέρους· ἡ νότιός τε καὶ ἀντάρκτιος καλουμένη· τούτων αἱ μὲν δύο τελέως ἀοίκητοι διὰ τὸ κρύος· ἥ τε τὸν βόρειον εἰληχεῖα πόλον· καὶ ἡ τὸν ἀπάντικρυ νότιον· ὁμοίως δ' ἐν αὐταῖς ἡ διακεκαυμένη καθ' ὑπερβολὴν τῆς πυρώδους οὐσίας, οὐδενὶ βατὴ ζώῳ· δύο δὲ τὰς εὐκράτους φασὶν οἰκεῖσθαι τὴν μέσην ἀφ' ἑκατέρας ζώνης κρᾶσιν ἐπιδεχομένας. ὁ γοῦν Ἐρατοσθένης καὶ σφοδρότερον ἐν τῷ Ἑρμῇ ταύτῃ διηκρίβωσεν εἰπών·

a) πέντε δέ οἱ ζῶναι περιηγέες ἐσπείρηνται·
αἱ δύο μὲν γλαυκοῖο κελαινότεραι κυάνοιο·
ἡ δὲ μία ψαφαρή τε καὶ ἐκ πυρὸς οἷον ἐρυθρή·
τυπτομένη φλογμοῖσιν ἐπεὶ ῥά ἑ μαῖραν ἐπ' αὐτὴν
κεκλιμένην ἀκτῖνες ἀειθερέες πυρόωσιν·
αἱ δὲ δύο ἑκάτερθε πόλοιο περιπεπηγυῖαι·
αἰεὶ κρυμαλέαι· ἀεὶ δ' ὕδατι μιγέουσαι·

Cap. 51. Ταύτας οὖν Ὅμηρος πτύχας ὠνόμασεν ἐξ ὧν φησίν·

b) ἐπεὶ πέντε πτύχας ἤλασε κυλλοποδίων·
τὰς δύο χαλκείας δύο δ' ἔνδοθι κασσιτέροιο.
τὴν δὲ μίαν χρυσῆν·

τὰς πὲν ἀνωτάτω κατὰ τοὺς ἀλαμπεῖς μυχοὺς τȣ̃ κόσμȣ κειμένας δύο ζώνας χαλκῷ προσεικάσας· ψυχρὰ γὰρ ἡ ὕλη καὶ κρύους μεςή· λέγει γοῦν ἑτέρωθί πȣ· c) ψυχρὸν δ' ἕλε χαλκὸν ὀδȣ̃σι· τὴν δὲ μίαν χρυσῆν· τὴν διακεκαυμένην· ἐπειδήπερ ἡ πυρώδης οὐσία κατὰ τὴν χρόαν ἐμφερεςάτη χρυσῷ· δύο δ' ἔνδοθι κασσιτέροιο· τὰς εὐκράτους ὑποσημαίνων· ὑγρὰ γὰρ ἡ ὕλη καὶ τελέως εὔθικτος ἡ τοῦ κασσιτέρου· δι' ἧς τὸ περὶ τὰς ζώνας εὐαφὲς ἡμῖν καὶ μαλθακὸν δεδήλωκεν· τὸ μὲν οὖν ἐν οὐρανῷ σεμνὸν ἐργαςήριον Ἡφαίςου. τὴν ἱερὰν φύσιν οὕτως ἐδημιούργησεν:

Cap. 52. Ἀνίσταται δ' εὐθὺς ὁ φρικώδης καὶ χαλεπὸς ἐφ' Ὁμήρῳ τῶν συκοφαντȣ́ντων φθόνος· ὑπὲρ τῆς θεομαχίας· d) οὐ γὰρ ἔτι Τρώων καὶ Ἀχαιῶν φύλοπις αἰνὴ παρ' αὐτῷ συνέῤῥωγεν· ἀλλ' ȣ̓ράνιαι ταραχαὶ καὶ ςάσεις τὸ θεῖον ἐπινέμονται·

a) Cf. Arati op. in fine ab *Halma* edit. Parisiis 1823.
b) Il. υ. 270. seqq. c) Il. ε. 75. d) Il. ζ. pr.

a) ἤτοι μὲν γὰρ ἔναντα Ποσειδάωνος ἄνακτος
ἵστατ' Ἀπόλλων φοῖβος ἔχων ἰὰ πτερόεντα·
ἄντα δ' ἐνυαλίοιο θεὰ γλαυκῶπις Ἀθήνη·
Ἥρῃ δ' ἀντέστη χρυσηλάκατος κελαδεινή·
Ἄρτεμις ἰοχέαιρα κασιγνήτη ἑκάτοιο·
Λητοῖ δ' ἀντέστη σῶκος ἐριούνιος Ἑρμῆς·
ἄντα δ' ἄρ' Ἡφαίστοιο μέγας ποταμὸς βαθυδίνης·

οὐκέτι ταῦθ' Ἕκτωρ πρὸς Αἴαντα μαχόμενος· οὐδ' Ἀχιλλεὺς πρὸς Ἕκτορα καὶ μετὰ Πατρόκλου Σαρπηδών· ἀλλὰ τὸν μέγαν οὐρανοῦ πόλεμον ἀγωνοθετήσας Ὅμηρος, οὐδ' ἄχρι μελλήσεως τὸ κακὸν ὥπλισεν· ἀλλ' ὁμόσε τοὺς θεοὺς συνέῤῥαξεν ἀλλήλοις· b) ἑπτὰ μὲν γὰρ Ἄρης

ἔπεσχε πέλεθρα πεσὼν ἐκόνισε δὲ χαίτας·

μετὰ ταῦτα δὲ Ἀφροδίτης

c) λύτο γούνατα καὶ φίλον ἦτορ·

Ἄρτεμις δὲ καὶ προσεξύβρισται τοῖς ἰδίοις τόξοις ἀνηπία κόρη σωφρονισθεῖσα· Ξάνθος δὲ παρ' ὀλίγον οὐδὲ ποταμὸς ἐῤῥύη διὰ Ἥφαιστον.

Cap. 53. Ὅμως δ' οὖν πάντα ταῦτα κατ' ἀρχὰς μὲν οὐδόλως σφόδρα πείθειν δύναται τοὺς πολλούς· εἰ δ' ἐθελήσαι τις ἐνδοτέρω, καταβὰς τῶν ὁμηρικῶν ὀργίων ἐποπτεῦσαι τὴν μυστικὴν αὐτοῦ σοφίαν, ἐπιγνώσεται τὸ δοκοῦν αὐτῷ ἀσέβημα πηλίκης μεστόν ἐστι φιλοσοφίας· ἐνίοις μὲν οὖν ἀρέσκει τὴν τῶν ἑπτὰ πλανήτων ἀστέρων ἐν ἑνὶ ζωδίῳ σύνοδον ὑφ' Ὁμήρου διὰ τούτων δὴ λεχθεῖσαν· φθορὰ δὲ παντελὴς ὅταν τοῦτο γένηται· σύγχυσιν οὖν τοῦ παντὸς ὑπαινίττεται· συνάγων εἰς ἓν Ἀπόλλωνα τουτέστιν ἥλιον· καὶ Ἄρτεμιν ἣν φαμὲν εἶναι σελήνην· τόν τε τῆς Ἀφροδίτης καὶ Ἄρεος· ἔτι δὲ καὶ Ἑρμοῦ καὶ Διὸς ἀστέρα· ταύ-

a) Il. υ. 67. seqq. b) Il. φ. 407. (c Ibid. 426.

τὴν μὲν οὖν πιθανότατος μᾶλλον ἢ ἀληθείας ἐχομένην τὴν ἀλληγορίαν, ἄχρι τοῦ μὴ δοκεῖν ἀγνοεῖν παρειλήφαμεν· ἃ δ' ἐστὶν ἐναργέστερα καὶ τῆς Ὁμήρου σοφίας ἐχόμενα, ταύτη δὴ σκοπεῖν ἀναγκαῖον.

Cap. 54. Ἀντέταξε γοῦν κακίαις μὲν ἀρετάς· ταῖς δὲ μαχομέναις φύσεσι τὰς ἀντιπάλους· αὐτίκα τῶν θεῶν ἡ ζεῦξις οὕτω πεφιλοσόφηται τῆς μάχης· Ἀθηνᾶ καὶ Ἄρης τουτέστιν ἀφροσύνη καὶ φρόνησις· ὁ μὲν γὰρ, ὥς περ ἔφην a) μαινόμενός ἐστι τυκτὸν κακὸν ἀλλοπρόσαλλον· b) ἡ δ' ἐν πᾶσι θεοῖς

μήτι τε κλέεται καὶ κέρδεσιν·

ἀδιάλλακτός γε μὲν ἔχθρα τοῖς τὰ βέλτιστα διευκρινοῦσι λογισμοῖς πρὸς τὴν οὐδὲν ὁρῶσαν ἀφροσύνην· ὡς καὶ μάλιστα τὸν βίον ὀνήσειν ἔμελλεν, οὕτω τὰ τῆς μάχης διευκρίνεσιν· οὐ γὰρ ἡ μεμηνυῖα καὶ παραπλὴξ ἀναισθησία τῆς συνέσεως γέγονε κρείσσων· ἐνίκησε δὲ καὶ Ἀθηνᾶ τὸν Ἄρην καὶ κατὰ γῆς ἐξέτεινεν· ἐπειδή περ ἅπασα κακία χαμαιπετὴς ἐν τοῖς ταπεινοτάτοις ἔρριπται βαράθροις· πατούμενον νόσημα· καὶ πρὸς πᾶσαν ὕβριν ὑποκείμενον· ἀμέλει συνεξέτεινεν αὐτῷ τὴν Ἀφροδίτην· τουτέστι τὴν ἀκολασίαν·

c) τὼ μὲν ἄρ' ἄμφω κεῖντο ἐπὶ χθονὶ πουλυβοτείρῃ·

συγγενῆ καὶ τοῖς πάθεσι γειτνιῶντα τὰ νοσήματα·

Cap. 55. Λητοῖ δ' ἀνθέστηκεν Ἑρμῆς· ἐπειδή περ ὁ μὲν οὐδὲν ἄλλο πλὴν λόγος ἐστὶ τῶν ἔνδον ἐν ἡμῖν παθῶν· λόγῳ δὲ παντὶ μάχεται Λητὼ· οἱονεὶ ληθώ τις οὖσα καθ' ἑνὸς στοιχείου μετάθεσιν· τὸ γὰρ ἀμνημονούμενον οὐκέτι ἀγγελιθῆναι δύναται· διὸ δὴ καὶ μητέρα μουσῶν μνημοσύνην ἱστοροῦσι· τὰς προστάτιδας λόγου θεὰς ὑπὸ

a) Il. ε. 831. b) Od. ν. 298. c) Il. φ. 426.

μνήμην γεγενῆσθαι λέγοντες εἰκὸς οὖν τὴν λήθην πρὸς ἀντίπαλον ἅμιλλαν ἐξωρμηκέναι· δικαίως δ' ὑπεῖξεν αὐτῇ· λόγου γὰρ ἧττα λήθη· καὶ τὸ φανερὸν ὑπ' ἀμνηστίας ἐν κωφῇ νενίκηται σιωπῇ· τῶν γε μὴν ὑπολειπομένων θεῶν ἡ μάχη φυσικωτέρα·

Cap. 56. a) Ἤτοι μὲν γὰρ ἔναντα Ποσειδάωνος ἄνακτος
ἵστατ' Ἀπόλλων φοῖβος·

ὕδατι πῦρ ἀντέθηκε· τὸν μὲν ἥλιον Ἀπόλλωνα προσαγορεύσας· τὴν δ' ὑγρὰν φύσιν Ποσειδῶνα· τούτων δ' ἑκάτερον ὡς ἐναντίαν ἔχειν δύναμιν, τί δεῖ καὶ λέγειν· φθαρτικὸν κατ' ἐπικράτειαν ἀεὶ θατέρου θάτερον· καὶ μὴν ὑπὸ λεπτῆς τῆς περὶ τὴν ἀλήθειαν θεωρίας διαλύειν ἀμφοῖν τὴν μάχην· ἐπειδή περ ἡλίου τροφὴν ἀπεφηνάμεθα τὴν ἔνυγρον οὐσίαν· καὶ μάλιστα τὴν ἁλμυράν· λελυθότως γὰρ ἀπὸ γῆς τὸ δίϋγρον ἀνασπῶν τῆς ἀτμίδος, τούτων μάλιστα τὴν πυρώδη φύσιν αὔξει· χαλεπὸν δ' ἦν τῷ τρέφοντι τὸ τρεφόμενον ἀνθεστάναι· διατουθ' ὑπεῖξαν ἀλλήλοις·

Cap. 57. b) Ἥρη δ' ἀντέστη χρυσηλάκατος κελαδεινὴ
Ἄρτεμις ἰοχέαιρα·

οὐδὲ τοῦτ' ἀλόγως εἰσήγαγεν Ὅμηρος· ἀλλ' ὥς περ ἔφην Ἥρα μέν ἐστιν ἀήρ· τὴν δὲ σελήνην Ἄρτεμιν ὀνομάζει· πᾶν δὲ τὸ τεμνόμενον ἀεὶ πολέμιόν ἐστι τῷ τέμνοντι· διατοῦτο ἐχθρὰν ἀέρι τὴν σελήνην ὑπεστήσατο· τὴν ἐν ἀέρι αὐτῆς φορὰν καὶ τοὺς δρόμους ὑποσημαίνων· εἰκὸς δὲ ταχέως νενικῆσθαι τὴν σελήνην· ἐπειδή περ ὁ μὲν ἀὴρ πολὺς καὶ πάντη κεχυμένος· ἡ δ' ἐλάττων καὶ συνεχῶς ὑπὸ τῶν ἀερίων παθημάτων ἀμαυρουμένη· τοῦτο μὲν ἐκλείψεσι· τοῦτο δ' ἀχλύϊ καὶ ταῖς ὑποτρεχούσαις νεφέλαις·

a) Il. υ. 67. b) Il. υ. 70.

διατοῦτο τῆς νίκης τὰ βραβεῖα τῷ μείζονι καὶ συνεχῶς βλάπτοντι προσέθηκεν·

Cap. 58. a) Ἄντα δ' ἄρ Ἡφαίστοιο μέγας ποταμὸς βαθυδίνης·

ἐν τοῖς ὑπερ Ἀπόλλωνος καὶ Ποσειδῶνος λόγοις τὸν οὐράνιον ἡμῖν αἰθέρα· καὶ τὴν ἀκήρατον ἡλίου φλόγα δηλώσας, νῦν μεταβέβηκεν ἐπὶ τὸ θνητὸν πῦρ· καὶ τοῦτο ἀνθώπλισε ποταμῷ· τὴν διάφορον ἑκατέρου φύσιν εἰς μάχην παροξύνας· πρότερον μὲν εἴκοντα τὸν ἥλιον Ποσειδῶνι παρεισάγει· νῦν δὲ τὴν ὑγρὰν οὐσίαν ὑπὸ τῆς πυρώδους ἡττωμένην· δυνατώτερον γὰρ τόδε τὸ στοιχεῖον θατέρου· τίς οὖν οὕτω μέμηνεν ὡς θεοὺς μαχομένους ἀλλήλοις παρεισάγειν· Ὁμήρου φυσικῶς ταῦτα δι' ἀλληγορίας θεολογήσαντος:

Cap. 59. b) Ἐπὶ τέλει οὖν τῆς ἰλιάδος, σφόδρα τὸν Ἑρμῆν ἐναργῶς ἀκολουθοῦντα Πριάμῳ δεδήλωκεν ἀλληγορήσας· οὐδὲν γὰρ ἔοικεν οὕτω πηθήνιον ἀνδράσιν ὀργιζομένοις· οὐκ ἄργυρος· οὐ χρυσὸς· οὐδὲ ἡ διὰ δώρων πολυτέλεια· μειλίχιον δὲ καὶ προσηνὲς ἱκεσίας ὅπλον ἐστὶν ἡ διὰ τοῦ λόγου πειθώ· πάνυ γοῦν ἀληθῶς Εὐριπίδης,

οὐκ ἔστι πειθοῦς ἱερὸν ἄλλο πλὴν λόγος·

τούτῳ τε Πρίαμος ὥς περ ὀχυρᾷ παντευχίᾳ καθώπλισται· ᾧ καὶ μάλιστα τὴν Ἀχιλλέως ἐπέκλασεν ὀργήν· οὐκ ἐν ἀρχῇ δείξας δώδεκα πέπλους· δώδεκα δ πλοΐδας χλαίνας· τά τε λοιπὰ τῶν κομισθέντων δώρων· ἀλλ' αἱ πρῶται τῆς ἱκεσίας φωναὶ τοὺς ἄρσενας αὐτοῦ θυμοὺς ἐξεθήλυναν·

c) μνῆσαι πατρὸς σοῖο. θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ·
τηλίκου οἷος ἐγὼν ὀλοῷ ἐπὶ γήρασς οὐδῷ·

a) Il. υ. 73. b) Il. ω. 360. seq. c) Il. ω. 486.

δι' ὀλίγȣ προοιμίȣ τῶν λόγων συνήρπασεν Ἀχιλλέα· καὶ σχεδὸν ἀντὶ Πριάμου γέγονε Πηλεύς· διατοῦτο ἥλκεται μὲν ἄχρι τραπέζης· λουτροῖς δὲ κοσμηθὲν ἀποδίδοται τὸ Ἕκτορος σῶμα· τοσȣ̃τον ἴσχυσεν ὁ τῶν παθῶν ἑρμηνεὺς λόγος ὃν ἀπέςειλεν Ὅμηρος αὐτῷ τῆς ἱκεσίας παράκλητον·

Cap. 60. Ἆρ' οὐκ ἀπόχρη δι' ὅλης τῆς ἰλιάδος συνάδουσα καὶ διηνεκὴς ἡ Ὁμήρου φιλοσοφία ἐν ᾗ τὰ περὶ θεῶν ἠλληγόρησε· ζητοῦμεν δὲ τȣ́των τὶ περιττότερον· καὶ μετὰ τοσαύτας ἀποδείξεις ἐνδεῖν ἔτι τὰ κατὰ τὴν Ὀδύσσειαν ἡγούμεθα· πλὴν ὅμως ἀκόρεςον ἅπαν τὸ καλόν· ἀπὸ τῆς ἐναγωνίου καὶ πολεμικῆς ἰλιάδος ἐπὶ τὴν ἠθικὴν μεταβῶμεν Ὀδύσσειαν· οὐ δὲ γὰρ αὕτη τελείως ἀφιλοσόφητος· ἀλλ' ἐν ἑκατέροις τοῖς σωματίοις, ὅμοιον εὑρίσκωμεν Ὅμηρον μηδὲν περὶ θεῶν ἀπρεπὲς ἱςορȣ̃ντα· δίχα δὲ τῆς τοιαύτης ἐμπειρίας αἰνιττόμενον·

Cap. 61. Αὐτίκα τοίνυν ἐν ἀρχῇ τὴν Ἀθηνᾶν ὑπὸ Διὸς ἀποστελλομένην πρὸς Τηλέμαχων εὑρίσκομεν· εὐλόγως ἐπειδὴ ἐκ τῆς ἄγαν νεότητος ἤδη τὴν εἰκοσαετῆ ἡλικίαν ὑπερκύπτων μετέβαινεν εἰς τὸν ἄνδρα· καί τις αὐτὸν ὑπέδραμε τῶν γιγνομένων λογισμὸς ὡς οὐκέτι χρὴ διακαρτερεῖν ἐπὶ τῇ τετραετεῖ τῶν μνηςήρων ἀσωτίᾳ· τοῦτον οὖν τὸν ἀθροιζόμενον ἐν Τηλεμάχῳ λογισμὸν, Ἀθηνᾶς ἐπιφάνειαν ἠλληγόρησεν· ὁμοιωθεῖσα γὰρ γέροντι ἥκει· παλαιὸς γοῦν ὁμολογεῖται ξένος Ὀδυσσέως ὁ Μέντης εἶναι· πολιὰ δὲ καὶ γῆρας ἱεροὶ τῶν τελευταίων χρόνων λιμένες· ἀσφαλὲς ἀνθρώποις ὅρμισμα· καὶ ὅσον ἡ τȣ̃ σώματος ἰσχὺς ὑποφθίνει, τοσοῦτον ἡ τῆς διανοίας αὔξεται ῥῶσις.

Cap. 62. Τίνα τοίνυν παρεισελθὼν ὁ νοῦς ἐξεπαίδευσε τὸν Τηλέμαχον· οὐ θεᾶς παρακαθημένης· καὶ ταῦθ' ἃ

λέγει παραινούσης διαπεττεύοντος· ἄγε δὴ φησὶν ὦ Τηλέμαχε· μειρακίου γὰρ ἤδη τι φρονεῖς πλέον·

a) νῆ' ἄρσας ἐρέτῃσιν ἐείκοσιν ἥ τις ἀρίστη,
ἔρχεο πευσόμενος πατρὸς δὴν οἰχομένοιο·

πρῶτος εὐσεβὴς καὶ δίκαιος ἐκ βαθείας τῆς διὰ τὴν ἡλικίαν ἀφροσύνης ὑπεισῆλθε λογισμὸς ὡς οὐκ ἄξιόν ἐστιν ἀργοὺς ἐν Ἰθάκῃ κατατρίβειν χρόνους ἀμνηστίαν ἔχοντας τοῦ γεγεννηκότος· ἀλλ' ἀναγκαῖον ἤδη ποτὲ τὸν φιλοπάτορα ναῦν εὐτρεπισάμενον, ἐπὶ τὰς διαποντίους ἐκδραμεῖν κληδόνας· ἵνα τὴν Ὀδυσσέως ἀπόδημον ἄγνοιαν ἀνιχνεύσῃ· δεύτερον δ' ἐπὶ τούτοις διεσκέψατο· ὅπου μάλιστα δεῖ τὴν πατρῴαν ἐρευνῆσαι τύχην· ὑπηγόρευσε δ' ἡ φρόνησις ἐγγὺς αὐτοῦ καθεζομένη·

b) πρῶτα μὲν ἐς Πύλον ἐλθὲ καὶ εἴρεο Νέστορα δῖον·
κεῖθεν δὲ Σπάρτην τε παρὰ ξανθὸν Μενέλαον·

ὁ μὲν γὰρ εἶχε τὴν ἀπὸ γήρως ἐμπειρίαν· ὁ δ' ἀπὸ τῆς ὀκταέτους πλάνης ἐπανεληλύθει νεωστί·

c) δεύτατος γὰρ ἦλθεν Ἀχαιῶν χαλκοχιτώνων·

ἔμελλεν οὖν ὠφέλιμος αὐτῷ παραινῶν γενήσεσθαι Νέστωρ· τἀληθῆ δὲ περὶ τῆς Ὀδυσσέως πλάνης ἐρεῖν Μενέλαος·

Cap. 63. Ἅμα δὲ ταῦτ' ἐννοούμενος ὡσπερεὶ παρακροτῶν ἑαυτὸν εἶπεν·

d) οὐδέ τί σε χρὴ
νηπιάσας ὀχέειν· ἐπεὶ οὐκ ἔτι τηλίκος ἐσσί·

ὡσπερεὶ παιδαγωγὸς καὶ πατὴρ ὁ λογισμὸς αὐτοῦ τὸ μεθετικὸν τῶν φροντίδων ἀνήγειρεν· εἶτα καθ' ὁμοίωσιν ἡλικιώτιδος ἀρετῆς, εἰς τὴν ἴσην φρόνησιν αὐτὸν καρακέκληκεν·

e) ἢ οὐκ ἀΐεις οἷον κλέος ἔλαβε δῖος Ὀρέστης

a) Od. α. 280. b) Od. α, 284. c) Od. α. 286. d) Ibid. 296. e) Ibid. 298.

πάντας ἀνθρώπους ἐπεὶ ἔκτανε πατροφονῆα;

τοιούτοις ἐπαρθεὶς λογισμοῖς, εὐλόγως μετέωρον αὐτοῦ τὴν διάνοιαν ἐλαφρίζει· προσείκασεν αὐτὴν Ὅμηρος ὄρνιθι λέγων·

a) ὄρνις δ' ὡς ἀνόπαια διέπτατο·

μεταρσία γὰρ ἡ φρόνησις ὡς ἂν οἶμαι τηλικοῦτον ὄγκον ἐν αὐτῇ πραγμάτων κυοφοροῦσα διανέστηκεν· ἀμέλει ταχέως ἐκκλησία συναθροίζεται καὶ πατρώοις λόγοις ἐνρητορεύει· τὸν δ' ἀπόπλουν εὐτρέπιζεν ὁ τῆς ἀλληγορίας ἐπώνυμος· Φρονίου μὲν υἱὸς· Νοήμων δὲ τοὔνομα· δι' ὧν ἀμφοτέρων οὐδὲν ἄλλο πλὴν τοὺς ὑπογύους αὐτοῦ λογισμοὺς ὑπεσήμαινεν· ἐπιβαίνοντι δ' αὐτῷ τῆς νεὼς, συνεμβέβηκεν Ἀθηνᾶ Μέντορι τὴν μορφὴν εἰκασμένη· πάλιν ἀνδρὶ πρὸς φροντίδας τὴν διάνοιαν ἔχοντι φρονήσεως μητέρα· δι' ὧν ἁπάντων ἡ κατ' ὀλίγον ἐν τῷ Τηλεμάχῳ τρεφομένη σύνεσις ἐν τοῖς ἔπεσιν ἱστόρηται:

Cap. 64. Καὶ μὴν ὁ περὶ Πρωτέως λόγος οὕτω, πολὺς ἐκταθεὶς ὑπὸ Μενελάου τὴν ἐξαπατῶσαν εὐθὺς ἔχει φαντασίαν πάνυ μυθώδης· γεγονέναι τῆς ἐν Αἰγύπτῳ νησίδος ἄθλιον ἔποικον. εἰς ἀθανάτου μητέρα τιμωρίας παρελκόμενον· ᾧ βίος ἠπείρου καὶ θαλάττης κοινὸς ἀτυχεῖς ὕπνους μετὰ φωκῶν κοιμώμενος ἵν' αὐτοῦ κολάζηται· καὶ τὸ τερπνὸν, θυγάτηρ δ' Εἰδοθέα διὰ πατρὸς ἀδικίας ξένον εὐποιοῦσα καὶ γινομένη προδότις αὐτοῦ· δεσμοὶ μετὰ τοῦτο καὶ Μενέλαος ἐνεδρεύων· εἶθ' ἡ πολυπρόσωπος εἰς ἅπαντα ἃ βούλεται Πρωτέως μεταμόρφωσις ποιητικοὶ καὶ τεράστιοι μῦθοι δοκοῦσιν· εἰ μή τις οὐρανίῳ ψυχῇ τὰς ὀλυμπίους Ὁμήρου τελετὰς ἱεροφαντήσειε:

Cap. 65. Τὴν γοῦν προμήτορα τῶν ὅλων ὑφίσταται γένεσιν· ἀφ' ἧς τὸ πᾶν ῥιζωθὲν, εἰς ὃ νῦν βλέπομεν ἥκει

a) Ibid. 320.

κατάστημα· παλαιοὶ γὰρ ἦσαν ποτὲ χρόνοι καθ' οὓς ἀτύπωτον ἢ ὑπόλημνον ἦν· οὐδέπω κεκριμένοις χαρακτῆρσιν εἰς τέλεον ἥκουσα μορφῆς· οὔτε γὰρ γῆ τῇ τῶν ὅλων ἑστίᾳ κέντρον ἐπεπήγει βέβαιον, οὔτ' οὐρανὸς περὶ τὴν ἀΐδιον φορὰν ἱδρυμένος ἐκυκλεῖτο· πάντα δ' ἦν ἀνήλιος ἠρεμία καὶ κατηφοῦσα σιγή· καὶ πλέον οὐδὲν ἦν ἢ κεχυμένης ὕλης· ἄμορφος φὰρ ἀργία· πρὶν ἡ δημιουργὸς ἁπάντων καὶ κοσμοτόκος ἀρχὴ σωτήριον ἑλκύσασα τῷ βίῳ τύπον, τὸν κόσμον ἀπέδωκε τῷ κόσμῳ· διεζεύγνυτο μὲν οὐρανὸς γῆς· ἐχώριζε δὲ τὴν ἤπειρον θαλάσσης· τέτταρα δὲ στοιχεῖα τῶν ὅλων ῥίζα καὶ γέννα, ἐν τάξει τὴν ἰδίαν μορφὴν ἐκομίζετο· τούτων δὲ προμηθῶς κιρναμένων, ὁ θεὸς μηδεμιᾶς οὔσης διακρίσεως περὶ τὴν ἄμορφον ὕλην·

Cap. 66. Πρωτέως δὲ θυγατέρα Εἰδοθέα δικαίως εἶδος ἑκάστου γενομένη θέα· διατοῦτο μία τοπρὶν ὢν φύσις ὁ Πρωτεὺς, εἰς πολλὰς ἐμερίζετο μορφὰς ὑπὸ τῆς προνοίας διαπλαττόμενος·

ἤτοι μὲν πρώτιστα λέων γένετ' ἠϋγένειος·
αὐτὰρ ἔπειτα δράκων καὶ πάρδαλις ἡ δὲ μέγας σῦς·
γείνετο δ' ὑγρὸν δένδρον καὶ δένδρεον ὑψιπέτηλον·

διὰ μὲν οὖν τοῦ λέοντος ἐμπύρου ζώου τὸν αἰθέρα δηλοῖ· δράκων δ' ἐστὶν ἡ γῆ· τὸ γὰρ αὐτόχθον αὐτοῦ καὶ γηγενὲς οὐδὲν ἄλλο πλὴν τοῦτο σημαίνει· δένδρον γε μὴν ἅπαν αὐξανόμενον καὶ τὴν ἀπὸ γῆς ὁρμὴν μεταρσίαν ἀεὶ λαμβάνον, συμβολικῶς εἶπεν ἀέρα· τὸ μὲν γὰρ ὕδωρ εἰς ἀσφηλεστέραν ὧν προηνίξατο δήλωσιν ἐκ τοῦ φανερωτέρου παρέστησεν· εἰπών· γείνετο δ' ὑγρὸν ὕδωρ· ὥστε εὔλογον τὴν μὲν ἄμορφον ὕλην Πρωτέα καλεῖσθαι· τὴν δ' εἰδωλοπλαστήσασαν ἕκαστα πρόνοιαν, Εἰδοθέαν· ἐξ ἀμφοῖν δὲ πᾶν διακριθὲν, εἰς τὰ συνεχῆ καὶ προστακτικὰ τῶν ὅλων σχισθῆναι· πιθανῶς δὲ καὶ τὴν νῆσον ἐν ᾗ ταῦτα

διέπλασε φάρον ὠνόμασεν· ἐπειδήπερ ἐςι τὸ φέρσαι γεννῆσαι· καὶ τὴν γῆν ἀφάρωτον ὁ Καλλίμαχος εἶπε τὴν ἄγονον· ἀφάρωτος οἷον γυνή· φυσικῶς οὖν τὸν ἁπάντων πατέρα χῶρον ὠνόμασε φάρον· ἐκ τῆς γονίμου προσηγορίας ὃ μάλιςα ἐβούλετο σημήνας·

Cap. 67. Τίσι γε μὴν ἐπιθέτοις καὶ τὸν Πρωτέα κεκόσμηκεν, ἤδη σκωπῶμεν· [illegible]

a) πωλεῖταί τις δεῦρο γέρων ἅλιος νημερτής·

τὸ μὲν γὰρ οἶμαι τῆς ἀρχεγόνου καὶ πρώτης οὐσίας γεραίτερον· ὥςτε ἀποσεμνῦναι τῇ πολιτείᾳ τῦ χρόνυ τὴν ἄμορφον ὕλην· ἅλιον δὲ ὠνόμασεν, οὐ μὰ Δί' οὐ θαλάττιόν τινα δαίμονα καὶ κατὰ κυμάτων ζῶντα· τὸ δὲ ἐκ πολλῶν καὶ παντοδαπῶν συνηλισμένον ὅπέρ ἐςι συνηθροισμένον· νημερτὴς δὲ εὐλόγως εἴρηται· τί γάρ ταύτης τῆς οὐσίας ἀληθουργέςερον· ἐξ ἧς ἅπαντα γεγενῆσθαι νομιςέον: καὶ μὴν καὶ ἡ Καλυψὼ, τὴν πειθὼ τῶν ποικίλων παρ' Ὀδυσσέως λόγων Ἑρμῆν προσηγόρευσε· μόγις μέν· ἀλλ' ὅμως καταθέλξαντος αὐτοῦ τὸν ἔρωτα τῆς νύμφης ἵν' εἰς Ἰθάκην προςπεμφθείη· διατοῦτ' ὄρνιθι προσωμοιωμένος Ἑρμῆς ἐλήλυθεν ἀπ' ὀλύμπυ· πτερόεντα γὰρ τὰ ἔπη κατὰ τὸν Ὅμηρον· καὶ τάχιον οὐδὲν ἐν ἀνθρώποις λόγου:

Cap. 68. Δεῖ δὲ ἡμᾶς οὐδὲ τὰ μικρὰ παροδεύειν· ἀλλὰ καὶ δι' ἐκείνων τὴν λεπτὴν ἐξετάζειν Ὁμήρου φροντίδα· τὸν γὰρ ἡμέρας καὶ Ὠρίωνος ἔρωτα πάθος οὐδ' ἀνθρώποις εὔσχημον, ἠλληγόρησεν·

b) ὡς μὲν ὅθ' Ὠρίων' ἕλετο ῥοδοδάκτυλος ἠώς·

παρεισάγει γὰρ αὐτὸν ἔτι νεανίαν ἐν ἀκμῇ τοῦ σώματος ὑπὸ τοῦ χρεὼν πρὸ μοίρας συνηρπασμένον· ἦν δὲ παλαιὸν ἔθος τὰ σώματα τῶν καμνόντων ἐπειδὰν ἀναπαύ-

a) Od. δ. 384. b) Od. ε. 121.

σηται τοῦ βίου, μή τε νύκτωρ ἐκκομίζειν μὴ δ' ὅταν ὑπὲρ γῆς τὸ μεσημβρινὸν ἐπιτείνηται θάλπος· ἀλλὰ πρὸς βαθὺν ὄρθρον ἀπύροις ἡλίου ἀκτῖσιν ἀνιόντος· ἐπειδὰν οὖν εὐγενὴς νεανίας ἅμα καὶ κάλλει προέχων τελευτήσῃ τὴν ὄρθριον ἐκκομιδὴν ἐπευφήμουν ἡμέρας ἁρπαγήν· ὡς οὐκ ἀποθανόντος ἀλλὰ δι' ἐρωτικὴν ἐπιθυμίαν ἀνηρπασμένου. καθ' Ὅμηρον δὲ τοῦτο φασίν· Ἰασίων ἀνὴρ γεωργίας ἐπιμελούμενος καὶ δαψιλῶς τοὺς ἀπὸ τῶν ἰδίων ἀγρῶν καρποὺς λαμβάνων, εἰκότως ὑπὸ τῆς Δήμητρος ἔδοξεν ἠγαπῆσθαι· δι' ὧν Ὅμηρος οὐκ ἀσελγεῖς ἔρωτας ἱστορεῖ θεῶν οὐδ' ἀκολασίας· σημαίνει δὲ τὰς εὐαγεστάτας· ἡμέραν τὲ καὶ Δήμητραν τοῖς εὐσεβῶς ἐρευνᾶν ἐθέλουσι φυσικῆς ἀκριβῆ θεωρίας ἀφορμὴν χαρίζεται·

Cap. 69. Νῦν τοίνυν ἅπαντα τἆλλα ἀφέντες, ἐπὶ τὴν διηνεκῆ, καὶ χαλεπῶς θριλλουμένην ὑπὸ τῶν συκοφαντῶν κατηγορίαν τραπῶμεν: ἄνω γὰρ οὖν καὶ κάτω τραγῳδοῦσι τὰ περὶ Ἄρεος καὶ Ἀφροδίτης ἀσεβῶς διαπεπλάσθαι λέγοντες· ἀκολασίαν γὰρ ἐμπεπολίτευκεν ἐν οὐρανῷ· καὶ τὸ παρ' ἀνθρώποις ὅταν γένηται θανάτου τιμωρούμενον, οὐκ ἐδυσωπήθη παρὰ θεοῖς ἱστορῆσαι, λέγω δὲ μοιχείαν·

a) ἀμφ' Ἄρεος φιλότητος ἐϋστεφάνου τ' Ἀφροδίτης·
ὡς τὰ πρῶτα μίγησαν ἐν Ἡφαίστοιο δόμοισιν·

εἶτα μετὰ τοῦτο δεσμοὶ καὶ θεῶν γέλωτες· ἱκεσία τε πρὸς Ἥφαιστον Ποσειδῶνος· ἅπερ οἱ θεοὶ νοσοῦσιν, οὐκέτι τοὺς παρ' ἀνθρώποις ἀδικοῦντας ἔδει κολάζεσθαι· νομίζω δ' ἔγωγε καίπερ ἐν Φαίαξιν ἀνθρώποις ἡδονῇ δεδουλωμένοις, ᾀδόμενα ταῦτα φιλοσόφου τινὸς ἐπιστήμης ἔχεσθαι· τὰ γὰρ σικελικὰ δόγματα καὶ τὴν ἐμπεδόκλειον γνώμην ἔοικεν ἀπὸ τούτων βεβαιοῦν Ἄρην μὲν ὀνομάσας τὸ νεῖκος τὴν

a) Od. θ. 267.

δ' Ἀφροδίτην φιλίαν· τούτους οὖν, διεστηκότας ἐν ἀρχῇ, παρεισήγαγεν Ὅμηρος ἐκ τῆς πάλαι φιλονεικίας εἰς μίαν ὁμόνοιαν κιρναμένους· ὅθεν εὔλογος ἐξ ἀμφοῖν Ἁρμονία γεγένηται, τοῦ παντὸς ἀσαλεύτως καί κατ' ἐμμέλειαν ἁρμοσθέντος· γελᾷν δ' ἐπὶ τούτοις εἰκὸς ἦν καὶ συνήδεσθαι τοὺς θεούς, ἅτε δὴ τῶν ἰδίων Χαρίτων οὐκ ἐπὶ φθοραῖς διϊσταμένων· ἀλλ' ὁμονοοῦσαν εἰρήνην ἀγόντων: δύναταί γε μὴν καὶ περὶ τῆς χαλκευτικῆς τέχνης ἀλληγορεῖν· ὁ μὲν γὰρ Ἄρης, εἰκότως ἂν, ὀνομάζοιτο σίδηρος· τοῦτον δὲ ῥᾳδίως Ἥφαιστος ἐχειρώσατο· τὸ γὰρ πῦρ ἅτ' οἶμαι συδήρου κραταιοτέρας δυνάμεως μετειληχὸς, εὐκόλως ἐν αὐτῷ τὴν ἐκείνου στεῤῥότητα θηλύνει· δεῖ δὲ τῷ τεχνίτῃ πρὸς τὸ κατασκευαζόμενον, καὶ Ἀφροδίτης· ὅθεν οἶμαι διὰ πυρὸς μαλάξας τὸν σίδηρον, ἐπαφροδίτῳ τινὶ τέχνῃ τὴν ἐργασίαν κατώρθωσε· Ποσειδῶν δ' ἐστὶν ὁ ῥυόμενος παρ' Ἡφαίστου τὸν Ἄρη πιθανῶς· ἐπειδήπερ ἐκ τῶν βαναύσων διάπυρος ὁ τοῦ σιδήρου μύδρος ἑλκυσθεὶς, ὕδατι βαπτίζεται· καὶ τὸ φλογῶδες, ὑπὸ τῆς ἰδίας φύσεως, ὕδατι κατασβεσθὲν ἀναπαύεται:

Cap. 70. Καθόλου δὲ τὴν Ὀδυσσέως πλάνην εἴτις ἀκριβῶς ἐθέλει σκοπεῖν, ἠλληγορημένην εὑρήσει· πάσης γὰρ ἀρετῆς καθάπερ ὄργανόν τι τὸν Ὀδυσσέα παραστησάμενος ἑαυτῷ· διατοῦτο πεφιλοσόφηκεν, ἐπειδὴ τὰς ἐκνεμομένας τὸν ἀνθρώπινον βίον ἤχθηρε κακίας: ἡδονὴν μέν γε τὸ λωτοφάγον χωρίον ξένης γεωργὸν ἀπολαύσεως· ἣν Ὀδυσσεὺς ἐγκρατῶς παρέπλευσεν· τὸν δ' ἄγριον ἑκάστου θυμὸν, ὡσπερεὶ καυτηρίῳ τῇ παραινέσει τῶν λόγων ἐπήρωσε· Κύκλωψ δὲ οὗτος ὠνόμασται, ὁ τοὺς λογισμοὺς ὑπολωπῶν: τί δ' οὐχὶ πρῶτος εὔδιον πλοῦν δι' ἐπιστήμης ἀστρονόμου τεκμηράμενος ἔδοξεν ἀνέμους δεδωκέναι, φαρμάκων τε τῶν παρὰ Κίρκης γέγονε κρείττων ὑπὸ πολλῆς

σοφίας πεμμάτων ἐπεισάκτων κακῶν λύσιν εὑρόμενος· ἡ δὲ φρόνησις ἕως ᾅδυ καταβέβηκεν ἵνα μὴ δὲ τῶν νέρθεν ἀδιερεύνητον ᾖ: τίς δὲ Σειρήνων ἀκούει τὰς πολυπείρους ἱστορίας παντὸς αἰῶνος ἐκμαθών· καὶ Χάρυβδις μὲν ἡ δάπανος ἱστορία καὶ περὶ πότους ἄπληστος εὐλόγως ὠνόμασται· Σκύλλαν δὲ τὴν πολύμορφον ἀναίδειαν ἠλληγόρησεν· διὸ δὴ κύνας οὐκ ἀλόγως ὑπέζωσται· προτομαῖς ἁρπαγῇ, τόλμῃ καὶ πλεονεξίᾳ πεφραγμέναις: αἱ δ' ἡλίου βόες, ἐγκράτεια γαστρός εἰσιν· εἰμὴ δὲ λιμὸν ἔσχεν ἀδικίας ἀνάγκην· ἃ δὴ μυθικῶς μέν ἐστιν εἰρημένα περὶ τοὺς ἀκούοντας· εἰ δ' ἐπὶ τὴν ἠλληγορημένην σοφίαν καταβέβηκεν, ὠφελιμώτατα τοῖς μιμουμένοις γενήσεται·

Cap. 71. Τὸν μὲν γὰρ Αἴολον, ἐξαιρέτως ἔγωγε νομίζω τὸν ἐνιαυτὸν εἶναι ταῖς δωδεκαμήνοις τοῦ χρόνου περιόδοις ἐνδεδεμένον· ὠνόμασται γοῦν αἰόλος τουτέστι ποικίλος· ἐπειδήπερ οὐκ ἰσοχρόνῳ καὶ μονοειδεῖ κατὰ πᾶσαν ὥραν τῇ φύσει συνήνωται· διάφοροι δ' αὐτὸν αἱ παρ' ἕκαστα μεταβολαὶ πικίλλουσιν· ἔκ τε γὰρ ἀργαλέου κρύους εἰς πραεῖαν ἡδονὴν ἔαρος γαληνοῦται· καὶ τὸ νοτερὸν τῆς ἐριζούσης καταστάσεως, ἔμπυρος ἡ τοῦ θέρους βία πυκνοῖ· μετόπωρον δὲ φθινὰς ὥρα καρπῶν ἐτησίων τὸ θέρειον ἑλκύσασα θάλπος ὥραις χειμερίαις προοιμιάζεται· ταύτης δὲ τῆς ποικιλίας ὁ ἐνιαυτὸς ὢν πατὴρ, εἰκότως αἰόλος ὠνόμασται· παῖδα δὲ αὐτὸν ὠνόμασεν Ἱππότου· τί γὰρ ὀξύτερον χρόνου· τί δ' οὕτω ποδώκες· ἀεὶ φερομένῳ καὶ ῥέοντι τῷ τάχει τοὺς ὅλους αἰῶνας ἐκμετρουμένου· δώδεκα δ' αὐτοῦ παῖδες εἰσὶν οἱ μῆνες·

a) ἓξ μὲν θυγατέρες· ἓξ δὲ υἱέες ἡβώοντες·

τὸ μὲν εὔκαρπον καὶ γόνιμον τῶν τὸ θέρος ἐκπιμπλάντων

a) Od. κ. 6.

μηνῶν, θηλεία γονῇ προσήκασε. τὸ δὲ στεῤῥὸν καὶ πεπηγὸς τῶν χειμερίων ἠῤῥένωσεν· οὐκ ἀσεβὴς δ' οὐδ' ὁ περὶ τῶν γάμων μῦθος· ἀλλὰ τοὺς ἀδελφοὺς ἀνέμιξε ταῖς ἀδελφαῖς ἐπειδήπερ ὑπ' ἀλλήλων συμβέβηκε τὰς ὥρας ὀχεῖσθαι· ταμίας δ' ἐστὶν ἀνέμων·

a) ἠ μὲν παυέμεν· ἠδ' ὀρνύμεν ὅν κ' ἐθέλησιν·

ἔμμηνοι γὰρ αἱ τούτων φοραὶ καὶ κατὰ προθεσμίαν πνέουσαι b).

δεσπότης δ' ἁπάντων ὁ ἐνιαυτός· καὶ τὰ μὲν ὑπὲρ Αἰόλου, τοιαύτης ἠξίωται φυσιολογίας·

Cap. 72. Ὁ δὲ Κίρκης κυκεὼν, ἡδονῆς ἐστιν ἀγγεῖον· ὃ πίνοντες οἱ ἀκόλαστοι διὰ τῆς ἐφημέρου πλησμονῆς, συῶν ἀθλιώτερον βίον ζῶσι· διατοῦτο οἱ μὲν Ὀδυσσέως ἑταῖροι χορὸς ὄντες ἠλίθιος, ἥττηνται τῆς γαστρομαργίας· ἡ δ' Ὀδυσσέως φρόνησις, ἐνίκησε τὴν παρὰ Κίρκῃ τρυφήν· ἀμέλει τοπρῶτον ἐκ τῆς νεὼς ἀνιόντι καὶ πλησίον ὄντι τοῖς προθήροις, Ἑρμῆς ἐφίσταται τουτέστιν ὁ ἔμφρων λόγος· ὑφιστάμεθα γοῦν ἐτίμως αὐτὸν Ἑρμῆν λέγεσθαι· παντὸς τοῦ νοουμένου κατὰ ψυχὴν ἑρμηνέα τινὰ ὄντα· τετράγωνόν τε ζωγράφων καὶ λιθοξόων χεῖρες αὐτὸν ἐλείαναν· ὅτι πᾶς ὀρθὸς λόγος ἑδραίαν ἔχει τὴν βάσιν· οὐκ ὀλισθηρῶς ἐφ' ἑκάτερα κυλινδούμενος· καὶ μὴν πτεροῖς ἀνέστεψαν αὐτὸν αἰνιττόμενοι τὸ παντὸς λόγου τάχος· εἰρήνῃ τε χαίρει· πόλεμοι γὰρ οὐχήκιστα λόγων ἐνδεεῖς· τὸ γὰρ πλεῖστον ἐν αὐτοῖς κράτος εἰλήχασι χεῖρες: Ὅμηρος δὲ καὶ διὰ τῶν ἐπιθέτων τοῦτ' ἔοικεν ἡμῖν σαφέστερον ποιεῖν· ἀργειφόντην τε καὶ αὐτὸν ὀνομάζει τὸν θεόν· οὐ μὰ Δί' οὐχὶ τοὺς ἡσιοδείους μύθους ἐπιστάμενος· ὅτι τὸν βου-

a) Ibid. 22. b) Hucusque editiones: at codex vaticanus addit quae sequuntur.

κόλον Ἶους ἐφόνευσεν· ἀλλ' ἐπειδὴ μία παντὸς λόγου φύσις ἐκφαίνει ἐναργῶς τὸ νοούμενον, διατοῦτο εἶπεν αὐτὸν ἀργειφόντην· ἐριούνιον καὶ σῶκον· ἔτι δ' ἀκάκητα λόγων ἐμφρόνων τὸ τελειότατόν ἐστι μαρτύριον· ἐκ τοῦ τε γὰρ κακίας ὁ λογισμὸς ᾤκισται· σώζει δὲ πάντα τὸν χρώμενον αὐτῷ καὶ μέγα ὠφέλησεν· τί οὖν δὴ διπλὰς καὶ διχρόνους διένειμεν τῷ θεῷ τιμάς· τὴν μὲν ὑπὸ γῆν χθονίαν· τὴν δ' ὑπὲρ ἡμᾶς οὐράνιον· ἐπειδὴ διπλοῦς ὁ λόγος· τούτων δὲ φιλόσοφοι τὸν μὲν, ἐνδιάθετον καλοῦσι· τὸν δὲ, προφορικόν· ὁ μὲν, οὖν τῶν ἔνδον λογισμῶν ἐστὶ διάγγελος· ὁ δὲ, ὑπὸ τοῖς στέρνοις καθεῖρκται· φασὶ δὲ τούτῳ χρῆσθαι καὶ τὸ θεῖον· μηδενὸς γὰρ ὄντες ἐνδεεῖς, τὴν φονὴν τῆς χρείας ἐν αὐτοῖς στέργουσι· διατοῦτ' οὖν Ὅμηρος τὸν μὲν ἐνδιάθετον εἶπε χθόνιον· ἀφανὴς γὰρ ἐν τοῖς τῆς διανοίας βυθοῖς ἀπεσκότωται· τὸν δὲ προφορικὸν ἐπειδὴ πόῤῥωθέν ἐστι, δῆλος ἐν οὐρανῷ κατῴκησε· γλῶττα δ' αὐτῷ οὐσία· τὸ μόνον λόγου μέρος· καὶ τελευταίῳ κατὰ κοίτην ἰόντες Ἑρμῇ σπένδουσιν· ἐπειδὴ πάσης φωνῆς ἐστὶν ὅρος ὕπνος·

Cap. 73. Οὗτος οὖν Ὀδυσσεῖ παρέστηκε σύμβολος ἐπὶ Κίρκην βαδίζοντι· καὶ κατ' ἀρχὰς μὲν ὑπὸ ὀργῆς τε καὶ λύπης ὧν ἐπύθετο φερόμενος ἀκρίτως ἐνθουσιᾷ· κατὰ μικρὸν δ' ἐκείνων τῶν παθῶν παραινομένων, ὑπαναλύεται τὸ μετὰ τοῦ συμφέροντος εὐλόγιστον· a) ὅθεν Ἑρμείας χρεισόῤῥαπις ἀντεβόλησεν αὐτῷ· τὸ μέν γε χρυσοῦν ἀντὶ τοῦ καλοῦ παρείληπται· τὸ δὲ ῥάπτειν μεταφορικῶς ἀντὶ τοῦ συντιθέναι τε καὶ διανοεῖσθαι· λέγει γοῦν ἐν ἑτέροις b) κακὰ ῥάπτομεν ἀμφιέποντες· διατοῦτο καὶ μύθους πλοκίους εἶπεν· ἐπειδὴ λόγος ἐκ λόγου γινόμενος καὶ συῤῥα-

a) Od. κ. 277. b) Od. γ. 118.

φῆσαι αὐτῷ γινόμενος, εὑρίσκει τὸ συμφέρον· οὐκοῦν χρυσόῤῥαπιν εἶπε τὸν λόγον, ἐκ τοῦ δύνασθαι καλῶς βουλεύσθαί τε καὶ ῥάπτειν πράγματα· παραστὰς οὖν ὄντος ὁ λογισμὸς ἀπὸ τῆς ἀκρατοῦς ὀργῆς ἐπέπληξεν αὐτῷ, μάτην κατασπεύδοντι·

a) τίφθ' αὕτως δύστηνε δι' ἄκρας ἔρχεαι οἶος·
χώρου ἄϊδρις ἐών·

ταῦτα πρὸς αὐτὸν ἐλάλησεν Ὀδυσσεύς· μετανοοῦντι λογισμῷ τὴν πρότερον ὁρμὴν ἀναχαλινώσας· τὴν δὲ φρόνησιν οὐκ ἀπιθάνως μῶλυ: μόνους ἀνθρώπους. ἢ μόλις εἰς ὀλίγους ἐρχομένην· φύσις δὲ αὐτῆς ῥίζα μέλαινα·

b) γάλακτι δὲ εἴκελον ἄνθος.

πάντα γὰρ οὖν συλλήβδην τὰ τηλικαῦτα τῶν ἀγαθῶν, τὰς μὲν ἀρχὰς προσάντεις καὶ χαλεπὰς ἔχει· γενικῶς δ' ὅταν ὑποστῇ τις ἐναθλήσας τῷ κατ' ἀρχὴν πόνῳ, τηνικαῦτα γλυκὺς ἐν φωτὶ τῶν ὠφελειῶν ὁ καρπός· ὑπὸ τοιούτου φρουρούμενον Ὀδυσσεὺς λογισμοῦ, τὰ Κίρκης νενίκηκε φάρμακα·

Cap. 74. Μεταβὰς δὲ ὑπὲρ γῆς θεωρημάτων Ὅμηρος, οὐ δὲ τὴν ἀφανῆ καὶ νεκρὰν φύσιν εἴασεν ἀναλληγόρητον· ἀλλὰ καὶ τὰ ἐν Ἅδου συμβολικῶς ἐφιλοσόφησε· c) Κωκυτὸς γοῦν ὁ πρῶτος ὀνομάζεται ποταμός· ἐπώνυμος ἀνθρωπίνου πάθους κακόν· θρῆνοι γὰρ ἐπὶ τοῖς τεθνεῶσιν οἱ παρὰ τῶν ζώντων· Πυριφλεγέθοντα δὲ ἐφεξῆς ὀνομάζει· μετὰ γὰρ τὰ δάκρυα, ταφαὶ καὶ πῦρ ἀφανίζον ὅ ἐστι θνητῆς σαρκὸς ἐν ἡμῖν· ἀμφοτέρους δὲ τοὺς ποταμούς, εἰς ἕνα τὸν Ἀχέροντα συῤῥέοντας οἶδεν· ἐπειδήπερ ἐκδέχεται μετὰ τοὺς πρώτους κωκυτοὺς καὶ τὴν ὀφειλομένην ταφὴν, ἄχη τινὰ καὶ λῦπαι χρόνιοι πρὸς ὀλίγας ὑπομνή-

a) Od. κ. 281. b) Od. κ. 304. c) Od. κ. 514. seqq.

τεις ἐρεθίζουσαι τὰ πάθη· Στυγὸς δ' ἀποῤῥῶγες οἱ ποταμοὶ διὰ τὴν ϛυγνότητα καὶ τὴν ἐπὶ τῷ θανάτῳ κατήφειαν· Ἀΐδης μὲν οὖν ὁ ἀφανὴς τόπος ἐπωνύμως ὠνόμαϛαι· Φερσεφόνη δ' ἄλλως, ἡ τὰ πάντα πεφυκυῖα διαφθείρειν· ἐν οἷς οὐκ ὄχνη ἐπ' ὄχνῃ γηράσκει· μῆλον δ' ἐπὶ μήλῳ· τὰ δ' ἐνεῤῥιζωμένα πρέμνα τοῖς ἄρσεσιν· αἴγειροι καὶ ἰτέαι ὠλεσίκαρποι· τὰς δὲ θυσίας συνοικίωσε τῷ τόπῳ, τῆς σελήνης ἀμαυρουμένος ὁ τοῦ ἡλίου κύκλος ἀμβλύνεται· καὶ πολλάκις ἄϛρων διαφεγγεῖς μαρμαρυγὰ ὁρῶμεν· εὐλόγως οὖν τοῦτο a) Θεοκλύμενον εἶπεν ὁ τὰ θεῖα κλύων· εὗρε γὰρ ἄξιον τῆς φυσικῆς θεωρίας τοὔνομα·

b) νυκτὶ μὲν ὑμέων
εἰλύαται κεφαλαί τε πρόσωπα· νέρθε τε γοῦνα·

καὶ μὴν ἐν ταῖς ἐκλείψεσιν αἵματι προσφερὴς χρόα τὸ βλεπόμενον· ἐκφοινίσσεται γάρ· διατοῦτ' ἐπήνεγκεν

c) αἵματι δ' ἐῤῥέδαται τοῖχοι καλαί τε μεσόδμαι·

προθεσμία δὲ τῆς ἐκλείψεως d) ἣν Ἵππαρχος ἠκρίβωσε, κατὰ τὴν ὀνομαζομένην τριακάδα καὶ νουμηνίαν· ἣν Ἀττικῶν παῖδες ἕνην τὲ καὶ νέαν ὀνομάζουσιν· οὐ δ' ἂν ἀλλήν τις εὕροι τῆς ἐκλείψεως ἡμέραν· ὅτε οὖν Θεοκλύμενος ἱστορεῖ ταῦτα, τίς ἦν ὁ χρόνος ἔξεϛι παρ' αὐτοῦ μαθεῖν Ὁμήρου·

e) τοῦ μὲν φθίνοντος μηνὸς, τοῦ δ' ἱϛαμένοιο.

τοσαύτη καὶ περὶ τῶν παρακολουθούντων καὶ τῆς προθεσμίας ἡ κατὰ τὴν ἔκλειψιν ἀκρίβειαν· τί δεῖ τούτοις ἅπασι προϛιθέναι· τὴν ἐπὶ τέλος τῆς μνηϛηροφονίας παρεϛῶσαν Ἀθηνᾶν Ὀδυσσεῖ· τουτέστι τὴν φρόνησιν· εἰ μὲν γὰρ ἐκ τοῦ φανεροῦ καὶ βιαζόμενος ἠμύνατο τοὺς

a) Od. ρ. 151. b) Od. υ. 351. c) Ibid. 354. d) Cf. Ed. Iuntae Florent. 1567. e) Od. ξ. 162.

λελυπηκότας, ἄριστ' ἂν ὁ πόλεμος συνηγωνίζετο· νῦν δὲ δόλῳ καὶ τέχνῃ περιελθὼν ἵν' ἀγνοούμενος ἕλῃ, διὰ συνέσεως κατώρθωσε· διὰ δὴ πάντα καθ' ἓν ἀθροίσαντες ἀλληγορίας πλήρη τὴν ὅλην ποίησιν εὑρίσκομεν·

Cap. 76. Ἆρ' οὖν ἐπὶ τούτοις ὁ μέγας οὐρανοῦ καὶ θεῶν ἱεροφάντης Ὅμηρος ὁ τὰς ἀβάτους καὶ κεκλεισμένας ἀνθρωπίναις ψυχαῖς ἀτραποὺς ἐπ' οὐρανὸν ἀνοίξας ἐπιτήδειός ἐστι κατακριθῆναι δυσσεβεῖν, ἵνα ταύτης τῆς ἀνοσίου καὶ μιαρᾶς ψήφου διενεχθείσης, ἀναιρεθέντων τε τῶν ποιημάτων ἄφωνος ἀμαθία τοῦ κόσμου κατασκευασθῇ· καὶ μή τε νηπίων παίδων χορὸς ὠφελεῖται τὰς σοφίας παρ' Ὁμήρου πρῶτον ὡς ἀπὸ τιθήνης γάλα· μή τε ἀντίπαιδες ἢ νεανίαι καὶ τὸ παρηβηκὼς ἤδη τῷ χρόνῳ γῆρας ἀπολαύῃ τινὸς ἡδονῆς· πᾶς δ' ὁ βίος ἀναιρεθεὶς τὴν γλῶτταν ἐν κωφότητι διάγῃ; φυγαδευέτω τοίνυν ἀπὸ τῆς ἰδίας πολιτείας Πλάτων Ὅμηρον· ὡς αὐτὸν ἐξ Ἀθηνῶν ἐφυγάδευσεν εἰς Σικελίαν· ἔδει δὲ ταύτης τῆς πολιτείας Κριτίαν ἀπωστὸν εἶναι· τύραννος γάρ· ἢ Ἀλκιβιάδην τὸν ἐν παισὶ μὲν ἀπρεπῶς θῆλυν· ἐν δὲ μειρακίοις ἄνδρα τὸν ἐν συμποσίοις Ἐλευσίνεια παίζοντα· καὶ Σικελίας μὲν ἀποστάτην· Δεκελίας δὲ κτίστην· ἀλλά τοι Πλάτων μὲν Ὅμηρον ἐκβέβληκε τῆς ἰδίας πόλεως· ὁ δὲ σύμπας κόσμος Ὁμήρου μία φησὶν εἶναι πατρίς· ποίας γοῦν ἀστὸν Ὅμηρον ἀναγραφώμεθα πάτρης κεῖνον ὃν φῶτα καὶ χεῖρες ἔχουσι πόλεις; ἐξόχως δ' Ἀθῆναι· αἱ Σωκράτην μὲν ἀρνησάμεναι πολίτην μέχρι φαρμάκου· μίαν δ' εὐχὴν ἔχουσαι δοκεῖν Ὁμήρου πατρὶς εἶναι· πῶς γε μὴν αὐτὸς Ὅμηρος ἐμπολιτεύεσθαι τοῖς Πλάτωνος ἂν ἐκαρτέρησε νόμοις οὕτως ἐναντία καὶ μαχομένῃ στάσει διῳκισμάτων αὐτῶν· ὁ μέν γε συμβουλεύει κοινοὺς γάμους καὶ τέκνα· τῷ δ' ἄμφω τὰ σωμάτια γάμοις σώφροσι καθωσίωται· διὰ μὲν γὰρ Ἑλέ-

νην ἐστρατεύκασιν Ἕλληνες· διὰ Πηνελόπην δ' Ὀδυσσεὺς πλανᾶται· καὶ θεσμοὶ μὲν δικαιότατοι παντὸς ἀνθρωπίνου βίου δι' ἀμφοῖν τῶν Ὁμήρου σωματίων ἐμπολιτεύονται· τοὺς δὲ Πλάτωνος διαλόγους ἄνω καὶ κάτω παιδικοὶ καθυβρίζουσιν ἔρωτες· οὐδαμοῦ δ' οὐχὶ τῆς ἄρσενος ἐπιθυμίας μεστός ἐστιν ἀνήρ· μούσει μὲν Ὅμηρος ἐπικαλεῖ θεὰς παρθένους ἐπὶ τοῖς λαμπροτάτοις τῶν κατορθωμάτων ὅπου τὶ καὶ γεννικόν ἐστιν ἐπίταγμα καὶ τῆς Ὁμηρικῆς θειότητος ἄξιον ἔλασσον ἢ κατὰ πόλεις διαταττομένη καὶ μεγάλων ἡρώων ἀριστείαν·

Cap. 77. Συνεχῶς οὖν καθάπερ εἰς χῶρον αὐτῷ συνήθη τὸν ἑλικώνιον ἐφίσταται λέγων.

a) ἔσπεται νῦν μοι μοῦσαι ὀλύμπια δώματ' ἔχουσαι·
οἵ τινες ἡγεμόνες Δαναῶν καὶ κοίρανοι ἦσαν·

ἢ πάλιν ἡνίκα τῆς Ἀγαμέμνονος ἀνδραγαθίας ἀνέρχεται· τοῖς τρισὶ θεοῖς ἥρωα σύμμορφον ὑμνῶν·

b) ἔσπεται νῦν μοι μοῦσαι
ὅς τις δὴ πρῶτος Ἀγαμέμνονος ἀντίος ἦλθεν·

ἀλλ' ὅγε θαυμαστὸς Πλάτων ἐν τῷ περικαλλεῖ Φαίδρῳ τῆς σώφρονος ὑπὲρ ἐρώτων διακρίσεως ἀρχόμενος, ἐτόλμησεν ὡς ὁ Λοκρὸς Αἴας ἐν τῷ παρθενῶνι τῆς ἁγιωτάτης θεᾶς ἄγος τί μουσῶν κατασπείσας, τὰς σώφρονας ἔργων ἀσελγῶν καλέσαι βοηθούς· c) ἄγετε δὴ μοῦσαι εἴτε δι' ᾠδῆς εἶδος λίγ   εἴτε διὰ γένος τί μουσικὸν τὸ Λιγύων ταύτην ἔσχετει τὴν ἐπωνυμίαν· σύμμαχοι λαβέσθαι τοῦδε τοῦ μύθου· περὶ τίνος εἴποιμ' ἂν, ὦ θαυμασιώτατε Πλάτων· ὑπὲρ οὐρανοῦ καὶ τῆς τῶν ὅλων φύσεως, ἢ περὶ γῆς καὶ θαλάττης· ἀλλ' οὐδὲ περὶ ἡλίου καὶ σελήνης οὐδ' ὑπὲρ ἀπλανῶν τε καὶ πλανήτων κινήσεως· ἀλλὰ τί τῆς εὐχῆς

a) Il. β. 448. et alibi. b) Il. λ. 218. c) Plat. Phaed. 237.

πέρας ἐστὶν αἰσχύνομαι καὶ λέγειν· ἦν δὲ παῖς οὕτω καλός· μᾶλλον δὲ μειρακίσκος· οὗ πολλοὶ μὲν ἦσαν ἐρασταί· εἷς δέ τις αἱμύλος· a) ὃς ἐπεπείκει αὐτὸν ἐρῶν· ὅτι οὐκ ἐρῴη· καί ποτε αὐτὸν αἰτῶν ἔλεγεν ὧδε· γυμνοῖς τοῖς ὄμμασι τὴν ἀσέλγειαν ὡς ἐπὶ τέγους ἀνέῳξεν· ἐδ' εὐπρεπεῖ σχήματι τὸ τῦ πράγματος αἰσχρὸν ὑποκλέψας·

Cap. 78. Τοιγαροῦν εἰκότως ὁ μὲν Ὁμήρου λόγος ἡρώων ἐστὶ βίος· οἱ δὲ Πλάτωνος διάλογοι μειρακίων ἔρωτες· καὶ πάντα τὰ παρ' Ὁμήρου γεννικῆς ἀρετῆς γέμει· φρόνιμος Ὀδυσσεύς· ἀνδρεῖος Αἴας· σώφρων Πηνελόπη· δίκαιος ἐν ἅπασι Νέστωρ· εὐσεβὴς εἰς πατέρα Τηλέμαχος· ἐν φιλίαις πιστότατος Ἀχιλλεύς· ὧν παρὰ Πλάτωνι τῷ φιλοσόφῳ πλὴν εἰμὴ νὴ Δία τιμὴν

ὠφελήσομεν εἶναι τὰ σεμνὰ τῶν ἰδεῶν τερεττίσματα καὶ παρ' Ἀριςοτέλει τῷ μαθητῇ γελώμενα· διατοῦτ' ἀξίας οἶμαι τῶν καθ' Ὁμήρȣ λόγων δίκας ὑπέσχεν· ἀκόλαστον ἔχων γλῶσσαν αἰσχίστην νόσον· ὡς Τάνταλος· ὡς Καπανεύς· ὡς οἱ διὰ γλωσσαλγίαν μυρίαις κεχειημένοις συμφοραῖς· πολλάκις ἐπὶ τὰς τυραννικὰς ἐφθείρετο θύρας· ἐν ἐλευθέρῳ δὲ σώματι δουλικὴν τύχην ἠνέσχετο καὶ μέχρι πράσεως· οὐδεὶς γὰρ ἀγνοεῖ τὸν Σπαρτιάτην Πόλλιν· ᾧ οὐδ' ὡς Λιβυκοῦ χάρις ἐλέου σέσωσται· καὶ μνῶν εἴκοσι καθάπερ ἀνδράποδον εὐτελὲς ἐτιμήθη· καὶ ταῦτα τῶν εἰς Ὅμηρον ἀσεβημάτων ὀφειλομένων τιμωρίαν τῆς ἀχαλίνου καὶ ἀπυλώτου γλώττης·

Cap. 79· Πρὸς μὲν ȣ̓̂ν Πλάτωνα καὶ πλείω λέγειν δυνάμενος, ἐῶ· τȣ̓́νομα τῆς Σωκρατικῆς σοφίας αἰδȣ́μενος· ὁ δὲ Φαίαξ φιλόσοφος Ἐπίκουρος· ὁ τῆς ἡδονῆς ἐν τοῖς ἰδίοις κήποις θωργός· ὁ πᾶσαν ποιητικὴν ἄστροις σημη-

a) Plat. Phaed. 237.

νάμενος, οὐκ ἐξαιρέτως μόνον Ὅμηρον· ἆρ᾽ οὐχὶ καὶ ταῦθ᾽ ἃ μόνα τῷ βίῳ παρέδωκεν αἰσχρῶς ἀγνοήσας παρ᾽ Ὁμήρου κέκλοφεν; ἃ γὰρ Ὀδυσσεὺς ὑποκρίσει παρ᾽ Ἀλκίνῳ μὴ φρονῶν ἐψεύσατο, ταῦθ᾽ ὡς ἀληθεύων ἀπεφήνατο τέλη βίου·

a) ἀλλ᾽ ὅταν εὐφροσύνη μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα· δαιτυμόνες δ᾽ ἀνὰ δώματ᾽ ἀκουαίζωνται ἀοιδοῦ,

b) τῦτο τί μοι κάλλιστον ἐνὶ φρεσὶν εἴδεται· λέγει δ᾽ Ὀδυσσεὺς οὐχ ὁ παρὰ Τρωσὶν ἀριστεύων· οὐκ ὁ Θρᾴκην κατασκάπτων· οὐδ᾽ ὁ παρὰ τοὺς Λωτοφάγους ἡδονὰς παραπλέων· οὐδ᾽ ὁ τοῦ μεγίστου Κύκλωπος ἔτι μείζων· ὃς ἐπέζευσε τὴν ἅπασαν γῆν· ὃς ἔπλευσε τὴν ὠκεάνιον θάλατταν· ὃς ἔτι ζῶν εἶδεν ἀΐδην· οὐχ οὗτος Ὀδυσσεύς ἐστιν ὁ ταῦτα λέγων· ἀλλὰ τὸ βραχὺ τῆς Ποσειδῶνος ὀργῆς λείψανον· ὃν οἱ βαρεῖς χειμῶνες ἐπὶ τὸν Φαιάκων ἔλεον ἐξεκύμηναν· ἃ δὴ παρὰ τοῖς ὑποδεξαμένοις ἐνομίζετο τίμια, τύτοις ἐξ ἀνάγκης συγκαταίνεῖ.

a) Od. ι. 6. seq. b) Ibid. 11.

FINIS PRIMAE PARTIS.

*IMPRIMATUR*

*Fr. Dominicus Buttaoni Ord. Praed. S. P. A. Magister.*

---

*IMPRIMATUR*

*Joseph Canali Patriarch. Constantinop. Vicesgerens.*

University of Toronto
Library

DO NOT
REMOVE
THE
CARD
FROM
THIS
POCKET

Acme Library Card Pocket
Under Pat. "Ref. Index File"
Made by LIBRARY BUREAU